Anal.

ΑΝΕΚΔΟΤΑ.

ANECDOTA GRÆCA

E CODICIBUS REGIIS

DESCRIPSIT ANNOTATIONE ILLUSTRAVIT

J. FR. BOISSONADE.

Συναγάγετε τὰ περισσεύσαντα κλάσματα,
ἵνα μή τι ἀπόληται. — JOANN. VI, 12.

VOL. IV.

PARISIIS,
EXCUSUM IN REGIO TYPOGRAPHEO
REGIS PERMISSU
DATO DIE V DECEMBRIS M. DCCC. XXVII.

M. DCCC. XXXII.

PRÆLOQUIUM.

Describere multis abhinc annis cœperam compositam a Joanne, qui vulgo Damascenus dicitur, Barlaami ac Joasaphi Vitam, ea mente ut eam ad codices regios omnes, qui sunt numero septemdecim, accurate recensitam, latina versione Jac. Billyi, eaque, si forte alicubi correctione egeret, emendatiore, instructam, forma maxima ederem, scilicet supplemento editioni Damasceni Lequinianæ futuram. Sed, quum de redemtore tali libro, illo quo vivimus tempore, reperiendo desperarem, id consilii seposueram, ut et majus aliud de addendo Benedictinæ Gregorii Nazianzeni editioni volumine altero, quo ejus poemata, et ineditos commentatores Græcos, Basilium in primis, comprehenderem.

Quibus vero rationibus eo fuerim adductus, ut Barlaami Vitam apparatu critico fere destitutam in vulgus emitterem, lectores docebo. Volui scilicet eam occupare provinciam, ne mihi meus labor totus periret, quum

de quadam inaudiverim editione, quæ, si prior in manus lectorum veniat, meam prorsus opprimet, quum illi vel posteriori prior hæc mea nullo queat modo nocere. Etenim viri duo præcipui, Schmidtius, qui in romanensi literatura regnat, et Kopitar, bibliothecæ Cæsareæ, quæ Vindobonæ est, custos primarius, coeunda studii et laboris societate editionem moliuntur, quam omnibus numeris fore absolutissimam facile mecum omnes augurabuntur, qui utriusque summam noverunt doctrinam et eruditionem.

Quæ quum ita forent, mihi quidem satis esse visum fuit, si meo qualicumque usus apparatu, velisque contractis, viam fere aperirem, librumque dudum exspectatum, cujus post tot in variis linguis versiones græcum ipsum exemplar nondum fuit typis excusum, in doctorum inferrem bibliothecas, hortante præsertim Sinnero, illo Præfationis ad Longum loco quo de Barlaami Vita paucis disputavit verbis, sed eruditis, nec dehortante Geelio, qui quum de me tam humaniter et senserit et scripserit, id inter maxima habeo meorum conatuum præmia. Quid enim mihi

optatius cadere potest, quam ut illi viro, qui est studiorum eruditorum judex in paucis maxime idoneus, studia mea probem?

Igitur, omissa, quæ fuisset infinita, codicum septemdecim collatione, ad duos præsertim recensionem institui, optimæ illos notæ et ætatis, adhibitis etiam pro re nata in auxilium aliis quibusdam, si quis in duobus illis esset locus vel mancus vel difficilior. Sed, brevitati studens, varietates scripturæ rarenter memoravi, nisi viderentur eximiæ, vel via memorandis sterneretur ad auctorum emendationes, aut versu foret opus uno et altero, qui columna in annotatione brevior vicinæ adæquaretur nec claudicaret. Si qui forte lectores hypercritici me negligentiæ insimulabunt, insimulari me feram patienter, eisque auctor ero ut se spe solentur Kopitariæ editionis, qua qui sunt meæ defectus cumulatissime reparatum iri ne dubitent.

Difficillimam etiam Schmidtio ac socio doctissimo de libri auctore disputationem relinquo; utrum Joannes sit Damascenus, an Joannes quidam alius monachus Sinaïta vel

Sabaïta. Sinnero quidem de Damasceni nomine vix hæsitationi locus post Allatii argumenta relictus esse videtur; fateor tamen me adhuc incertum hærere, ac cum Geelio (Bibl. crit. N. t. V, p. 241) exspectare adhuc, donec, enotatis diligenter codicum omnium inscriptionibus et cujusque ætate sedulo examine explorata, comparatoque dubio eo libro cum genuinis Damasceni libris, plenior et altior instituatur disquisitio. Interim, quem ad Aristænetum Joannem monachum vocabam, nunc etiam Joannem voco monachum.

In Notis nonnusquam latinam adhibui Georgii Trapezuntii quæ fertur versionem. Etsi non nesciam quid animadverterit contra id nomen Fabricius (Biblioth. Græc. tom. IX, pag. 737; tom. XII, pag. 73), nil tamen mutavi. Majorem, quam olim meditatus eram, editionem absolvere si mihi licuisset, obscurum illum historiæ literariæ locum, principibus inspectis exemplaribus, ipsisque ab originibus re universa sedulo investigata, penitus, ni fallor, elucidassem; qui ingratus labor felixque successus futurorum totus sit editorum.

Ipsorum etiam erit disserere de nomine Æthiopiæ interioris vel Indiæ quo auctor utitur. Quam disquisitionem in me fere receperam (p. 3, n. 1); sed id jam omittere visum est satius, ipsisque integrum relinquere. Judicent etiam an Huetio, qui nomina hominum syriaca in indica historia non sine admiratione legebat, apte reposuerit Liron Amœnit. crit. t. I, p. 233.

Qui properare, aut currere potius, volebam, eos verebar, ne, si circa talia diverticula curiosius morarer, me anteverterent. An fuit, inquies, cursus certamen? Ita sane; sic enim potui vincere. Nam de edendi ac commentandi præmio, de doctrina, de arte critica, cum Schmidtio et Kopitare non ausim contendere.

Ita contracto in angustum spatium orbe illo quem mihi olim immensum aperueram, historia Barlaami, quæ, varietatibus infinitis, annotationibus spissis, Allatii prolegomenis, præfationibus multorum interpretum, disquisitionibusque aucta multiplicibus, in eam molem intumuisset, quæ volumina Damasceni

τελειωθέντων (1) καὶ τῶν δι' ἀσκήσεως τὴν ἀγγελικὴν πολιτείαν μιμησαμένων (2), γραφῇ παραδιδόναι, καὶ ἀρετῆς ὑπόδειγμα ταῖς μετέπειτα παραπέμπειν γενεαῖς, ἐκ τῶν θεηγόρων ἀποστόλων καὶ μακαρίων πατέρων ἡ τοῦ Χριστοῦ παρείληφεν ἐκκλησία, ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν τοῦτο νομοθετησάντων. Ἡ γὰρ πρὸς ἀρετὴν φέρουσα ὁδὸς τραχεῖά τίς ἐστι καὶ ἀνάντης καὶ μάλιστα τοῖς μήπω μεταθεμένοις ὅλους ἑαυτοὺς ἐπὶ τὸν Κύριον, ἀλλ' ἐκ τῆς τῶν παθῶν τυραννίδος ἔτι πολεμουμένοις. Διὰ τοῦτο καὶ πολλῶν δεόμεθα τῶν πρὸς αὐτὴν παρακαλούντων ἡμᾶς, τοῦτο μὲν παραινέσεων, τοῦτο δὲ καὶ βίων ἱστορίας τῶν ἐκείνην προωδευκότων· ὃ καὶ μᾶλλον ἀλύπως ἐφέλκεται πρὸς αὐτὴν καὶ μὴ ἀπογινώσκειν παρασκευάζει τῆς πορείας τὸ δύσκολον. Ἐπεὶ καὶ τῷ μέλλοντι βαδίζειν ὁδὸν δύσπορον καὶ τραχεῖαν παραινῶν μέν τις καὶ προτρεπόμενος ἧττον πείσειεν· ὑποδεικνύων δὲ πολλοὺς αὐτὴν ἤδη διελθόντας, εἶτα κἂν τῷ τέλει καλῶς καταλύσαντας, οὕτω πείσειε μᾶλλον καὶ αὐτὸν ἂν τῆς πορείας ἅψασθαι. Τούτῳ οὖν ἐγὼ στοιχῶν τῷ κανόνι (3), ἄλλως δὲ καὶ τὸν ἐπηρτημένον τῷ δούλῳ κίνδυνον ὑφορώμενος, ὅς, λαβὼν παρὰ τοῦ δεσπότου τὸ τάλαντον, εἰς γῆν ἐκεῖνο κατώρυξε (4) καὶ τὸ δοθὲν πρὸς ἐργασίαν

(1) Christus ap. Luc. XIII, 32: τῇ τρίτῃ τελειοῦμαι· ubi Pricæus. Infra p. 28, 16, ἐτελειώθησαν διὰ πυρός. Acta inedita S. Arethæ: οἱ ἅγιοι, κλίναντες τοὺς αὐχένας αὐτῶν, ἐτελειώθησαν πάντες. Confer infra pag. 8, 10. Dicitur et τελειωθῆναι de naturali exitu.

(2) Confer similia infra p. 13, 11, et quæ notata sunt pag. 5.

(3) Epist. ad Gal. VI, 16: ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν. Sic Epist. ad Philipp. III, 16, loco dubio: τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν. Cf. t. II, p. 358, 9, ubi pro φοβῷ lege φόβῳ.

(4) Respectu ad Matth. XXV, 24, 25.

ἔκρυψεν ἀπραγμάτευτον, ἐξήγησιν ψυχωφελῆ ἕως ἐμοῦ καταντήσασαν οὐδαμῶς σιωπήσομαι· ἥνπερ μοι ἀφηγήσαντο ἄνδρες εὐλαβεῖς τῆς ἐνδοτέρας τῶν Αἰθιόπων χώρας, οὕστινας Ἰνδοὺς (1) οἶδεν ὁ λόγος καλεῖν (2), ἐξ ὑπομνημάτων ταύτην ἀψευδῶν μεταφράσαντες. Ἔχει δὲ οὕτως.

Ἡ τῶν Ἰνδῶν λεγομένη χώρα πόῤῥω μὲν διάκειται τῆς Αἰγύπτου, μεγάλη οὖσα καὶ πολυάνθρωπος· περικλύζεται δὲ θαλάσσαις καὶ ναυσιπόροις πελάγεσι τῷ κατ' Αἴγυπτον μέρει· ἐκ δὲ τῆς ἠπείρου προσεγγίζει τοῖς ὁρίοις Περσίδος, ἥτις πάλαι μὲν τῷ τῆς εἰδωλομανίας ἐμελαίνετο ζόφῳ, εἰς ἄκρον ἐκβεβαρβαρωμένη καὶ ταῖς ἀθέσμοις ἐκδεδιῃτημένη τῶν πράξεων. Ὅτε δὲ « ὁ μονογενὴς τοῦ Θεοῦ Υἱὸς, ὁ ὢν εἰς » τὸν κόλπον τοῦ πατρὸς (3) », τὸ ἑαυτοῦ πλάσμα μὴ φέρων ὁρᾷν ἁμαρτίᾳ δουλούμενον, τοῖς οἰκείοις περὶ τοῦτο σπλάγχνοις ἐπικαμφθεὶς, ὤφθη καθ' ἡμᾶς « ἁμαρτίας χωρὶς (4) », καὶ, τὸν τοῦ πατρὸς θρόνον μὴ ἀπολιπὼν, παρθένον ᾤκησε δι' ἡμᾶς, ἵν' ἡμεῖς κατοικήσωμεν τοὺς οὐρανοὺς, τοῦ τε παλαιοῦ πτώματος ἀνακληθῶμεν, καὶ τῆς ἁμαρτίας ἀπαλλαγῶμεν, τὴν προτέραν υἱοθεσίαν ἀπολαβόν-

(1) Huet. hunc locum respiciens, *De l'origine des romans*, pag. 113: « il appelle Éthiopiens » les Indiens, confondant l'Éthiopie avec les Indes, selon la coutume de plusieurs anciens. » Quem confer et in Dissertationibus a Tilladeto collectis tom. II, pag. 59. Ibidem t. II, pag. 69: « S. Chrysostome dit que S. Thomas alla en Éthiopie, sans en » avoir d'autre raison que l'opinion commune qu'il a été aux » Indes. » Philostratus, loco nobili V. A. III, 20, Æthiopes vocat γένος Ἰνδικόν. Vide Addenda.

(2) Loquutionem illustravit Reisk. ad Cerimon. p. 2 A 6.

(3) Joann. I, 18.

(4) Epist ad Hebr. IV, 15.

τες (1), καὶ, πᾶσαν μὲν τὴν διὰ σαρκὸς ὑπὲρ ἡμῶν τελέσας οἰκονομίαν (2), σταυρόν τε καὶ θάνατον καταδεξάμενος καὶ τοῖς ἐπουρανίοις παραδόξως ἑνοποιήσας τὰ ἐπίγεια, ἀναστὰς δὲ ἐκ νεκρῶν καὶ μετὰ δόξης εἰς οὐρανοὺς ἀναληφθεὶς (3) καὶ ἐν δεξιᾷ τῆς τοῦ Πατρὸς μεγαλωσύνης καθίσας (4), τὸ παράκλητον Πνεῦμα τοῖς αὐτόπταις αὐτοῦ καὶ μύσταις, κατὰ τὴν ἐπαγγελίαν, ἐν εἴδει γλωσσῶν πυρίνων (5) ἐξαπέστειλε, καὶ ἔπεμψεν αὐτοὺς εἰς πάντα τὰ ἔθνη (6) φωτίσαι τοὺς ἐν σκότει τῆς ἀγνοίας καθημένους (7) καὶ βαπτίζειν αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, ὡς ἐντεῦθεν τοὺς μὲν αὐτῶν τὰς ἑῴας λήξεις, τοὺς δὲ τὰς ἑσπερίους λαχόντας περιέρχεσθαι, βόρειά τε καὶ νότια διαθέειν κλίματα, τὸ προστεταγμένον αὐτοῖς πληροῦντας διάγγελμα· τότε καὶ ὁ ἱερώτατος Θωμᾶς, εἷς ὑπάρχων τῆς δωδεκαρίθμου φάλαγγος τῶν μαθητῶν τοῦ Χριστοῦ (8), πρὸς τὴν τῶν Ἰνδῶν (9) ἐξεπέμπετο, κηρύττων αὐτοῖς τὸ σωτήριον κήρυγμα.

(1) Epist. ad Gal. IV, 5 : ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

(2) Οἰκονομία apud patres ac scriptores ecclesiasticos sæpissime significat incarnationis Christi mysterium, et in genere ejus in terris conversationem : quam significationem plenissime illustravit Casaubonus ad Gregorii Nyss. Epist. p. 105. Adde H. Valesium ad Euseb. non uno loco ; Pont. Leonem ad Theophan. Nic. p. 160 ; Lamium Delic. erudit. t. II, p. 282. Mihi notavi olim esse videndum Rittershus. Lect. sacr. p. 54 : quod jam non moneo secure, quum libro caream.

(3) Marc. XVI, 19 : ὁ μὲν οὖν Κύριος... ἀνελήφθη εἰς τὸν οὐρανὸν καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ. Act. Ap. I, 11 : ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν.

(4) Ep. ad Hebr. I, 3 : ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς.

(5) Act. Apost. II, 3.

(6) Matth. XXVIII ; Marc. XVI.

(7) Matth. IV, 16 : ὁ λαὸς ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέγα.

(8) Act. Apost. I, 13.

(9) Conf. p. 8, not. 1.

« Τοῦ Κυρίου δὲ συνεργοῦντος καὶ τὸν λόγον βε-» βαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων (1) », τὸ μὲν τῆς δεισιδαιμονίας ἀπηλάθη σκότος καὶ, τῶν εἰδωλικῶν σπονδῶν τε καὶ βδελυγμάτων ἀπαλλαγέντες, τῇ ἀπλανεῖ προσετέθησαν πίστει, καὶ, οὕτω ταῖς ἀποστολικαῖς μεταπλασθέντες χερσὶ, Χριστῷ διὰ τοῦ βαπτίσματος ᾠκειώθησαν, καὶ, ταῖς κατὰ μέρος προσθήκαις αὐξανόμενοι, προέκοπτον ἐν τῇ ἀμωμήτῳ πίστει, ἐκκλησίας τε ἀνὰ πάσας ᾠκοδόμουν τὰς χώρας.

Ἐπεὶ δὲ καὶ ἐν Αἰγύπτῳ ἤρξατο μοναστήρια συνίστασθαι καὶ τὰ τῶν μοναχῶν ἀθροίζεσθαι πλήθη, καὶ τῆς ἐκείνων ἀρετῆς καὶ ἀγγελομιμήτου διαγωγῆς ἡ φήμη τὰ πέρατα διελάμβανε τῆς οἰκουμένης (2), καὶ εἰς Ἰνδοὺς ἧκε, πρὸς τὸν ὅμοιον ζῆλον καὶ τούτους διήγειρεν (3), ὡς πολλοὺς αὐτῶν, πάντα καταλιπόντας, καταλαβεῖν τὰς ἐρήμους καὶ ἐν σώματι θνητῷ τὴν πολιτείαν ἀνειληφέναι τῶν ἀσωμάτων (4).

(1) Marc. xvi, 20. Hinc sæpius auctor pius, Θεοῦ συνεργοῦντος. Est in Sententiis monostichis versiculus : Θεὸς συνεργῶν, πάντα ποιεῖ ῥᾳδίως. Edidit nuper vir d., nescio qua auctoritate, συνεργός. Inveni in codice 396 συνεργῶν, et ποιεῖς, quod placet. Erit Θεὸς συνεργῶν nominativus pendens.

(2) Conf. Psalm. xviii, 4.

(3) B, ἤγειρεν. In omissione præpositionis compositorum frequens est librariorum lapsus. Psellus Anag. de Tantalo : διαιτώμενος τούτοις· plenius ac melius codex 3058, συνδιαιτώμενος. Lucianus D. D. xx, 15 : δεήσομαι καὶ τῶν χαρίτων ἀκολουθεῖν· cod. 1310, συνακολουθεῖν, bene. Choricius in Procop. § 23 : πατέρα πρεσβύτην τὴν οἰκείαν τίλλοντα πολιάν· codex 3087, οἰκείαν ἀντίλλοντα π. Forsan ἀνατίλλοντα, ni fuerit ultima syllaba vocis οἰκείαν male repetita; et hoc potius crediderim.

(4) Οἱ ἀσώματοι sunt *angeli* : conf. t. iii, p. 433. Basilius Seleuc. Laudat. S. Stephani p. 310 : συνηρίθμησεν τοῖς ἀγγέλοις, κατηρίθμησεν τοῖς ἀσωμάτοις δυνάμεσιν. Sententia similis Jo. Chrysostomi Hom. in S. Lumina p. 123 : ἴδεν τὸν Ἰωάννην ἀπὸ τῆς ἐρήμου κατελθόντα, ἄνθρωπον τὴν φύσιν, ἀγγε-

Οὕτω καλῶς ἐχόντων τῶν πραγμάτων, καὶ χρυσαῖς πτέρυξι, τὸ δὴ λεγόμενον, εἰς οὐρανοὺς πολλῶν ἀνιπταμένων, ἀνίσταταί τις βασιλεὺς ἐν τῇ αὐτῇ χώρᾳ, Ἀβεννὴρ τοὔνομα, μέγας μὲν γενόμενος πλούτῳ καὶ δυναστείᾳ καὶ τῇ κατὰ τῶν ἀντικειμένων νίκῃ, γενναῖός τε ἐν πολέμοις, καὶ μεγέθει σώματος ἅμα δὲ καὶ προσώπου ὡραιότητι σεμνυνόμενος, πᾶσί τε τοῖς κοσμικοῖς καὶ θᾶττον μαραινομένοις προτερήμασιν ἐγκαυχώμενος· κατὰ ψυχὴν δὲ ἐσχάτῃ πιεζόμενος πτωχείᾳ καὶ πολλοῖς κακοῖς συμπνιγόμενος, τῆς ἑλληνικῆς ὑπάρχων μοίρας, καὶ σφόδρα περὶ τὴν δεισιδαίμονα πλάνην τῶν εἰδώλων ἐπτοημένος. Πολλῇ δὲ συζῶν οὗτος τρυφῇ καὶ ἀπολαύσει τῶν ἡδέων καὶ τερπνῶν τοῦ βίου, καὶ ἐν οὐδενὶ τῶν θελημάτων καὶ ἐπιθυμιῶν αὐτοῦ ἀποστερούμενος, ἓν εἶχε τὸ τὴν εὐφροσύνην αὐτῷ ἐγκόπτον καὶ μερίμναις αὐτοῦ βάλλον τὴν ψυχήν, τὸ τῆς ἀτεκνίας κακόν. Ἔρημος γὰρ ὑπάρχων παίδων, διὰ φροντίδος εἶχε πολλῆς ὅπως, τοῦ τοιούτου λυθεὶς δεσμοῦ, τέκνων κληθείη πατήρ, πρᾶγμα τοῖς πολλοῖς εὐκταιότατον.

Τοιοῦτος μὲν ὁ βασιλεύς, καὶ οὕτως ἔχων τῆς γνώμης· τὸ δὲ εὐκλεέστατον γένος τῶν χριστιανῶν καὶ τὰ τῶν μοναχῶν πλήθη παρ' οὐδὲν θέμενοι τὸ τοῦ βασιλέως σέβας, καὶ τὴν αὐτοῦ μὴ δεδοικότες ὅλως ἀπειλήν, προέκοπτον τῇ τοῦ Χριστοῦ χάριτι, εἰς λόγου κρείττονα πληθὺν ἐπιδιδόντες, καὶ βραχὺν μὲν ποιούμενοι τοῦ βασιλέως λόγον (1), τῶν δὲ πρὸς θερα-

λον τὴν προαίρεσιν. Eidem Hom. in Ps. L, pag. 40 Coteler., Paulus vocatus fuit ὁ ἐπίγειος ἄγγελος.

(1) B, βραχὺ μ. π. τῶν τοῦ β. λόγον. Anton. Liberalis c. 30 : ἡ δὲ τῶν μὲν λόγον ἐποιεῖτο βραχύν.

πεῖραν φερόντων Θεοῦ διαφερόντως ἐχόμενοι. Καὶ διὰ τοῦτο πολλοὶ τῶν τὴν μοναδικὴν ἐπανῃρημένων τάξιν, πάντα μὲν ἐπίσης τὰ ἐνταῦθα τερπνὰ διέπτυον, πρὸς ἓν δὲ μόνον τοῦτο εἶχον ἐρωτικῶς, τὴν εὐσέβειαν, καὶ τὸν ὑπὲρ Χριστοῦ θάνατον ἐδίψων, καὶ τῆς ἐκεῖθεν ὠρέγοντο μακαριότητος. Ἐκήρυττον οὖν, οὐ φόβῳ τινὶ καὶ ὑποστολῇ, ἀλλὰ καὶ λίαν εὐπαῤῥησιάστως τὸ τοῦ Θεοῦ σωτήριον ὄνομα, καὶ οὐδὲν ὅ τι μὴ Χριστὸς αὐτοῖς διὰ στόματος ἦν, τήν τε ῥευστὴν καὶ εὐμάραντον φύσιν τῶν παρόντων καὶ τὸ πάγιον καὶ ἄφθαρτον τῆς μελλούσης ζωῆς φανερῶς πᾶσιν ὑπεδείκνυον, καὶ οἱονεὶ ἀφορμὰς παρεῖχον καὶ σπέρματα πρὸς τὸ οἰκείους γενέσθαι Θεῷ καὶ τῆς ἐν Χριστῷ κρυπτομένης ἀξιωθῆναι ζωῆς (1). Ἐντεῦθεν πολλοὶ, τῆς ἡδίστης ἐκείνης διδασκαλίας (2) ἀπολαύοντες, τοῦ μὲν πικροῦ τῆς ἀπάτης ἀφίσταντο σκότους, τῷ δὲ γλυκεῖ τῆς ἀληθείας φωτὶ προσετίθεντο· ὡς καί τινας τῶν ἐνδόξων καὶ τῆς συγκλήτου βουλῆς πάντα ἀποτίθεσθαι τὰ τοῦ βίου βάρη καὶ λοιπὸν γίνεσθαι μοναχούς.

Ὁ δὲ βασιλεὺς, ὡς ἤκουσε ταῦτα, ὀργῆς ὅτι πλείστης πληρωθεὶς καὶ τῷ θυμῷ ὑπερζέσας, δόγμα αὐτίκα ἐξέθετο, πάντα χριστιανὸν βιάζεσθαι τοῦ ἐξόμνυσθαι τὴν εὐσέβειαν. Ὅθεν καινὰ μὲν κατ᾽ αὐτῶν εἴδη βασάνων ἐπενόει καὶ ἐπετήδευε, καινοὺς δὲ τρόπους θανάτων ἠπείλει. Καὶ γράμματα κατὰ πᾶσαν τὴν ὑποτελῆ αὐτῷ χώραν ἐπέμπετο ἄρχουσι καὶ ἡγε-

(1) Epist. ad Coloss. III, 3: ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ.

(2) I Epist. ad Timoth. IV, 6: ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας.

μόσι, τιμωρίας κατὰ τῶν εὐσεβῶν καὶ σφαγὰς ἀδίκους ἀποφαινόμενα. Ἐξαιρέτως δὲ κατὰ τῶν τοῦ μοναδικοῦ σχήματος λογάδων θυμομαχῶν, ἄσπονδον ἤγειρε τὸν πρὸς αὐτοὺς καὶ ἀκήρυκτον πόλεμον. Ταύτῃ τοι καὶ πολλοὶ μὲν τῶν πιστῶν τὴν διάνοιαν ἀνεσαλεύοντο, ἄλλοι δὲ, τὰς βασάνους μὴ δυνηθέντες ὑπενεγκεῖν, τῷ ἀθεμίτῳ αὐτοῦ εἶκον προστάγματι. Οἱ δὲ τοῦ μοναχικοῦ τάγματος ἡγεμόνες καὶ ἀρχηγοὶ, οἱ μὲν, ἐλέγχοντες αὐτοῦ τὴν ἀνομίαν, τὸ διὰ μαρτυρίου ὑπήνεγκαν τέλος καὶ τῆς ἀλήκτου ἐπέτυχον μακαριότητος· οἱ δὲ ἐν ἐρημίαις καὶ ὄρεσιν ἀπεκρύπτοντο, οὐ δέει τῶν ἠπειλημένων βασάνων, ἀλλ' οἰκονομίᾳ τινὶ θειοτέρᾳ.

Τῆς τοιαύτης οὖν σκοτομήνης τὴν τῶν Ἰνδῶν καταλαβούσης, καὶ τῶν μὲν πιστῶν πάντοθεν ἐλαυνομένων, τῶν δὲ τῆς ἀσεβείας ὑπασπιστῶν κρατυνομένων, αἵμασί τε καὶ κνίσαις τῶν θυσιῶν καὶ αὐτοῦ δὴ τοῦ ἀέρος μολυνομένου, εἷς τῶν τοῦ βασιλέως, ἀρχισατράπης τὴν ἀξίαν, ψυχῆς παραστήματι, μεγέθει τε καὶ κάλλει, καὶ πᾶσιν ἄλλοις οἷς ὥρα σώματος καὶ γενναιότης ψυχῆς ἀνδρείας χαρακτηρίζεσθαι πέφυκε, τῶν ἄλλων ἐτύγχανε διαφέρων. Τὸ ἀσεβὲς οὖν ἐκεῖνο πρόσταγμα ἀκούσας οὗτος, χαίρειν εἰπὼν τῇ ματαίᾳ ταύτῃ καὶ κάτω συρομένῃ δόξῃ τε καὶ τρυφῇ, ταῖς τῶν μοναχῶν λογάσιν ἑαυτὸν ἐγκατέμιξεν, ὑπερόριος γενόμενος ἐν ἐρήμοις τόποις, νηστείαις τε καὶ ἀγρυπνίαις καὶ τῇ τῶν θείων λογίων ἐπιμελεῖ μελέτῃ τὰς αἰσθήσεις ἄριστα ἐκκαθάρας, καὶ τὴν ψυχὴν, πάσης ἀπαλλάξας ἐμπαθοῦς σχέσεως, τῷ τῆς ἀπαθείας φωτὶ κατελάμπρυνεν.

Ὁ δὲ βασιλεὺς, πάνυ τοῦτον φιλῶν καὶ διὰ τιμῆς ἄγων, ὡς ἤκουσε ταῦτα, ἤλγησε μὲν τὴν ψυχὴν ἐπὶ τῇ τοῦ φίλου στερήσει, ἐξεκαύθη δὲ πλέον τῇ κατὰ τῶν μοναζόντων ὀργῇ. Καὶ δὴ κατὰ ζήτησιν αὐτοῦ πανταχοῦ ἀποστείλας, καὶ πάντα λίθον κινήσας, τὸ τοῦ λόγου (1), ὥστε τοῦτον ἐφευρεῖν, μετὰ οὖν χρόνον ἱκανὸν οἱ εἰς ἐπιζήτησιν αὐτοῦ πεμφθέντες, ὡς ᾔσθοντο ἐν ἐρήμοις αὐτὸν τὰς οἰκήσεις ἔχοντα, διερευνήσαντες καὶ συλλαβόμενοι, τῷ τοῦ βασιλέως παρέστησαν βήματι. Ἰδὼν δὲ αὐτὸν ἐν οὕτω πενιχρᾷ καὶ τραχυτάτῃ ἐσθῆτι τὸν λαμπροῖς ποτὲ ἱματίοις ἠμφιεσμένον, καὶ τὸν πολλῇ συζῶντα τρυφῇ τεταριχευμένον τῇ σκληρᾷ τῆς ἀσκήσεως ἀγωγῇ, καὶ τοῦ ἐρημικοῦ βίου ἐναργῶς περικείμενον τὰ γνωρίσματα, λύπης ὁμοῦ καὶ ὀργῆς ἐπεπλήρωτο, καὶ, ἐξ ἀμφοῖν τὸν λόγον κεράσας, ἔφη πρὸς αὐτόν (2)·

« Ὦ ἀνόητε καὶ φρενοβλαβὲς, τίνος χάριν ἀντηλλάξω τῆς τιμῆς αἰσχύνην, καὶ τῆς λαμπρᾶς δόξης τὴν ἀσχήμονα ταύτην ἰδέαν; Ὁ πρόεδρος τῆς ἐμῆς βασιλείας καὶ ἀρχιστράτηγος τῆς ἐμῆς δυναστείας, παίγνιον μειρακίων σεαυτὸν καταστήσας, οὐ μόνον τῆς ἡμετέρας φιλίας καὶ παῤῥησίας μακρὰν λήθην πεποιηκὼς, ἀλλὰ καὶ αὐτῆς κατεξαναστὰς τῆς φύσεως, καὶ μηδὲ τῶν ἰδίων τέκνων οἶκτον λαβὼν, πλοῦτόν τε καὶ πᾶσαν τὴν τοῦ βίου περιφάνειαν εἰς

(1) Vita S. Nili junioris p. 8: τοῦ δὲ πᾶσαν μηχανὴν καὶ πάντα λίθον κινοῦντος ὅπως τὸ τοιοῦτον ἀγαθὸν ἐμποδίσῃ. Nic. Greg. VIII, 3, 2: πάντα λίθον κινῶν, τὸ τοῦ λόγου. Euripides dixit πάντα κινῆσαι πέτρον, Heracl. 997, ubi plurima apposui.

(2) Lemma metricum in A: Ῥῆσις Ἀβενὴρ ἀσεβοῦς βασιλέως Πρὸς σατράπην μέγιστον, μονήρη βίον Τῆς κοσμικῆς ἀξίας ἐκλεξάμενον. Puto scribendum, ἀντηλλαγμένον.

οὐδὲν λογισάμενος, τὴν τοσαύτην ἀδοξίαν τῆς περιβλέπτου προέκρινας δόξης, ἵνα τί σοι γένηται; καὶ τί ἐντεῦθεν κερδήσεις, ὅτι πάντων θεῶν τε καὶ ἀνθρώπων τὸν λεγόμενον προτετίμηκας Ἰησοῦν, καὶ τὴν σκληρὰν ταύτην καὶ δυσείμονα ἀγωγὴν τῶν ἡδέων καὶ ἀπολαυστικῶν τοῦ γλυκυτάτου βίου; »

Τούτων ἀκούσας ὁ τοῦ Θεοῦ ἄνθρωπος (1) ἐκεῖνος, χαριέντως ἅμα καὶ ὁμαλῶς ἀπεκρίνατο·

« Εἰ λόγον πρός με συνᾶραι θέλεις, ὦ βασιλεῦ, τοὺς ἐχθρούς σου ἐκ μέσου τοῦ δικαστηρίου ποίησον, καὶ τηνικαῦτα ἀποκρινοῦμαί σοι περὶ ὧν ἂν ζητήσῃς μαθεῖν· ἐκείνων γὰρ συμπαρόντων σοι, οὐδεὶς ἐμοὶ πρὸς σὲ λόγος. Ἐκτὸς δὲ λόγου τιμώρει, σφάττε, ποίει ὃ θέλεις· ἐμοὶ γὰρ ὁ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ, φησὶν ὁ θεῖος καὶ ἐμὸς διδάσκαλος (2). »

Τοῦ δὲ βασιλέως εἰπόντος, « Καὶ τίνες οἱ ἐχθροὶ οὗτοι, οὓς ἐκ μέσου ποιῆσαί με προστάσσεις »; φησὶν ὁ θεῖος ἀνήρ· « Ὁ θυμὸς καὶ ἡ ἐπιθυμία· ταῦτα γὰρ ἐξ ἀρχῆς μὲν συνεργοὶ τῆς φύσεως ὑπὸ τοῦ δημιουργοῦ παρήχθησαν, καὶ νῦν ὡσαύτως ἔχουσι « τοῖς » μὴ κατὰ σάρκα πολιτευομένοις, ἀλλὰ κατὰ πνεῦ» μα (3)· » ἐν ὑμῖν δὲ, οἵτινες τὸ ὅλον ἐστὲ σάρκες, μηδὲν ἔχοντες τοῦ πνεύματος, ἀντίδικοι γεγόνασι, καὶ τὰ τῶν ἐχθρῶν καὶ πολεμίων διαπράττονται. Ἡ γὰρ ἐπιθυμία ἐν ὑμῖν, ἐνεργουμένη μὲν, ἡδονὴν (4) ἐγείρει,

(1) Loquutio est biblica, sæpius ab auctore adhibita. Ad orationem satrapæ lemma est metricum in A : Σοφωτάτου νῦν διδαχὴν φαιδρὰν ὅρα.

(2) Epist. ad Gal. VI, 14.

(3) Paulus Epist. ad Romanos VIII, 4.

(4) B, ἐπιθυμίαν. Locus non nitidus. Trapezuntius : « nam » concupiscentia in vobis opera» tur quidem voluptatem et inci-

καταργουμένη δὲ, θυμόν. Ἀπίστω οὖν ταῦτα σήμερον ἀπὸ σοῦ, προκαθεζέσθωσαν δὲ εἰς ἀκρόασιν τῶν λεγομένων καὶ κρίσιν ἡ φρόνησις καὶ ἡ δικαιοσύνη. Εἰ γὰρ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν ἐκ μέσου ποιήσεις, ἀντεισάξεις δὲ τὴν φρόνησιν καὶ τὴν δικαιοσύνην, φιλαλήθως πάντα λέξω σοι. »

Πρὸς ταῦτα ὁ βασιλεὺς ἔφη· « Ἰδοὺ, εἴξας σου τῇ ἀξιώσει, ἐκβαλῶ τοῦ συνεδρίου τήν τε ἐπιθυμίαν καὶ τὸν θυμὸν, μεσάζειν δὲ τὴν φρόνησιν καὶ τὴν δικαιοσύνην ποιήσω. Λέγε μοι λοιπὸν ἀδεῶς πόθεν σοι ἡ τοσαύτη ἐγένετο πλάνη, καὶ τὸ προτιμᾷν τὰ ἐν κεναῖς (1) ἐλπίσι τῶν ἐν χερσὶ βλεπομένων. »

Ἀποκριθεὶς δὲ ὁ ἐρημίτης εἶπεν· « Εἰ τὴν ἀρχὴν ζητεῖς, ὦ βασιλεῦ, πόθεν μοι γέγονε τῶν προσκαίρων μὲν ὑπεριδεῖν, ὅλον δὲ ἐμαυτὸν ταῖς αἰωνίοις ἐπιδοῦναι ἐλπίσιν, ἄκουσον. Ἐν ἡμέραις ἀρχαίαις, ἔτι κομιδῇ νέος ὑπάρχων, ἤκουσά τι ῥῆμα ἀγαθὸν καὶ σωτήριον, καί με κατ' ἄκρας ἡ τούτου δύναμις εἷλε, καὶ, ὥσπερ τις θεῖος σπόρος, ἡ τούτου μνήμη, τῇ ἐμῇ φυτευθεῖσα καρδίᾳ, ἀχώριστος εἰς ἀεὶ διετηρήθη ὡς καὶ ῥιζωθῆναι, καὶ ἐκβλαστῆσαι, καὶ ὃν ὁρᾷς καρπὸν ἐνεγκεῖν ἐν ἐμοί. Ἡ δὲ τοῦ ῥήματος δύναμις τοιαύτη τις ἦν· « Ἔδοξε » φησί, « τοῖς ἀνοήτοις τῶν ὄντων » μὲν καταφρονεῖν ὡς μὴ ὄντων, τῶν μὴ ὄντων δὲ ὡς » ὄντων ἀντέχεσθαί τε καὶ περιέχεσθαι· ὁ μὴ γευσά- » μενος οὖν τῆς τῶν ὄντων γλυκύτητος, οὐ δυνήσεται

» tat; ira vero destruit. » Quæ latina vertere Billyus satis habuit. Est in A adscriptum scholium, sed, quod doleo, mutilum.

(1) B, καιναῖς, et sic alibi, permutatione solita. In Longi Past. IV, 8, ubi ἦν μὲν κένον πένθος ἀνθῶν, jure prætulit Corayus vir eruditissimus variantem lectionem καινόν.

» τῶν μὴ ὄντων καταμαθεῖν τὴν φύσιν· μὴ κατα-» μαθὼν δὲ, πῶς αὐτῶν ὑπερόψεται »; Ὄντα μὲν οὖν ἐκάλεσεν ὁ λόγος τὰ αἰώνια καὶ μὴ σαλευόμενα, μὴ ὄντα δὲ τὸν ἐνταῦθα βίον καὶ τὴν τρυφὴν καὶ τὴν ψευδομένην εὐημερίαν· οἷς, ὦ βασιλεῦ, κακῶς φεῦ! ἡ σὴ προσήλωται καρδία. Κἀγὼ δέ ποτε τούτων ἀντ-ειχόμην· ἀλλ' ἡ τοῦ ῥήματος δύναμις, νύττουσά μου τὴν ψυχὴν ἀδιαλείπτως, ἐξήγειρε τὸν ἡγεμόνα νοῦν εἰς ἐκλογὴν τοῦ κρείττονος· ὁ δὲ νόμος τῆς ἁμαρ-τίας, ἀντιστρατευόμενος τῷ νόμῳ τοῦ νοός μου, καὶ, ὥς τισι σιδηροπέδαις δεσμῶν με (1), τῇ προσπαθείᾳ τῶν παρόντων αἰχμάλωτον κατεῖχεν (2). Ὅτε δὲ εὐδόκησεν ἡ χρηστότης καὶ ἀγαθωσύνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ (3) ἐξελέσθαι με τῆς χαλεπῆς ἐκείνης αἰχμαλωσίας, ἐνίσχυσέ μου τὸν νοῦν περιγενέσθαι τοῦ νόμου τῆς ἁμαρτίας, καὶ διήνοιξέ μου τοὺς ὀφθαλ-μοὺς διακρίνειν τὸ φαῦλον ἀπὸ τοῦ κρείττονος. Τότε δὴ τότε κατενόησα καὶ εἶδον (4), καὶ ἰδοὺ πάντα τὰ παρόντα ματαιότης καὶ προαίρεσις πνεύματος, καθὰ που καὶ Σολομῶν ὁ σοφώτατος ἐν τοῖς αὐτοῦ ἔφη συγγράμμασι (5)· τότε περιῃρέθη τῆς καρδίας μου τὸ κάλυμμα τῆς ἁμαρτίας (6), καὶ ἡ ἐκ τῆς σωμα-

(1) B, δεσμὸν μέν. In vocula μὲν sæpius librarii peccarunt. Psellus Anag. de Circe : ὁ δὲ ἔπ μὲν θαρσεῖ. Ibi sensu μὲν caret, pro quo est optime μᾶλλον in codice 3058.

(2) Epist. ad Rom. VII, 23 : βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας.

(3) Paulus non semel, εὐδόκησεν ὁ Θεός. Lucas : εὐδόκησεν ὁ πατήρ. Et Noster alibi.

(4) Psalm. XXI, 17 : αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδον. Ps. CXLI, 4 : κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον. Cf. Isai. LIX, 16.

(5) Eccles. I, 14.

(6) Paulus, Epistola secunda ad Cor. III, 15 : κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται· ἡνίκα δ' ἂν

τικῆς παχύτητος ἐπικειμένη τῇ ψυχῇ μου ἀμαύρωσις διεσκεδάσθη, καὶ ἔγνων εἰς ὃ γέγονα καὶ ὅτι δεῖ με πρὸς τὸν δημιουργὸν ἀναβῆναι, διὰ τῆς τῶν ἐντολῶν ἐργασίας.»

«Ὅθεν, πάντα καταλιπὼν, αὐτῷ ἠκολούθησα καὶ εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, ὅτι ἐρύσατό με (1) τοῦ πηλοῦ καὶ τῆς πλινθείας (2), καὶ τοῦ ἀπηνοῦς καὶ ὀλεθρίου ἄρχοντος τοῦ σκότους τοῦ αἰῶνος τούτου (3), καὶ ἔδειξέ μοι ὁδὸν σύντομον καὶ ῥαδίαν, δι' ἧς δυνήσομαι ἐν τῷ ὀστρακίνῳ τούτῳ σώματι (4) τὴν ἀγγελικὴν ἀσπάσασθαι πολιτείαν, ἥνπερ φθάσαι ζητῶν, τὴν στενὴν καὶ τεθλιμμένην εἱλόμην βαδίζειν ὁδὸν (5), πάνυ καταγνοὺς τῆς τῶν παρόντων ματαιότητος καὶ τῆς ἀστάτου φορᾶς τούτων καὶ περιφορᾶς (6), καὶ μὴ πειθόμενος ἄλλο τι καλὸν ὀνομάζειν πρὸ τοῦ ὄντως καλοῦ, οὗπερ σὺ ἐλεεινῶς, ὦ βασιλεῦ, διεῤῥάγης τε καὶ διέστης. Ὅθεν καὶ ἡμεῖς διέστημέν σου καὶ διῃρέθημεν, διὰ τὸ εἰς σαφῆ καὶ ὡμολογημένην σέ τε καταπίπτειν ἀπώλειαν

ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα.

(1) Epist. ad Rom. VII, 24: τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν.

(2) Respectu ad Exod. I, 14: κατωδύνων αὐτῶν τὴν ζωὴν ἐν τοῖς ἔργοις τοῖς σκληροῖς, τῷ πηλῷ καὶ τῇ πλινθείᾳ.

(3) Respectu ad Pauli verba Ephes. VI, 12: πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου: quæ est lectio vulgatior. Barnabas Epist. p. 3: « Quum sint » ergo dies nequissimi, et con» trarius habeat hujus sæculi po» testatem »: ubi vide Menard. pag. 85. Hinc intelligo Commodianum Instr. § 59: « Matronas » vis esse, christiana, ut sæculi » domnas. » Domnæ sæculi sunt fœminæ lupanæ, zabulicæ.

(4) Corpus ὀστράκινον potuit dicere ex metaphora Paulina II Cor. IV., 7: ἐν ὀστρακίνοις σκεύεσι.

(5) Matth. VII, 14: cf. pag. 1, n. 3.

(6) Eccles. II, 2: τῷ γέλωτι εἶπα, περιφοράν.

καὶ πρὸς τὸν ἴσον κατενεχθῆναι καὶ ἡμᾶς κίνδυνον ἀναγκάζειν. Ἕως μὲν γὰρ περὶ μόνην τὴν κοσμικὴν στρατείαν ἐξηταζόμεθα, οὐδὲν τῶν δεόντων ἡμεῖς ἐνελίπομεν (1)· μαρτυρήσεις μοι καὶ αὐτὸς ὅτιπερ οὐδὲ ῥαθυμίαν τινὰ οὐδὲ ἀμέλειάν ποτε ἐνεκλήθημεν· ἐπεὶ δὲ καὶ αὐτὸ τῶν καλῶν τὸ κεφάλαιον ἀφελέσθαι ἐφιλονείκησας ἡμᾶς, τὴν εὐσέβειαν, καὶ τὸν Θεὸν ζημιῶσαι τὴν ἐσχάτην ταύτην ζημίαν· τιμῶν τε διὰ τοῦτο καὶ φιλοτιμίας ἀναμιμνήσκεις, πῶς οὐκ ἀμαθῶς ἔχειν σε τοῦ καλοῦ δικαίως ἂν εἴποιμι, ὅτι καὶ παραβάλλεις ὅλως αὐτὰ πρὸς ἄλληλα, εὐσέβειαν φημὶ πρὸς τὸν Θεὸν καὶ φιλίαν ἀνθρωπίνην καὶ δόξαν τὴν ἴσα παραρρέουσαν ὕδατι; πῶς δέ σοι καὶ κοινωνοὶ ἐσόμεθα ἐπὶ τούτῳ, καὶ οὐχὶ, τοὐναντίον, καὶ φιλίαν καὶ τιμὴν, καὶ στοργὴν τέκνων καὶ εἴ τι ἄλλο μεῖζον ἦν, ἀρνησόμεθα; ὁρῶντές σε μᾶλλον, ὦ βασιλεῦ, ἀγνωμονοῦντα πρὸς τὸν Θεὸν, τὸν καὶ αὐτό σοι τὸ εἶναι καὶ τὸ ἀναπνεῖν παρεχόμενον, ὅς ἐστι Χριστὸς Ἰησοῦς, ὁ κύριος τῶν ἁπάντων, ὃς, συνάναρχος ὢν καὶ συναΐδιος τῷ πατρὶ καὶ τοὺς οὐρανοὺς τῷ λόγῳ καὶ τὴν γῆν ὑποστήσας, τὸν ἄνθρωπόν τε χερσὶν οἰκείαις ἐδημιούργησε καὶ ἀθανασίᾳ τοῦτον ἐτίμησε, καὶ βασιλέα τῶν ἐπὶ γῆς κατεστήσατο, καθάπερ τινὰ βασίλεια τὸ κάλλιστον ἁπάντων ἀποτάξας (2) αὐτῷ, τὸν Παράδεισον. Ὁ δὲ, φθόνῳ

(1) B, ἐλείπωμεν. Rursus omisit librarius negligens præpositionem compositi. Lucianus Asin. 41 : εὐθὺς ἐδίωκον· malim κατεδίωκον codicis 1310.

(2) B, ὑποτάξας. Obvia est permutatio præpositionum ἀπὸ et ὑπό. Nicephorus Basilacas, quem Nicolaum sophistam vocat cod. 2720, Narratione prima extrema: τότε πρῶτον Ἕλληνες τῆς Ὀδυσσέως σοφίας ἀπώναντο, οὐχ ἧττον δὲ ἢ ὅτε τὸ παλλάδιον ἐκ μέσης Τροίας ἀφείλετο. Idem codex ὑφείλετο melius; nec habet δὲ, quod absens quidem non valde desiderabitur, præsens

κλαπεὶς καὶ ἡδονῇ (φεῦ μοι!) δελεασθεὶς (1), ἀθλίως τούτων ἐξέπεσε πάντων· καὶ ὁ πρὶν ζηλωτὸς ἐλεεινὸς ὡρᾶτο καὶ δακρύων διὰ τὴν συμφορὰν ἄξιος. »

« Ὁ πλάσας τοίνυν ἡμᾶς καὶ δημιουργήσας φιλανθρώποις πάλιν ἰδὼν ὀφθαλμοῖς τὸ τῶν οἰκείων χειρῶν ἔργον, τὸ θεὸς εἶναι μὴ μεταβαλὼν, ὅπερ ἦν ἀπ' ἀρχῆς, ἐγένετο δι' ἡμᾶς ἀναμαρτήτως (2) ὅπερ ἡμεῖς, καὶ σταυρὸν ἑκουσίως καὶ θάνατον ὑπομείνας, τὸν ἄνωθεν τῷ ἡμετέρῳ γένει βασκαίνοντα κατέβαλε πολέμιον, καὶ, ἡμᾶς τῆς πικρᾶς ἐκείνης αἰχμαλωσίας ἀνασωσάμενος, τὴν προτέραν ἀπέδωκε φιλαγάθως ἐλευθερίαν, καὶ, ὅθεν διὰ τὴν παρακοὴν ἐκπεπτώκαμεν, ἐκεῖ πάλιν διὰ φιλανθρωπίαν ἡμᾶς ἐπανήγαγε, μείζονος ἡμᾶς ἢ πρότερον τιμῆς ἀξιώσας. Τὸν δὴ τοιαῦτα δι' ἡμᾶς παθόντα καὶ τοιούτων ἡμᾶς πάλιν καταξιώσαντα (3), τοῦτον αὐτὸς ἀθετεῖς καὶ εἰς τὸν ἐκείνου σταυρὸν ἀποσκώπτεις; ὅλος δὲ τῇ τρυφῇ τοῦ σώματος καὶ τοῖς ὀλεθρίοις προσηλωμένος πάθεσι, θεοὺς ἀναγορεύεις τὰ τῆς ἀτιμίας καὶ αἰσχύνης εἴδωλα; Οὐ μόνον σεαυτὸν τῆς τῶν οὐρανίων ἀγαθῶν συναφείας ἀλλότριον κατεσκεύασας, ἀλλὰ καὶ πάντας τοὺς πειθομένους τοῖς

non deleverim, quippe quod non vi quadam careat.

(1) De tropo verbi δελεάζω vide notam ad Aristæn. 1, 17, pag. 741. Choricius in Procop. § 8: τὰ μὲν βιαζομένη, τὰ δὲ κολακεύουσα, τὰ δὲ πειρωμένη χρυσίῳ πολλὰ δελεάζειν, οἵαις ἀεὶ μηχαναῖς ἐραστὴς θεὸς ἄγραν κέχρηται παιδικῶν. Rescribam πολλῷ e codicibus binis regiis. Cyrillus Suidæ in Σποδῶν: σώφρονας ἄνδρας καταμικρὸν δελεάσαντες, εἰς τὸ Σοδόμων αἰσχρὸν βάραθρον κατηκόντισαν. Georgius Lapitha ineditus v. 249: Ὁ πανσοφὸς δημιουργὸς ἐνέθηκε τῇ φύσει Τὴν ἡδονὴν ὡς δέλεαρ σοφῇ μηχανουργίᾳ.

(2) B, ἁμαρτίας χωρίς: melius forsan. Cf. p. 3, n. 4.

(3) B, καταξ. ἀγαθῶν. Videbatur ἀγαθῶν esse inutile, imo nocere. Quum τοιαῦτα careat nomine, melius et nomine carebit τοιούτων. AC non habent ἀγαθῶν.

σοῖς προστάγμασι ταύτης ἤδη ἀπέῤῥηξας, καὶ ψυχικῷ κινδύνῳ παρέδωκας. »

« Ἴσθι τοίνυν ὡς ἔγωγε οὐ πεισθήσομαί σοι, οὔτε μὴν κοινωνήσω σοι τῆς τοιαύτης εἰς τὸν Θεὸν ἀχαριστίας, οὐδὲ τὸν ἐμὸν εὐεργέτην καὶ σωτῆρα ἀρνήσομαι, εἰ καὶ θηρίοις ἀναλώσεις, εἰ ξίφει καὶ πυρὶ παραδώσεις με, ἃ τῆς σῆς ἐξουσίας ἐστίν. Οὔτε γὰρ θάνατον δέδοικα, οὔτε ποθῶ τὰ παρόντα, πολλὴν αὐτῶν καταγνοὺς τὴν ἀσθένειαν καὶ ματαιότητα. Τί γὰρ αὐτῶν χρήσιμον, ἢ μόνιμον, ἢ διαρκές; καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ εἶναι πολλὴ συνυπάρχει αὐτοῖς ἡ ταλαιπωρία, πολλὴ ἡ λύπη, πολλὴ καὶ ἀδιάσπαστος ἡ μέριμνα. Τῇ γὰρ εὐφροσύνῃ αὐτῶν καὶ ἀπολαύσει πᾶσα συνέζευκται κατήφεια καὶ ὀδύνη· ὁ πλοῦτος αὐτῶν πτωχεία ἐστὶ, καὶ τὸ ὕψος αὐτῶν ταπείνωσις ἐσχάτη. Καὶ τίς ἐξαριθμήσει τὰ τούτων κακά; ἅπερ δι' ὀλίγων ῥημάτων ὑπέδειξέ μοι ὁ ἐμὸς θεολόγος (1). Φησὶ γάρ· « Ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ » κεῖται· καὶ μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ » κόσμῳ, ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ ἡ ἐπιθυμία τῆς » σαρκὸς καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζο- » νεία τοῦ βίου· καὶ ὁ κόσμος παράγεται καὶ ἡ ἐπι- » θυμία αὐτοῦ· ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ » μένει εἰς τὸν αἰῶνα. » Τοῦτο ἐγὼ ζητῶν τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν, ἀφῆκα πάντα, καὶ ἐκολλήθην τοῖς τὸν αὐτὸν κεκτημένοις πόθον καὶ τὸν αὐτὸν ἐκζητοῦσι θεόν (2)· ἐν οἷς οὐκ ἔστιν ἔρις ἢ φθόνος (3), λύπαι

(1) Joann. I Epist. V, 19; II, 15, 16, 17.

(2) Psalm. LII, 2: ἐκζητῶν τὸν θεόν. Epist. ad Rom. III, 11: οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν θεόν.

(3) Quæ nomina junxit Apostolus ad Philipp. I, 15.

τε καὶ μέριμναι, ἀλλὰ πάντες τὸν ἴσον τρέχουσι δρόμον, ἵνα καταλάβωσι τὰς αἰωνίας μονὰς, ἃς ἡτοίμασεν ὁ πατὴρ τῶν φώτων τοῖς ἀγαπῶσιν αὐτόν (1). Τούτους ἐγὼ γεννήτορας, τούτους ἀδελφοὺς, τούτους φίλους καὶ γνωστοὺς ἐκτησάμην· τῶν δέ ποτέ μου φίλων καὶ ἀδελφῶν ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ προσδεχόμενος τὸν Θεὸν, τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ ἀπὸ καταιγίδος (2). »

Τούτων εὐκαίρως οὕτω καὶ ἡδέως τῷ τοῦ Θεοῦ ἀνθρώπῳ ὑπαγορευθέντων, ὁ βασιλεὺς ἐκινεῖτο μὲν ὑπὸ τοῦ θυμοῦ, καὶ πικρῶς αἰκίζειν τὸν ἅγιον ἠβούλετο, ὤκνει δὲ πάλιν καὶ ἀνεβάλλετο, τὸ αἰδέσιμον αὐτοῦ καὶ περιφανὲς εὐλαβούμενος. Ὑπολαβὼν δὲ ἔφη πρὸς αὐτόν· « Πανταχόθεν, ἄθλιε, τὴν σεαυτοῦ ἐκμελετήσας ἀπώλειαν, πρὸς ταύτην, ὡς ἔοικεν, ὑπὸ τῆς τύχης συνελαυνόμενος, ἠκόνησας τὸν νοῦν ἅμα καὶ τὴν γλῶτταν· ὅθεν ἀσαφῆ τινὰ καὶ ματαίαν βαττολογίαν διεξῆλθες. Καὶ, εἰ μὴ, κατ' ἀρχὰς τοῦ λόγου, ἐπηγγειλάμην σοι ἐκ μέσου τοῦ συνεδρίου τὸν θυμὸν ποιήσασθαι, νῦν ἂν πυρί σου τὰς σάρκας παρέδωκα. Ἐπεὶ δὲ προλαβὼν τοιούτοις με κατησφαλίσω τοῖς ῥήμασιν, ἀνέχομαί σου τοῦ θράσους, τῆς προτέρας μου ἕνεκεν πρὸς σὲ φιλίας. Ἀναστὰς οὖν, λοιπὸν φεῦγε ἐξ ὀφθαλμῶν μου, μηκέτι σε ὄψομαι καὶ κακῶς ἀπολέσω. »

Καὶ ἐξελθὼν ὁ τοῦ Θεοῦ ἄνθρωπος ἀνεχώρησεν εἰς τὴν ἔρημον, λυπούμενος μὲν ὅτι οὐ μεμαρτύρηκε,

(1) Τὰς αἰωνίους σκηνὰς, Lucæ xvi, 9. — i Epist. ad Cor. ii, 9 : ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Et Deum vocavit τὸν πατέρα τῶν φώτων post Jacobum i, 17.

(2) Psalm. liv, 7 : ἐμάκρυνα φυγ.... προσδεχόμενος τὸν σώζοντα.... —C sine τὸν Θεόν. — Psalmistæ hunc locum respexit Theodorus Hyrtac. supra t. iii, p. 18, n. 6.

μαρτυρῶν δὲ καθ' ἡμέραν τῇ συνειδήσει (1), καὶ ἀντιπαλαίων « πρὸς τὰς ἀρχὰς καὶ ἐξουσίας, πρὸς τοὺς » κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, » πρὸς τὰ πνευματικὰ τῆς πονηρίας », ὥς φησιν ὁ μακάριος Παῦλος (2).

Ἐκείνου μὲν οὖν ἀποδημήσαντος, πλέον ὁ βασιλεὺς ὀργισθεὶς διωγμὸν σφοδρότερον κατὰ τοῦ μοναχικοῦ ἐκμελετᾷ τάγματος, πλείονος δὲ τιμῆς τοὺς τῶν εἰδώλων ἀξιοῖ θεραπευτάς τε καὶ νεωκόρους. Ἐν τοιαύτῃ δὲ ὄντος τοῦ βασιλέως πλάνῃ δεινῇ καὶ ἀπάτῃ, γεννᾶται αὐτῷ παιδίον (3), πάνυ εὐμορφότατον, καὶ ἐξ αὐτῆς τῆς ἐπανθούσης αὐτῷ ὡραιότητος τὸ μέλλον προσημαῖνον. Ἐλέγετο γὰρ μηδαμοῦ ἐν τῇ γῇ ἐκείνῃ τοιοῦτόν ποτε φανῆναι χαριέστατον καὶ περικαλλὲς παιδίον. Χαρᾶς δὲ μεγίστης ἐπὶ τῇ γεννήσει τοῦ παιδὸς ὁ βασιλεὺς πλησθεὶς, τοῦτον μὲν Ἰωάσαφ ἐκάλεσεν, αὐτὸς δὲ πρὸς τοὺς εἰδωλικοὺς ναοὺς ἀνοήτως ἀπῄει τοῖς ἀνοητοτέροις αὐτῶν θεοῖς θύσων καὶ εὐχαριστηρίους ὕμνους ἀποδώσων, ἀγνοῶν τίς ὁ τῶν καλῶν ἁπάντων ἀληθῶς αἴτιος, πρὸς ὃν ἔδει τὴν πνευματικὴν ἀναφέρειν θυσίαν. Ἐκεῖνος οὖν, τοῖς ἀψύχοις καὶ κωφοῖς τὴν αἰτίαν τῆς τοῦ παιδὸς γεννήσεως ἀνατιθεὶς, πανταχοῦ διέπεμπε συναγαγεῖν τὰ πλήθη εἰς τὰ τούτου γενέθλια. Καὶ ἦν ἰδεῖν πάντας συῤῥέοντας τῷ φόβῳ τοῦ βασιλέως, ἐπαγομένους τε τὰ πρὸς τὴν θυσίαν εὐτρεπισμένα, ὡς ἑκάστῳ ἡ χεὶρ εὐπόρει καὶ ἡ πρὸς τὸν βασιλέα εὔνοια εἶχε. Μάλιστα δὲ αὐτοὺς ἠρέθιζε πρὸς φιλο-

(1) II ad Cor. 1, 12 : μαρτύριον τῆς συνειδήσεως.

(2) Epist. ad Ephes. VI, 12.

(3) Lemma est in A metri-

τιμίαν αὐτὸς, ταύρους καταθύσαι φέρων (1) ὅτι πλείστους καὶ εὐμεγέθεις, καὶ, οὕτω πάνδημον ἑορτὴν τελέσας, πάντας ἐφιλοτιμεῖτο δώροις ὅσοι τε τῆς βουλῆς ἦσαν καὶ τῶν ἐν τέλει, καὶ ὅσοι περὶ τὸ στρατιωτικὸν, ὅσοι τε τῶν εὐτελῶν καὶ ἀσήμων.

Ἐν αὐτῇ δὲ τῇ τῶν γενεθλίων τοῦ παιδὸς ἑορτῇ συνῆλθον πρὸς τὸν βασιλέα ἐξ ἐπιλογῆς ἄνδρες ὡσεὶ πεντηκονταπέντε, περὶ τὴν ἀστροθεάμονα τῶν Χαλδαίων ἐσχολακότες σοφίαν. Καὶ τούτους ἐγγυτάτω παραστησάμενος ὁ βασιλεὺς ἠρώτα ἐξειπεῖν ἕκαστον τί μέλλει ἔσεσθαι τὸ γεννηθὲν αὐτῷ παιδίον. Οἱ δὲ, πολλὰ διασκεψάμενοι, ἔλεγον μέγαν αὐτὸν ἔσεσθαι ἔν τε πλούτῳ καὶ δυναστείᾳ, καὶ ὑπερβάλλειν πάντας τοὺς πρὸ αὐτοῦ βεβασιλευκότας. Εἷς δὲ τῶν ἀστρολόγων, ὁ τῶν σὺν αὐτῷ πάντων διαφορώτατος, εἶπεν ὡς, « Ἐξ ὧν με διδάσκουσιν οἱ τῶν ἀστέρων δρόμοι, ὦ βασιλεῦ, ἡ προκοπὴ τοῦ νυνὶ γεννηθέντος σοι παιδὸς οὐκ ἐν τῇ σῇ ἔσται βασιλείᾳ, ἀλλ' ἐν ἑτέρᾳ κρείττονι καὶ ἀσυγκρίτως ὑπερβαλλούσῃ. Δοκῶ δὲ καὶ τῆς παρὰ σοῦ διωκομένης αὐτὸν ἐπιλαβέσθαι τῶν χριστιανῶν θρησκείας, καὶ οὐκ ἔγωγε οἶμαι τοῦ σκοποῦ ἐκεῖνον καὶ τῆς ἐλπίδος ψευσθήσεσθαι. »

Ταῦτα μὲν εἶπεν ὁ ἀστρολόγος, ὥσπερ ὁ πάλαι Βαλαὰμ (2), οὐ τῆς ἀστρολογίας ἀληθευούσης, ἀλλὰ

cum: Ἰωάσαφ Γέννησιν ἐνταῦθα βλέπε.

(1) De φέρειν pro ἄγειν vide notam ad Syntipam pag. 181. Niceph. Gregoras VI, 9, 4: φέρων ὁμήρους. Vita Nili Jun. p. 98: φέρων μεθ' ἑαυτοῦ τὸν υἱὸν αὐτοῦ. Potest conferri Soph. Aj. 63: Ποίμνας τε πάσας ἐς δόμους κομίζεται. Idem Ant. 575: ἀλλά νιν Κομίζετ' εἴσω, δμῶες. Ib. 442: Σὺ μὲν κομίζοις ἂν σαυτὸν ᾗ θέλεις. Attius Varronis De l. Lat. VI, p. 82: « Lemnia quis tu es mortalis qui » in deserta et tesca te apportes » loca? »

(2) Numer. XXII.

τοῦ Θεοῦ διὰ τῶν ἐναντίων τὰ τῆς ἀληθείας παραδεικνῦντος, ὥστε πᾶσαν τοῖς ἀσεβέσι πρόφασιν περιαιρεθῆναι· ὁ δὲ βασιλεὺς, ὡς ἤκουσε ταῦτα, καὶ βαρέως τὴν ἀγγελίαν ἐδέξατο, λύπη δὲ τὴν εὐφροσύνην αὐτῷ διέκοπτεν.

Ἐν πόλει δὲ ὅμως ἰδιαζούσῃ παλάτιον δειμάμενος περικαλλὲς καὶ λαμπρὰς οἰκίας φιλοτεχνήσας, ἐκεῖ τὸν παῖδα ἔθετο κατοικεῖν, μετὰ τὴν συμπλήρωσιν τῆς πρώτης αὐτῷ ἡλικίας, ἀπρόϊτόν τε εἶναι παρεκελεύσατο, παιδαγωγοὺς αὐτῷ καὶ ὑπηρέτας καταστήσας, νέους τῇ ἡλικίᾳ καὶ τῇ ὁράσει ὡραιοτάτους, ἐπισκήψας αὐτοῖς μηδὲν τῶν τοῦ βίου ἀνιαρῶν κατάδηλον αὐτῷ ποιήσασθαι, μὴ θάνατον, μὴ γῆρας, μὴ νόσον, μὴ πενίαν, μὴ ἄλλο τι λυπηρὸν καὶ δυνάμενον τὴν εὐφροσύνην αὐτῷ διακόπτειν, ἀλλὰ πάντα τὰ τερπνὰ καὶ ἀπολαυστικὰ προτιθέναι, ἵνα τούτοις ὁ νοῦς αὐτοῦ τερπόμενος καὶ ἐντρυφῶν μηδὲν ὅλως περὶ τῶν μελλόντων διαλογίζεσθαι ἰσχύσειε, μήτε μέχρι ψιλοῦ ῥήματος τὰ περὶ τοῦ Χριστοῦ καὶ τῶν αὐτοῦ δογμάτων ἀκούσειεν. Τοῦτο γὰρ μάλιστα πάντων ἀποκρύψαι αὐτῷ διενοεῖτο, τὴν τοῦ ἀστρολόγου προαγόρευσιν ὑφορώμενος. Εἴ τινα δὲ τῶν ὑπηρετούντων αὐτῷ νοσῆσαι συνέβη, τοῦτον μὲν θᾶττον ἐκβαλεῖν ἐκεῖθεν παρεκελεύετο, ἕτερον δὲ ἀντ' αὐτοῦ σφριγῶντα καὶ εὐεκτοῦντα ἐδίδου, ἵνα μηδὲν ὅλως ἀνώμαλον οἱ τοῦ παιδὸς ὀφθαλμοὶ θεάσαιντο.

Ὁ μὲν οὖν βασιλεὺς οὕτω ταῦτα διενοεῖτό τε καὶ ἐποίει· βλέπων γὰρ οὐχ ἑώρα, καὶ ἀκούων οὐ συνίει (1)·

(1) Isai. VI, 9 : ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε. Conf. Matth. XIII, 13.

μαθὼν δέ τινας τῶν μοναζόντων ἔτι περισώζεσθαι, ὧν μηδὲ ἴχνος ὑπολελεῖφθαι ἐδόκει, θυμοῦ ὑπερεπίμπλατο καὶ ὀξύτατα κατ' αὐτῶν ἐκινεῖτο, κήρυκάς τε ἀνὰ πᾶσαν τὴν πόλιν καὶ τὴν χώραν ἐκέλευε διαθέειν, ἐκβοῶντας μηδαμοῦ τινὰ τὸ παράπαν μετὰ τρεῖς ἡμέρας τοῦ τῶν μοναζόντων τάγματος εὑρεθῆναι· « Εἰ δέ τινες εὑρεθεῖεν μετὰ τὰς διωρισμένας ἡμέρας, τῷ διὰ πυρὸς καὶ ξίφους ὀλέθρῳ παραδοθήτωσαν· οὗτοι γὰρ » (φησίν) « ἀναπείθουσι τὸν λαὸν ὡς θεῷ προσέχειν τῷ ἐσταυρωμένῳ. »

Ἐν δὲ τῷ μεταξὺ συνέβη καί τι τοιοῦτον, ἐφ' ᾧ ἐπὶ πλέον χαλεπαίνων ἦν ὁ βασιλεὺς καὶ κατὰ τῶν μοναζόντων ὀργιζόμενος.

Ἀνὴρ γάρ τις, τῶν ἐν τέλει τὰ πρῶτα φέρων, ἐν τοῖς βασιλείοις ἐτύγχανε, τὸν μὲν βίον ἐπιεικὴς, εὐσεβὴς δὲ τὴν πίστιν· καὶ, τὴν ἑαυτοῦ σωτηρίαν, ὡς οἷόν τε, ἐμπορευόμενος, λανθάνων ἦν διὰ τὸν φόβον τοῦ βασιλέως. Ὅθεν τινὲς, τῆς εἰς τὸν βασιλέα παῤῥησίας τούτῳ βασκήναντες, διαβάλλειν αὐτὸν ἐμελέτων, καὶ τοῦτο αὐτοῖς διὰ φροντίδος ἦν (1).

Καὶ δή ποτε πρὸς θήραν ἐξελθόντι τῷ βασιλεῖ μετὰ τῆς συνήθους αὐτῷ δορυφορίας, εἷς ἦν τῶν συνθηρευτῶν καὶ ὁ ἀγαθὸς ἐκεῖνος ἀνήρ. Περιπατοῦντι δὲ αὐτῷ κατὰ μόνας, ἐκ θείας τοῦτο συμβὰν (2), ὡς οἶμαι, οἰκονομίας, εὑρίσκει ἄνθρωπον ἐν λόχμῃ τινὶ κατὰ γῆς ἐῤῥιμμένον, καὶ δεινῶς τὸν πόδα ὑπὸ θηρίου

(1) Lemma metricum in codice A : Τὴν βασκανίαν ἀσεβῶν ἀνδρῶν ὅρα.

(2) Codex C, ἐκ θείας οἶμαι συμβὰν τοῦτο οἰκονομίας. De pari formula οὕτω συμβὰν vide supra t. I, pag. 168, 11; t. II, pag. 47, n. Nicephorus Gregoras Histor. IV, 6, 2: συμβὰν οὑτωσὶ θειοτέρᾳ προνοίᾳ.

συντετειμμένον, ὃς, ἰδὼν αὐτὸν παριόντα, ἐδυσώπει μὴ παραδραμεῖν, ἀλλ' οἰκτεῖραι αὐτὸν τῆς συμφορᾶς, καὶ εἰς τὸν ἴδιον ἀπαγαγεῖν οἶκον, ἅμα καὶ τοῦτο προστιθεὶς, ὡς « Οὐκ ἀνόνητός σοι καὶ παντελῶς ἀνενέργητος » φησὶν « εὑρεθείην ἐγώ. » Ὁ δὲ λαμπρὸς ἐκεῖνος ἀνὴρ λέγει αὐτῷ· « Ἐγὼ μὲν διʼ αὐτοῦ τοῦ καλοῦ τὴν φύσιν προσλήψομαί σε καὶ θεραπείας, ὅση δύναμις, ἀξιώσω· ἀλλὰ τίς ἡ ὄνησις, ἣν παρὰ σοῦ μοι ἔσεσθαι ἔφησας »; Ὁ δὲ πένης ἐκεῖνος καὶ ἀσθενής « Ἐγώ » φησίν « ἄνθρωπός εἰμι θεραπευτὴς ῥημάτων· εἰ γάρ ποτε ἐν ῥήμασιν ἢ ὁμιλίαις πληγή τις ἢ κάκωσις εὑρεθείη, καταλλήλοις φαρμάκοις ταῦτα θεραπεύσω, τοῦ μὴ περαιτέρω τὸ κακὸν χωρῆσαι. »

Ὁ μὲν οὖν εὐσεβὴς ἀνὴρ ἐκεῖνος τὸ λεχθὲν ἀντ' οὐδενὸς ἡγήσατο, ἐκεῖνον δὲ διὰ τὴν ἐντολὴν ἀπαγαγεῖν οἴκαδε παρεκελεύσατο, καὶ τῆς προσηκούσης ἐπιμελείας οὐκ ἀπεστέρησεν.

Οἱ δὲ προμνημονευθέντες φθονεροὶ ἐκεῖνοι καὶ βάσκανοι, ἣν πάλαι ὤδινον κακίαν εἰς φῶς προενεγκόντες, διαβάλλουσι τὸν ἄνδρα πρὸς τὸν βασιλέα, ὡς οὐ μόνον, τῆς αὐτοῦ φιλίας ἐπιλαθόμενος, ἠλόγησε τῆς πρὸς τοὺς θεοὺς θεραπείας καὶ πρὸς χριστιανισμὸν ἀπέκλινεν, ἀλλὰ καὶ δεινὰ κατὰ τῆς αὐτοῦ μελετᾷ βασιλείας, τὸν ὄχλον διαστρέφων καὶ ἑαυτῷ πάντας οἰκειούμενος. « Ἀλλ', εἰ βούλει » φησί « βεβαιωθῆναι μηδὲν ἡμᾶς πεπλασμένον λέγειν, καλέσας αὐτὸν ἰδίως, εἰπὲ πειράζων βούλεσθαί σε, καταλιπόντα τὴν πάτριον θρησκείαν καὶ τὴν δόξαν τῆς βασιλείας, χριστιανὸν γενέσθαι, καὶ τὸ μοναχικὸν περιβαλέσθαι σχῆμα, ὃ πάλαι ἐδίωξας, ὡς οὐ καλῶς δῆθεν τούτου

γεγεννημένου.» Οἱ γὰρ ταῦτα δεινῶς κατὰ τοῦ ἀνδρὸς σκηπτόμενοι ᾔδεισαν τῆς αὐτοῦ γνώμης τὴν εὐκατάνυκτον προαίρεσιν, ὡς, εἰ τοιαῦτα παρὰ τοῦ βασιλέως ἀκούσειεν, ἐκείνῳ μὲν τὰ κρείττονα βουλευσαμένῳ γνώμην δώσειε μὴ ἀναβαλέσθαι πρὸς τὰ καλῶς βεβουλευμένα, καὶ ἐκ τούτου ἀληθῆ λέγοντες ἐκεῖνοι εὑρεθεῖεν.

Ὁ δὲ βασιλεὺς, τὴν τοῦ ἀνδρὸς πρὸς αὐτὸν εὔνοιαν ὁπόση μὴ ἀγνοῶν, ἀπίθανά τε ἡγεῖτο καὶ ψευδῆ τὰ λεγόμενα, καὶ, ὅτι μὴ ἀβασανίστως ταῦτα προσδέχεσθαι δεῖ, δοκιμάσαι τὸ πρᾶγμα καὶ τὴν διαβολὴν διεσκέψατο. Καὶ, προσκαλεσάμενος αὐτὸν κατ' ἰδίαν, ἔφη πειράζων· «Οἶδας, ὦ φίλε, ὅσα ἐνεδειξάμην τοῖς τε λεγομένοις μονάζουσι καὶ πᾶσι τοῖς χριστιανοῖς. Νυνὶ δὲ, μετάμελος ἐπὶ τούτῳ γενόμενος καὶ καταγνοὺς τῶν παρέντων, ἐκείνων βούλομαι γενέσθαι τῶν ἐλπίδων ὧν λεγόντων αὐτῶν ἀκήκοα, ἀθανάτου τινὸς βασιλείας εἰς ἄλλην βιοτὴν μελλούσης ἔσεσθαι· ἡ γὰρ παροῦσα θανάτῳ πάντως διακόπτεται. Οὐκ ἂν ἄλλως δὲ τοῦτο κατορθωθῆναί μοι δοκῶ καὶ μὴ διαμαρτεῖν τοῦ σκοποῦ, εἰ μὴ χριστιανός τε γένωμαι, καὶ, χαίρειν εἰπὼν τῇ δόξῃ τῆς ἐμῆς βασιλείας καὶ τοῖς λοιποῖς ἡδέσι καὶ τερπνοῖς τοῦ βίου, τοὺς ἀσκητὰς ἐκείνους καὶ μονάζοντας ζητήσας ὅπου ποτ' ἂν εἶεν, οὓς ἀδίκως ἀπήλασα, ἐκείνοις ἑαυτὸν ἐγκαταμίξω. Πρὸς ταῦτα τί φὴς αὐτὸς, καὶ ὁποίαν δίδως βουλήν; εἰπὲ, πρὸς αὐτῆς τῆς ἀληθείας. Οἶδα γὰρ ἀληθῆ καὶ εὐγνώμονα εἶναί σε ὑπὲρ πάντας.»

Ὁ δὲ ἀγαθὸς ἀνὴρ ἐκεῖνος, ὡς ταῦτα ἤκουσε, μηδόλως τὸν ἐγκεκρυμμένον ἐπιγνοὺς δόλον, κατενύγη

τὴν ψυχὴν, καὶ δάκρυσι συγκεχυμένοις, ἁπλοϊκῶς ἀπεκρίνατο· « Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι (1)· βουλὴν γὰρ ἀγαθὴν καὶ σωτήριον ἐβουλεύσω, ὅτι, κἂν δυσεύρετος ἡ (2) τῶν οὐρανῶν βασιλεία, ἀλλ' ὅμως δεῖ ταύτην πάσῃ δυνάμει ζητεῖν· « ὁ ζητῶν γάρ », φησίν (3), « εὑρήσει αὐτήν· » ἡ δὲ τῶν παρόντων ἀπόλαυσις, κἂν τῷ φαινομένῳ τέρπῃ καὶ ἡδύνῃ, ἀλλὰ καλὸν αὐτὴν ἀπώσασθαι· ἐν αὐτῷ γὰρ τῷ εἶναι οὐκ ἔστι, καὶ οὓς εὐφραίνει ἐπταπλασίως αὖθις λυπεῖ. Τά τε γὰρ ἀγαθὰ αὐτῆς τά τε λυπηρὰ σκιᾶς ἐστιν ἀσθενέστερα, καὶ, ὡς ἴχνη νηὸς ποντοπορούσης ἢ ὀρνέου τὸν ἀέρα διερχομένου (4), θᾶττον ἀφανίζονται. Ἡ δὲ τῶν μελλόντων ἐλπὶς, ἣν κηρύττουσιν οἱ χριστιανοὶ, βεβαία ἐστὶ καὶ ἀσφαλεστάτη· θλίψιν δὲ ἔχει ἐν τῷ κόσμῳ. Ἀλλὰ τὰ μὲν ἡμέτερα νῦν ἡδέα, ὀλιγοχρόνια, ἐκεῖ δὲ ὅλως οὐδὲν ἢ κόλασιν μόνον προξενοῦντα καὶ τιμωρίαν εἰς αἰῶνας μὴ λυομένην· τὸ γὰρ ἡδὺ τούτων, πρόσκαιρον, τὸ δὲ ὀδυνηρὸν, διηνεκές· τῶν δὲ χριστιανῶν τὸ μὲν ἐπίπονον, πρόσκαιρον, τὸ δὲ ἡδὺ καὶ χρήσιμον, ἀθάνατον. Κατευθυνθείη οὖν ἡ ἀγαθὴ τοῦ βασιλέως βουλή· καλὸν γὰρ, σφόδρα καλὸν τῶν φθαρτῶν τὰ αἰώνια ἀνταλλάξασθαι. »

(1) Formula orationis orientalis. Daniel VI, 21 : εἶπε Δανιὴλ τῷ βασιλεῖ· Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι. Quæ verba recitans Jo. Chrysostomus, pag. 78 Cotel., ὅρα, inquit, ῥῆμα κολακείας γέμον. Philosophus, in narratione de Syntipa p. 25, Cyro rege adorato, εἰς τὸν αἰῶνα ζῆθι, ait. Ibidem p. 60 : ζώοις εἰς τὸν αἰῶνα, βασιλεῦ. Adde pp. 37, 47, 100, 152; atque notas ad Ælianum Hist. Var. I, 32; Coteleriurn ad locum Joannis Chrysostomi p. 214; et supra, t. III, p. 391, n. 1, verba Nicephori Chumni ad imperatorem.

(2) Forsan εἰ ἡ.

(3) Christus apud Luc. XI, 10; Matth. VII, 8.

(4) Conf. Sap. Salom. V, 9, 10, 11.

Ἤκουσε ταῦτα ὁ βασιλεὺς καὶ λίαν ἐδυσχέρανε· κατέσχε δὲ ὅμως τὴν ὀργὴν, καὶ οὐδὲν τέως τῷ ἀνδρὶ λελάληκεν.

Ὁ δὲ, συνετὸς ὢν καὶ ἀγχίνους, ἐπέγνω βαρέως δέξασθαι τὸν βασιλέα τὰ ῥήματα αὐτοῦ καὶ ὅτι δόλῳ ἦν αὐτὸν ἐκπειράζων. Ὑποστρέψας δὲ οἴκαδε ἠνιᾶτο καὶ ἐδυσφόρει, ἀπορῶν τίνι τρόπῳ θεραπεύσει τὸν βασιλέα καὶ ἐκφύγῃ τὸν ἐπηρτημένον αὐτῷ κίνδυνον. Ἀΰπνῳ δὲ ὅλην τὴν νύκτα διατελοῦντι ἐπὶ μνήμης ἦλθεν αὐτῷ ὁ τὸν πόδα συντετριμμένος, καὶ, τοῦτον πρὸς ἑαυτὸν ἀγαγὼν, ἔφη· « Μέμνημαί σου εἰρηκότος (1) θεραπευτὴν ῥημάτων κεκακωμένων ὑπάρχειν σε. » Ὁ δὲ « Ναί », φησί· « καὶ, εἰ χρήζεις, ἐπιδείξομαι τὰ τῆς ἐπιστήμης. » Ὑπολαβὼν δὲ ὁ συγκλητικὸς ἀφηγήσατο αὐτῷ τήν τε ἐξ ἀρχῆς πρὸς τὸν βασιλέα εὔνοιαν αὐτοῦ, καὶ ἣν ἐκέκτητο παῤῥησίαν, καὶ τὴν ἔναγχος προτεθεῖσαν αὐτῷ δολερὰν ὁμιλίαν, καὶ ὅπως αὐτὸς μὲν ἀγαθὰ ἀπεκρίνατο, ἐκεῖνος δὲ δυσχερῶς δεξάμενος τὸν λόγον, τῇ τοῦ προσώπου ἀλλοιώσει τὴν ἐνδομυχοῦσαν αὐτῷ ὀργὴν ἐνεδείξατο.

Ὁ δὲ πένης ἐκεῖνος καὶ ἀσθενὴς διασκεψάμενος ἔφη· « Γνωστὸν ἔστω σοι (2), ἐνδοξότατε, πονηρὰν ἔχειν πρὸς σὲ ὑπόληψιν τὸν βασιλέα, ὡς ὅτι κατασχεῖν αὐτοῦ τὴν βασιλείαν ζητεῖς, καὶ πειράζων σε εἶπεν ἅπερ εἶπεν. Ἀναστὰς οὖν, καὶ κείρας σου τὴν κόμην, καὶ ἐκβαλὼν τὰ λαμπρὰ ἱμάτια ταῦτα,

(1) Conf. p. 22, 10.

(2) Dan. III, 18: γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι... Esdras IV, 12: γνωστὸν ἔστω τῷ βασιλεῖ ὅτι... Act. Ap. II, 14: τοῦτο ὑμῖν γνωστὸν ἔστω. Et sic sæpius in Bibliis. In narratione de Syntipa p. 113: γνωστόν σοι ἔστω, ὦ βασιλεῦ, ὡς.... Sic et Leo Diac. V, 6, p. 152; Zacharias Epist. e Perside p. 315.

τρίχινα δὲ ἀμφιασάμενος, ἅμα πρωῒ πρόσελθε τῷ βασιλεῖ. Τοῦ δὲ πυνθανομένου, « Τί σοι τὸ σχῆμα » τοῦτο βούλεται »; ἀποκρίθητι· « Περὶ ὧν μοι χθὲς » ὡμίλησας, ὦ βασιλεῦ, ἰδοὺ πάρειμι ἐν ἑτοίμῳ (1) » τοῦ ἀκολουθῆσαί σοι τὴν ὁδὸν ἣν προεθυμήθης ὁδεῦ- » σαι· εἰ γὰρ καὶ ποθεινή ἐστιν ἡ τρυφὴ καὶ ἡδίστη, » ἀλλὰ μή μοι γένοιτο μετὰ σὲ ταύτην ἀναδέ- » ξασθαι· ἡ δὲ τῆς ἀρετῆς ὁδὸς, ἣν μέλλεις βαδίζειν, » κἂν δύσκολός ἐστι καὶ τραχεῖα, ἀλλὰ μετὰ σοῦ » ὄντι ῥᾳδία μοι αὕτη καὶ εὔκολος καὶ ποθεινή· ὡς » γὰρ κοινωνόν με ἔσχες τῶν ἐνταῦθα καλῶν, οὕτω » καὶ τῶν λυπηρῶν ἕξεις, ἵνα καὶ τῶν μελλόντων συγ- » κοινωνήσω σοι. »

Ὁ δὲ λαμπρὸς ἐκεῖνος ἀνὴρ, ἀποδεξάμενος τὰ ῥήματα τοῦ ἀσθενοῦς, ἐποίησε καθὰ δὴ καὶ αὐτῷ λελάληκεν· ὃν ἰδὼν ὁ βασιλεὺς καὶ ἀκούσας, ἥσθη μὲν ἐπὶ τούτῳ, ἀγάμενος λίαν τὴν εἰς αὐτὸν εὔνοιαν, ψευδῆ δὲ τὰ κατ' αὐτοῦ λαληθέντα γνοὺς, πλείονος αὐτὸν τιμῆς καὶ τῆς εἰς αὐτὸν παῤῥησίας ἀπολαύειν πεποίηκεν.

Κατὰ δὲ τῶν μοναζόντων ὀργῆς αὖθις ὑπερεπίμπλατο, ἐκείνων εἶναι ταῦτα λέγων τὰ διδάγματα, τὸ ἀπέχεσθαι τοὺς ἀνθρώπους τῶν τοῦ βίου ἡδέων καὶ ἀδήλοις ὀνειροπολεῖσθαι ἐλπίσιν. Ἐξερχόμενος δὲ αὖθις εἰς θήραν, ὁρᾷ δύο μοναχοὺς κατὰ τὴν ἔρημον διερχομένους, οὓς κρατηθῆναι καὶ τῷ αὐτοῦ προσαχθῆναι ὀχήματι κελεύσας, ὀργίλως τε αὐτοῖς ἐνιδὼν (2),

(1) B, ἐνετυμή. An, ἐν ἑτοίμῃ? Sed ἐν ἑτοίμῳ potuit auctor e Paulo sumere, quem multum legerat. Paulus enim II ad Cor. x, 6 : ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι.

(2) B, εἰδὼν : scilicet pro ἰδὼν,

καὶ πῦρ, τὸ τοῦ λόγου, πνεύσας, ἔφη· « Οὐκ ἠκούσατε, ὦ πλάνοι καὶ ἀπατεῶνες, τῶν κηρύκων διαῤῥήδην βοώντων μή τινα τῆς ὑμῶν κακοδαιμονίας μετὰ τρεῖς ἡμέρας ἐν πόλει ἢ χώρᾳ τῆς ἐμῆς εὑρεθῆναι ἐξουσίας, ἢ πάντως πυρίκαυστος ἔσται; »

Οἱ δὲ μοναχοί· « Ἰδοὺ » (φησί) « καθὰ δὴ καὶ προσέταξας, ἐξερχόμεθά σου τῶν πόλεων καὶ τῶν χωρῶν· μακρᾶς δὲ ἡμῖν τῆς ὁδοῦ προκειμένης τοῦ ἀπελθεῖν πρὸς τοὺς ἡμετέρους ἀδελφοὺς, ἐνδεῶς ἔχοντες τροφῆς, ταύτην ἐπορεζόμεθα, τοῦ ἔχειν τὰ ἐφόδια καὶ μὴ λιμοῦ παρανάλωμα γενέσθαι. »

Ὁ δὲ βασιλεὺς ἔφη· « Ὁ θανάτου δεδοικὼς ἀπειλὴν οὐκ ἀσχολεῖται εἰς πορισμὸν βρωμάτων. » Λέγουσιν οἱ μονασταί· « Καλῶς εἶπας, ὦ βασιλεῦ· οἱ θάνατον δεδοικότες διὰ φροντίδος ἔχουσι πῶς αὐτὸν ἐκφύγωσι. Τίνες δέ εἰσιν οὗτοι; ἀλλ' ἢ οἱ τοῖς ῥευστοῖς προστετηκότες καὶ τούτοις ἐπτοημένοι, οἵτινες, μηδὲν ἀγαθὸν ἐλπίζοντες εὑρεῖν ἐκεῖθεν, δυσαποσπάστως ἔχουσι τῶν παρόντων, καὶ διὰ τοῦτο δεδοίκασι θάνατον. Ἡμεῖς δὲ οἱ πάλαι μισήσαντες κόσμον καὶ τὰ ἐν κόσμῳ, καὶ τὴν στενὴν καὶ τεθλιμμένην διὰ Χριστὸν βαδίζοντες ὁδὸν (1), οὔτε θάνατον δεδοίκαμεν, οὔτε τὰ παρόντα ποθοῦμεν, ἀλλὰ τῶν μελλόντων ἐφιέμεθα μόνον. Ἐπεὶ οὖν ὁ παρ' ὑμῶν ἐπαγ-

omissa præpositione. Basilius Macedo Præc. c. 65 : *μὴ οὖν μέγα ἐπαρθῇς, φησὶν, ἵνα μὴ μεῖζον πέσῃς.* Codex 2991 A, *καταπέσῃς*, quod non prætulerim, memor versus Euripidei, cujus Basilius meminerat : *Ἐπαίρεται γὰρ μεῖζον, ἵνα μεῖζον πέσῃ.* Conf. supra t. 1, pag. 61, n. 5. Præterea est *φημὶ* in editione Paradisii : codex idem apte tenet *φησί*. Basilius rursus c. 56 : *ἱστορίας ἀρχαίας ἐξέρχεσθαι μὴ κατόκνει.* Codex optime, *διεξέρχεσθαι*.

(1) Conf. Matthæi locus supra pag. 1, n. 2.

μενος ἡμῖν θάνατος διαβατήριον γίνεται τῆς ἀϊδίου ζωῆς καὶ κρείττονος, ποθητὸς ἡμῖν μᾶλλον ἢ φοβερός ἐστιν οὗτος. »

Ἐφ' οἷς ἐξ ἀγχινοίας δῆθεν ὁ βασιλεὺς ἐπιλαβέσθαι τῶν μοναχῶν βουλόμενος, ἔφη· « Τί δέ; οὐ πρὸ μικροῦ εἴπατε ὑποχωρεῖν ὑμᾶς, καθὰ δὴ καὶ προσέταξα; καὶ, εἰ οὐ δεδοίκατε τὸν θάνατον, πῶς φυγῇ ἐχρήσασθε; Ἰδοὺ καὶ ταῦτα μάτην κομπάζοντες διεψεύσασθε. » Ἀπεκρίθησαν οἱ μοναχοί· « Οὐ τὸν παρὰ σοῦ ἀπειλούμενον θάνατον δεδιότες φεύγομεν, ἀλλ' ἐλεοῦντές σε. Ἵνα μὴ περισσοτέρας κατακρίσεως αἴτιοί σοι γενώμεθα, προεθυμήθημεν ὑποχωρεῖν· ἐπεὶ, τό γε εἰς ἡμᾶς ἧκον (1), οὐδόλως σου τὰς ἀπειλάς ποτε δειλιῶμεν. »

Πρὸς ταῦτα ὁ βασιλεὺς ὀργισθεὶς ἐκέλευσεν αὐτοὺς πυρικαύστους γενέσθαι· καὶ ἐτελειώθησαν οἱ τοῦ Χριστοῦ θεράποντες διὰ πυρὸς, τῶν μαρτυρικῶν τυχόντες στεφάνων. Δόγμα τε ἐξέθετο, εἴ πού τις εὑρεθῇ μονάζων, ἀνεξετάστως φονεύεσθαι. Καὶ οὐδεὶς ὑπελείφθη ἐν ἐκείνῃ τῇ χώρᾳ τοῦ τοιούτου τάγματος, εἰ μὴ οἱ ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ἑαυτοὺς κατακρύψαντες.

Ταῦτα μὲν οὖν δὴ τοιαῦτα· ὁ δὲ τοῦ βασιλέως υἱὸς, περὶ οὗ ὁ λόγος ἀπ' ἀρχῆς εἰπεῖν ὥρμηται, ἐν τῷ κατασκευασθέντι αὐτῷ παλατίῳ ἀπρόϊτος ὢν,

(1) Formulis τὸ μὲν εἰς ἐκεῖνον ἧκον, τό γε εἰς ἐμὲ ἧκον, τό γε εἰς αὐτοὺς ἧκον, usus est Jo. Cantacuzenus Hist. pp. 192, 252, 254, 331, &c. Vide et Jo. Veccum Orat. de injusta sui depositione p. 15. Auctor apud Hasium ad Leon. Diac. p. 232, 1: ὅσον τὸ εἰς αὐτοὺς ἧκον. Niceph. Chumnus Epist. 27 inedita: οὐ φέρομεν, τό γ' ἧκον εἰς ἡμᾶς. Alia adtulit Hasius ibid. p. 208.

τῆς ἐφήβου ἥψατο ἡλικίας, πᾶσαν τὴν Αἰθιόπων καὶ Περσῶν μετελθὼν παιδείαν (1), οὐκ ἔλαττον τὴν ψυχὴν ἢ τὸ σῶμα εὐφυὴς ὢν καὶ ὡραῖος, νουνεχής τε καὶ φρόνιμος καὶ πᾶσι διαλάμπων ἀγαθοῖς πλεονεκτήμασι, ζητήματά τε φυσικὰ πρὸς τοὺς διδάσκοντας αὐτὸν προβαλλόμενος, ὡς κἀκείνους θαυμάζειν ἐπὶ τῇ τοῦ παιδὸς ἀγχινοίᾳ καὶ συνέσει, ἐκπλήττεσθαι δὲ καὶ τὸν βασιλέα τό τε χαριέστατον τοῦ προσώπου καὶ τὸ τῆς ψυχῆς κατάστημα. Ἐντολάς τε ἐδίδου τοῖς συνοῦσιν αὐτῷ, μηδὲν τὸ παράπαν τῶν τοῦ βίου ἀνιαρῶν αὐτῷ γνώριμον θεῖναι, μηδ' ὅτι ὅλως θάνατος τὰ παρόντα τερπνὰ διαδέχεται. Κεναῖς δὲ ἐπερείδετο ἐλπίσι, καὶ, τοῦτο δὴ τὸ τοῦ λόγου, εἰς οὐρανὸν τοξεύειν (2) ἐπιχειρῶν. Πῶς γὰρ ἂν καὶ διέλαθεν ἀνθρωπίνῃ φύσει ὁ θάνατος; οὐ μέντοι οὐδὲ τῷ παιδὶ διέλαθε.

Πάσῃ γὰρ συνέσει κατάκομον ἔχων ἐκεῖνος τὸν λογισμὸν, ἐσκόπει καθ' ἑαυτὸν τίνι λόγῳ αὐτόν τε ἀπρόϊτον εἶναι ὁ πατὴρ κατεδίκασε καὶ παντὶ τῷ βουλομένῳ τὴν εἰς αὐτὸν οὐ συγχωρεῖ εἴσοδον. Ἔγνω γὰρ καθ' ἑαυτὸν μὴ ἄνευ τῆς τοῦ πατρὸς προσταγῆς τοῦτο εἶναι. Ὅμως ᾐδεῖτο ἐρωτῆσαι αὐτόν· τοῦτο μὲν ἀπίθανον εἶναι λέγων, μὴ τὰ συμφέροντα αὐτῷ τὸν πατέρα διανοεῖσθαι, τοῦτο δὲ σκοπῶν, ὡς, εἰ κατὰ γνώμην τοῦ πατρὸς ἐστὶ τὸ πρᾶγμα, κἂν ἐρωτήσῃ, οὐκ ἂν αὐτῷ τὰ τῆς ἀληθείας γνωριοῖ (3). Ὅθεν παρ'

(1) Lemma metricum in A: πᾶσαν διῆλθε παιδείαν Ἰωάσαφ.

(2) Vide t. III, p. 382, n. 1.

(3) A, γνωρίσει, et sic B, si bene notavi. C, γνωρίσῃ. Scripsi γνωριοῖ, ea varietate fretus. Inde possunt meliores auctores juvari. Libanius Epist. 382, quæ in codice 3002, non Καλυκίῳ, ut vulgo, sed Τιτιανῷ est inscripta:

ἄλλων, καὶ μὴ παρὰ τοῦ πατρὸς, ταῦτα μαθεῖν διέγνω. Ἕνα δὲ τῶν παιδαγωγῶν προσφιλέστατον καὶ οἰκειότατον τῶν λοιπῶν κεκτημένος, ἐπὶ πλεῖον οἰκειωσάμενος καὶ δωρεαῖς φιλοτίμοις δεξιωσάμενος, ἐπυνθάνετο παρ' αὐτοῦ τί ἂν βούλοιτο τῷ βασιλεῖ ἡ ἐν τῷ περιτειχίσματι ἐκείνῳ τούτου κάθειρξις, καὶ ὡς « Εἰ τοῦτο » φησί « σαφῶς διδάξεις με, πρόκριτος πάντων ἔσῃ μοι, καὶ διαθήκην φιλίας διηνεκοῦς διαθήσομαί σοι. »

Ὁ δὲ παιδαγωγὸς, ἐχέφρων καὶ αὐτὸς ὑπάρχων, καὶ εἰδὼς τὴν τοῦ παιδὸς συνετὴν καὶ τελείαν φρόνησιν, καὶ ὡς οὐκ ἂν αὐτῷ γένοιτο κινδύνου πρόξενος, πάντα αὐτῷ κατὰ μέρος διηγήσατο, τὸν κατὰ τῶν χριστιανῶν τεθέντα παρὰ τοῦ βασιλέως διωγμὸν καὶ ἐξαιρέτως κατὰ τῶν ἀσκητῶν, ὅπως τε ἀπηλάθησαν καὶ ἐξεβλήθησαν τῆς περιχώρου ἐκείνης, οἷά τε γεννηθέντος αὐτοῦ οἱ ἀστρολόγοι προηγόρευσαν. « Ἵν' οὖν » φησί « μὴ, ἀκούσας τῆς ἐκείνων διδαχῆς, ταύτην προκρίνῃς τῆς ἡμετέρας θρησκείας, μὴ προσομιλεῖν σοι πολλοὺς, ἀλλ' εὐαριθμήτους, ὁ βασιλεὺς ἐπετηδεύσατο, ἐντολὰς ἡμῖν δοὺς μηδέν σοι τῶν τοῦ βίου ἀνιαρῶν γνωρίσαι. »

Ταῦτα ὡς ἤκουσεν ὁ νεανίας οὐδὲν ἕτερον προσέθετο λαλῆσαι· ἥψατο δὲ τῆς καρδίας αὐτοῦ λόγος σωτήριος, καὶ ἡ τοῦ Παρακλήτου χάρις τοὺς νοητοὺς αὐτοῦ ὀφθαλμοὺς διανοίγειν ἐπεχείρησε, πρὸς τὸν

γράμματα γοῦν ἐλθεῖν ὑπὲρ τῶν γάμων ἐχρῆν παρὰ σοῦ δηλοῦντα, ὡς τὰ μὲν ἔχοι σοι καλῶς, τῶν δὲ λόγων νῦν ἐπὶ σαυτοῦ φροντίζεις· malo ἔχει, quod verbum legi in codice 3035. Choricius in Villoisoni Anecdotis Græcis tom II, pag. 57 : τὸν φιλόστοργον ἀντῖλον πατέρα, παιδὸς, οὗ μὴ φέρει τὴν τελευτὴν, ἀποστερήσας· imo, φέρει.

ἀψευδῆ χειραγωγοῦσα θεὸν, ὡς προϊὼν ὁ λόγος δηλώσειε.

Συχνῶς δὲ τοῦ πατρὸς αὐτοῦ καὶ βασιλέως κατὰ θέαν τοῦ παιδὸς ἐρχομένου (ἀγάπῃ γὰρ ὑπερβαλλούσῃ ἐφίλει αὐτόν), ἐν μιᾷ (1) λέγει αὐτῷ ὁ υἱός· « Μαθεῖν τι ἐπεθύμησα παρὰ σοῦ, ὦ δέσποτα καὶ βασιλεῦ, ἐφ' ᾧ λύπη διηνεκὴς καὶ μέριμνα ἀδιάπαυστος κατεσθίει μου τὴν ψυχήν. » Ὁ δὲ πατὴρ, ἐξ αὐτῶν τῶν ῥημάτων ἀλγήσας τὰ σπλάγχνα, ἔφη· « Λέγε μοι, τέκνον ποθεινότατον, τίς ἡ συνέχουσά σε λύπη, καὶ θᾶττον αὐτὴν εἰς χαρὰν μεταμεῖψαι σπουδάσω. » Καὶ φησὶν ὁ παῖς· « Τίς ὁ τρόπος τῆς ἐμῆς ἐνθάδε καθείρξεως, ὅτι ἐντὸς τειχέων καὶ πυλῶν συνέκλεισάς με, ἀπρόϊτον πάντῃ καὶ ἀθέατον πᾶσί με καταστήσας »; Καὶ ὁ πατὴρ ἔφη· « Οὐ βούλομαι, ὦ τέκνον, ἰδεῖν σέ τι τῶν ἀνιαζόντων τὴν καρδίαν σου καὶ ἐγκοπτόντων σοι τὴν εὐφροσύνην. Ἐν τρυφῇ γὰρ διηνεκεῖ καὶ χαρᾷ πάσῃ καὶ θυμηδίᾳ ζῆσαί σε τὸν ἅπαντα διανοοῦμαι αἰῶνα. » « Ἀλλ', εὖ ἴσθι, ὦ δέσποτα », φησὶν ὁ υἱὸς τῷ πατρί « τῷ τρόπῳ τούτῳ οὐκ ἐν χαρᾷ καὶ θυμηδίᾳ ζῶ, ἐν θλίψει δὲ μᾶλλον καὶ στενοχωρίᾳ πολλῇ, ὡς καὶ αὐτήν τὴν βρῶσίν τε καὶ πόσιν ἀηδῆ μοι καταφαίνεσθαι (2) καὶ πικράν. Ποθῶ γὰρ ὁρᾶν πάντα τὰ ἔξω τῶν πυλῶν τούτων. Εἰ οὖν βούλει ἐν ὀδύνῃ μὴ ζῆν με, κέλευσον προέρχεσθαί καθὼς βούλομαι, καὶ τέρπεσθαι τὴν ψυχὴν τῇ θέᾳ τῶν γενομένων τέως ἀθεάτων μοι. »

(1) Infra plene, ἐν μιᾷ τῶν ἡμερῶν. Vide notata ad Syntip. pag. 179.

(2) C, φαίνεσθαι. Libanius t. 1, p. 253: μήπη ὄψηται ἔτι τὰς ἐν ταῖς συνθήκαις ἐκείνους· ubi cod. 1000 θήκαις, omissa nunc commodissime præpositione.

Ἐλυπήθη ὁ βασιλεὺς ὡς ἤκουσε ταῦτα, καὶ διεσκόπει ὡς, εἰ κωλύσει τῆς αἰτήσεως, πλείονος αὐτῷ ἀνίας καὶ μερίμνης πρόξενος ἔσται. Καὶ « Ἐγώ σου, τέκνον », εἰπὼν « τὰ καταθύμια ποιήσω », ἵππους αὐτίκα ἐκλεκτοὺς καὶ δορυφορείαν τὴν βασιλεῖ πρέπουσαν εὐτρεπισθῆναι κελεύσας, προέρχεσθαι αὐτὸν ὅτε βούλοιτο διωρίσατο, ἐπισκήψας τοῖς συνοῦσιν αὐτῷ μηδὲν ἀηδὲς εἰς συνάντησιν αὐτῷ ἄγειν, ἀλλὰ, πᾶν ὅ τι καλὸν καὶ τέρψιν ἐμποιοῦν, τοῦτο ὑποδεικνύειν τῷ παιδὶ, χορούς τε συγκροτεῖν ἐν ταῖς ὁδοῖς παναρμονίους κροτούντων ᾠδὰς καὶ ποικίλα θέατρα συνιστώντων, ὥστε τούτοις τὸν νοῦν αὐτοῦ ἀπασχολεῖσθαι καὶ ἐνηδύνεσθαι.

Ἀμέλει οὑτωσὶ συχνάζων ἐν ταῖς προόδοις ὁ τοῦ βασιλέως υἱὸς, εἶδεν ἐν μιᾷ τῶν ἡμερῶν, κατὰ λήθην τῶν ὑπηρετῶν, ἄνδρας δύο, ὧν ὁ μὲν λελωβημένος, τυφλὸς δὲ ὁ ἕτερος ἦν· οὓς ἰδὼν, καὶ ἀηδισθεὶς τὴν ψυχὴν, λέγει τοῖς μετ' αὐτοῦ· « Τίνες οὗτοι, καὶ ποταπὴ ἡ δυσχερὴς αὐτῶν θέα »; Οἱ δὲ, μὴ δυνάμενοι τὸ εἰς ὅρασιν αὐτοῦ ἐλθὸν ἀποκρύψαι, ἔφησαν· « Πάθη ταῦτά εἰσιν ἀνθρώπινα, ἅτινα ἐξ ὕλης διεφθαρμένης καὶ σώματος κακοχύμου τοῖς βροτοῖς συμβαίνειν εἴωθε. » Καὶ φησὶν ὁ παῖς· « Πᾶσι τοῖς ἀνθρώποις ταῦτα εἴθισται συμβαίνειν »; Λέγουσιν ἐκεῖνοι· « Οὐ πᾶσιν, ἀλλ' οἷς ἂν ἐκτραπείη τὸ ὑγιεινὸν ἐκ τῆς τῶν χυμῶν μοχθηρίας. » Αὖθις οὖν ἐπυνθάνετο ὁ παῖς· « Εἰ οὐ πᾶσι » φησί « τοῦτο τοῖς ἀνθρώποις συμβαίνειν εἴωθεν, ἀλλὰ τισὶν, ἆρα γνωστοὶ καθεστήκασιν, οὓς μέλλει ταῦτα καταλήψεσθαι τὰ δεινά; ἢ ἀδιορίστως καὶ ἀπροόπτως ὑφίσταται » ;

λέγουσιν ἐκεῖνοι· « Καὶ τίς τῶν ἀνθρώπων τὰ μέλλοντα συνιδεῖν δύναται καὶ ἀκριβῶς ἐπιγνῶναι; κρεῖττον γὰρ ἀνθρωπίνης φύσεως τοῦτο, καὶ μόνοις ἀποκληρωθὲν τοῖς ἀθανάτοις θεοῖς. » Καὶ ἐπαύσατο μὲν ὁ τοῦ βασιλέως υἱὸς ἐπερωτῶν, ὠδυνήθη δὲ τὴν καρδίαν ἐπὶ τῷ ὁραθέντι, καὶ ἠλλοιώθη ἡ μορφὴ τοῦ προσώπου αὐτοῦ τῷ ἀσυνήθει τοῦ πράγματος.

Μετ᾽ οὐ πολλὰς δὲ ἡμέρας αὖθις διερχόμενος ἐντυγχάνει γέροντι πεπαλαιωμένῳ ἐν ἡμέραις πολλαῖς, ἐῤῥικνωμένῳ μὲν τὸ πρόσωπον, παρειμένῳ δὲ τὰς κνήμας, συγκεκυφότι, καὶ ὅλως πεπολιωμένῳ, ἐστερημένῳ τοὺς ὀδόντας, καὶ ἐγκεκομμένα λαλοῦντι. Ἔκπληξις οὖν αὐτὸν λαμβάνει· καὶ δή, πλησίον τοῦτον ἀγαγών, ἐπηρώτα μαθεῖν τὸ τῆς θέας παράδοξον. Οἱ δὲ συμπαρόντες εἶπον· « Οὗτος χρόνων ἤδη πλείστων ὑπάρχει, καί, κατὰ μικρὸν μειουμένης αὐτῷ τῆς ἰσχύος, ἐξασθενούντων δὲ τῶν μελῶν, εἰς ἣν ὁρᾷς ἔφθασε ταλαιπωρίαν. » « Καὶ τί » φησί « τούτου τὸ τέλος »; Οἱ δὲ εἶπον αὐτῷ· « Οὐδὲν ἄλλο ἢ θάνατος αὐτὸν διαδέξεται. » « Ἀλλὰ καὶ πᾶσιν » ἔφη « τοῖς ἀνθρώποις τοῦτο πρόκειται; ἢ καὶ τοῦτο ἐνίοις αὐτῶν συμβαίνει »; Ἀπεκρίθησαν ἐκεῖνοι· « Εἰ μὴ προλαβὼν ὁ θάνατος μεταστήσει τινὰ τῶν ἐντεῦθεν, ἀδύνατον, τῶν χρόνων προβαινόντων, μὴ εἰς ταύτης ἐλθεῖν τὴν πεῖραν τῆς τάξεως. » Καὶ φησὶν ὁ παῖς· « Ἐν πόσοις οὖν ἔτεσι τοῦτο ἐπέρχεταί τινι; καὶ εἰ πάντως πρόκειται ὁ θάνατος, καὶ οὐκ ἔστι μέθοδος τοῦτον παραδραμεῖν, καὶ μηδὲ εἰς ταύτην ἐλθεῖν τὴν ταλαιπωρίαν »; Λέγουσιν αὐτῷ· « Ἐν ὀγδοήκοντα μὲν ἢ καὶ ἑκατὸν ἔτεσιν εἰς τοῦτο τὸ γῆρας

καταντῶσιν οἱ ἄνθρωποι, εἶτα ἀποθνήσκουσι, μὴ ἄλλως ἐνδεχομένου. Χρέος γὰρ φυσικὸν ὁ θάνατός ἐστιν, ἐξ ἀρχῆς ἐπιτεθὲν τοῖς ἀνθρώποις, καὶ ἀπαραίτητος ἡ τούτου ἐπέλευσις.»

Ταῦτα πάντα ὡς εἶδέ τε καὶ ἤκουσεν ὁ συνετὸς ἐκεῖνος καὶ φρόνιμος νεανίας, στενάξας ἐκ βάθους καρδίας, ἔφη· «Πικρὸς ὁ βίος οὗτος καὶ πάσης ὀδύνης καὶ ἀηδίας ἀνάπλεως, εἰ ταῦτα οὕτως ἔχει. Καὶ πῶς ἀμεριμνήσει τις τῇ προσδοκίᾳ τοῦ ἀδήλου θανάτου, οὗ ἡ ἔλευσις οὐ μόνον ἀπαραίτητος, ἀλλὰ καὶ ἄδηλος, καθὼς εἴπατε, ὑπάρχει»; Καὶ ἀπῆλθε ταῦτα στρέφων ἐν ἑαυτῷ, καὶ ἀπαύστως διαλογιζόμενος, καὶ πυκνὰς ποιούμενος περὶ τοῦ θανάτου τὰς ὑπομνήσεις, πόνοις τε καὶ ἀθυμίαις ἐκ τούτου συζῶν καὶ ἄπαυστον ἔχων τὴν λύπην. Ἔλεγε γὰρ ἐν ἑαυτῷ· «Ἆρά ποτε με ὁ θάνατος καταλήψεται; καὶ τίς ἔσται ὁ μνήμην μου ποιούμενος μετὰ θάνατον, τοῦ χρόνου πάντα τῇ λήθῃ παραδιδόντος; καὶ εἰ ἀποθανὼν εἰς τὸ μὴ ὂν διαλυθήσομαι; ἢ ἔστι τις ἄλλη βιοτὴ καὶ ἕτερος κόσμος;»

Ταῦτα καὶ τὰ τούτοις ὅμοια ἀπαύστως διενθυμούμενος, ὠχριῶν κατετήκετο· κατ' ὄψιν δὲ τοῦ πατρός, ὅτε συνέβη τοῦτον ἀφικέσθαι, προσεποιεῖτο τὸ ἱλαρὸν καὶ ἄλυπον, μὴ βουλόμενος εἰς γνῶσιν τῷ πατρὶ τὰ αὐτῷ μελετώμενα ἐλθεῖν. Ἐπόθει δὲ ἀκατασχέτῳ τινὶ πόθῳ καὶ ἐγλίχετο ἐντυχεῖν τινὶ τῷ δυναμένῳ τὴν αὐτοῦ πληροφορῆσαι καρδίαν, καὶ λόγον ἀγαθὸν ταῖς αὐτοῦ ἀκοαῖς ἐνηχῆσαι.

Τὸν προμνημονευθέντα δὲ παιδαγωγὸν αὖθις ἐπηρώτα, εἴ πού τινα γινώσκει τὸν δυνάμενον αὐτῷ συμ-

βαλέσθαι πρὸς τὸ ποθούμενον, καὶ τὸν νοῦν αὐτοῦ βεβαιῶσαι, δεινῶς ἰλιγγιῶντα ἐν τοῖς λογισμοῖς, καὶ μὴ δυνάμενον ἀποβαλέσθαι τὴν περὶ τούτων φροντίδα. Ὁ δὲ, τῶν προειρημένων πάλιν ἐπιμνησθεὶς, ἔλεγεν· « Εἶπόν σοι καὶ πρότερον ὅπως ὁ πατήρ σου τοὺς σοφοὺς ἐκείνους καὶ ἀσκητὰς ἀεὶ περὶ τῶν τοιούτων φιλοσοφοῦντας, οὓς μὲν ἀνεῖλεν, οὓς δὲ μετ' ὀργῆς ἐδίωξε, καὶ οὐ γινώσκω νυνὶ τινὰ τοιοῦτον ἐν τῇ περιχώρῳ ταύτῃ. » Πολλοῦ δὲ ἐπὶ τούτοις ἄχθους ἐκεῖνος πληρωθεὶς, καὶ τὴν ψυχὴν δεινῶς κατατρωθεὶς, ἐῴκει ἀνδρὶ θησαυρὸν ἀπολέσαντι μέγαν καὶ εἰς τὴν αὐτοῦ ζήτησιν ὅλον αὐτοῦ τὸν νοῦν ἀσχολουμένῳ. Ἐντεῦθεν ἀγῶνι διηνεκεῖ καὶ μερίμνῃ συνέζη, καὶ πάντα τὰ ἡδέα καὶ τερπνὰ τοῦ κόσμου ἦν ἐν ὀφθαλμοῖς αὐτοῦ ὡς ἄγος τι καὶ βδέλυγμα.

Οὕτως οὖν ἔχοντι τῷ νέῳ καὶ ποτνιωμένῳ (1) κατὰ ψυχὴν τὸ ἀγαθὸν εὑρεῖν, εἶδεν αὐτὸν ὁ πάντα βλέπων ὀφθαλμὸς, καὶ οὐ παρεῖδεν ὁ θέλων πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν (2), ἀλλὰ, τὴν συνήθη αὐτῷ φιλανθρωπίαν καὶ ἐπὶ τούτῳ δείξας, ἐγνώρισεν ὁδὸν ἣν ἔδει πορεύεσθαι (3) τρόπῳ τοιῷδε.

Ἐγένετο γὰρ κατ' ἐκεῖνον τὸν καιρὸν μοναχός τις,

(1) De verbo ποτνιᾶσθαι vide not. ad Aristæn. Philothei Parerga p. 45: φθάσαντες δὲ καὶ εἰς τὸν δαφνῶνα, ἐν ᾧ κατακλιθέντες διελεγόμεθα, καὶ ἐπ' ὀλίγον περιεργασάμενοι ἕκαστον ἡμῶν, ἐπιβάλλουσι τῷ Κορνηλίῳ τὰς χεῖρας, καὶ πολλὰ ποτνιώμενον ἀπάγουσιν ἐκ τοῦ παραχρῆμα εἰς δεσμωτήριον. Cod. 2108: ποτνιώμενον καὶ δεινοπαθοῦντα. Inde et ἐπιβάλλουσι scripsi pro vulgato ἐπιβάλωσι.

(2) B, Θεὸς pro ὀφθ. Siracidæ XV, 18, Dominus dictus est πάντα βλέπων. — Paul. 1 Tim. II, 3: ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι.... ἐλθεῖν. Et in B est ἀνθρώπους.

(3) Psalm. CXLII, 8: γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι.

σοφὸς τὰ θεῖα, βίῳ τε καὶ λόγῳ κοσμούμενος, καὶ εἰς ἄκρον πᾶσαν μοναχικὴν μετελθὼν πολιτείαν· ὅθεν μὲν ὁρμώμενος καὶ ἐκ ποίου γένους οὐκ ἔχω λέγειν, ἐν πανερήμῳ δέ τινι τῆς Σενααρίτιδος (1) γῆς τὰς οἰκήσεις ποιούμενος, καὶ τῆς ἱερωσύνης τετελειωμένος τῇ χάριτι. Βαρλαὰμ ἦν ὄνομα τούτῳ τῷ γέροντι.

Οὗτος οὖν ἀποκαλύψει τινὶ θεόθεν αὐτῷ γενομένῃ γνοὺς τὰ κατὰ τὸν υἱὸν τοῦ βασιλέως, ἐξελθὼν τῆς ἐρήμου, πρὸς τὴν οἰκουμένην κατῆλθε. Καὶ, ἀμείψας τὸ ἑαυτοῦ σχῆμα, ἱμάτιά τε κοσμικὰ ἀμφιασάμενος, καὶ νηὸς ἐπιβὰς, ἀφίκετο εἰς τὰ τῶν Ἰνδῶν βασίλεια, καὶ ἐμπόρου ὑποδὺς προσωπεῖον, τὴν πόλιν καταλαμβάνει, ἔνθα δὴ ὁ τοῦ βασιλέως υἱὸς τὸ παλάτιον εἶχε. Καὶ, ἡμέρας διατρίψας ἐκεῖσε πολλὰς, ἠκριβολογήσατο τὰ κατ' αὐτὸν καὶ τίνες οἱ τούτῳ πλησιάζοντες. Μαθὼν οὖν τὸν ἀνωτέρω ῥηθέντα παιδαγωγὸν πάντων αὐτῷ μᾶλλον οἰκειότατον εἶναι, προσελθὼν αὐτῷ κατ' ἰδίαν, ἔφη· « Γινώσκειν σε βούλομαι, κύριέ μου, ὅτι ἔμπορος ἐγὼ ἐκ μακρᾶς ἐλήλυθα χώρας, καὶ ὑπάρχει μοι λίθος τίμιος, ᾧ παρόμοιος πώποτε οὐχ εὑρέθη. Καὶ οὐδενὶ μέχρι τοῦ νῦν τοῦτον ἐφανέρωσα· σοὶ δὲ κατάδηλον ἤδη ποιῶ, συνετόν τε καὶ νουνεχῆ βλέπων σε ἄνδρα (2), ὡς ἂν εἰσαγάγῃς

(1) Est nota ἡ γῆ Σεναάρ ex Genes. x, 10; Dan. i, 2. Lemma metricum in A: Τὴν τοῦ Βαρλαὰμ ἀποκάλυψιν ὅρα, Οἵῳ τρόπῳ δὲ τὴν ἄσκησιν ἦν τελῶν. Politicus poetaster debebat scribere, οἵῳ τελῶν δὲ τ. ἄ. ἦν τρόπῳ. Ephræmius Chron. 753: Εἶτα προέστη τῆς Θεοῦ ἐκκλησίας Μαξιμιανὸς προστάτης ὀρθοφρονῶν (vel scribendum ὀρθοφρόνων « orthodoxorum », vel transponendum, ὀρθοφρονῶν προστάτης), Οὗπερ θανόντος ἐνθρονίζεται θρόνῳ Πρόκλος... Ποιμὴν ἀγαθὸς καὶ νομεὺς ψυχοτρόπος· scrib. ψυχοτρόφος. Cf. v. 9904, 9627, 9856.

(2) A, συνετόν σε καὶ ν. βλ. ἄ.

με πρὸς τὸν υἱὸν τοῦ βασιλέως, καὶ ἐπιδώσω τοῦτον αὐτῷ. Πάντων γὰρ τῶν καλῶν ἀσυγκρίτως ὑπερέχει· δύναται καὶ τυφλοῖς τῇ καρδίᾳ φῶς δωρεῖσθαι σοφίας, κωφῶν δὲ ὦτα ἀνοίγειν, ἀλάλοις τε φωνὴν διδόναι, καὶ ῥῶσιν τοῖς νοσοῦσι παρέχειν· τοὺς ἄφρονας σοφίζει, δαίμονας διώκει, καὶ πᾶν ὅ τι καλὸν καὶ ἐράσμιον ἀφθόνως χορηγεῖ τῷ κεκτημένῳ αὐτόν. »

Λέγει πρὸς αὐτὸν ὁ παιδαγωγός· « Ὁρῶ σε ἄνθρωπον σταθεροῦ καὶ βεβηκότος φρονήματος· τὰ δὲ ῥήματά σου ἄμετρά σε καυχᾶσθαι ἐμφαίνουσι. Λίθους γὰρ καὶ μαργαρίτας πολυτελεῖς καὶ πολυτίμους πῶς ἂν σοι διηγησαίμην ὅσους ἑώρακα; ἔχοντας δὲ τοιαύτας ἃς εἴρηκας δυνάμεις οὔτε εἶδον, οὔτε ἤκουσα. Ὅμως ὑπόδειξόν μοι αὐτόν, καί, εἴ ἐστι κατὰ τὸ ῥῆμά σου, θᾶττον εἰσάγω τοῦτον πρὸς τὸν τοῦ βασιλέως υἱόν, καὶ τιμὰς ὅτι μεγίστας καὶ δωρεὰς λήψῃ παρ' αὐτοῦ. Πρὶν δὲ βεβαιωθῆναί με τῇ ἀψευδεῖ τῶν ὀφθαλμῶν ὁράσει, ἀδύνατόν μοι τῷ ἐμῷ δεσπότῃ καὶ βασιλεῖ περὶ πράγματος ἀφανοῦς ταῦτα δὴ τὰ ὑπέρογκα ἀπαγγεῖλαι. »

Ὁ δὲ Βαρλαὰμ ἔφη· « Καλῶς εἶπας μήτε ἑωρακέναι πώποτε μήτε ἀκηκοέναι τοιαύτας δυνάμεις καὶ ἐνεργείας· ὁ γὰρ πρός σέ μου λόγος οὐ περί του τυχόντος ἐστὶ πράγματος, ἀλλὰ θαυμαστοῦ τινος καὶ μεγάλου. Ὅτι δὲ ἐζήτησας τοῦτον θεάσασθαι, ἄκουσον τῶν ἐμῶν ῥημάτων. Ὁ λίθος οὗτος ὁ πολύτιμος μετὰ τῶν προειρημένων ἐνεργειῶν καὶ δυνάμεων, ἔτι καὶ ταύτην κέκτηται τὴν ἰσχύν· οὐ δύναται θεάσασθαι αὐτὸν ἐκ τοῦ προχείρου ὁ μὴ ἔχων ἐρρωμένην μὲν τὴν ὅρασιν καὶ ὑγιαίνουσαν, ἁγνὸν δὲ

τὸ σῶμα καὶ πάντη ἀμόλυντον. Εἰ γάρ τις, μὴ τὰ δύο ταῦτα καλὰ ἔχων, προπετῶς ἐμβλέψειε τῷ τιμίῳ λίθῳ τούτῳ, καὶ αὐτὴν δήπου ἣν ἔχει ὀπτικὴν δύναμιν καὶ τὰς φρένας προσαπολέσειεν. Ἐγὼ δὲ, οὐκ ἀμύητος τῆς ἰατρικῆς ἐπιστήμης ὑπάρχων, καθορῶ σου τοὺς ὀφθαλμοὺς μὴ ὑγιῶς ἔχοντας, καὶ δέδοικα μὴ καὶ ἧς ἔχεις ὁράσεως στέρησιν προξενήσω. Ἀλλὰ τὸν υἱὸν τοῦ βασιλέως ἀκήκοα βίον μὲν ἔχειν σώφρονα, τοὺς ὀφθαλμοὺς δὲ ὡραίους καὶ ὑγιῶς ὁρῶντας· τούτου χάριν ἐκείνῳ ὑποδεῖξαι τὸν θησαυρὸν τοῦτον τεθάρρηκα. Σὺ οὖν μὴ ἀμελῶς περὶ τούτου διατεθῇς, μηδὲ πράγματος τοιούτου τὸν κύριόν σου ἀποστερήσῃς.»

Ὁ δὲ πρὸς αὐτόν «Καὶ εἰ ταῦτα» φησὶν «οὕτως ἔχει, μή μοι τὸν λίθον ὑποδείξῃς· ἐν ἁμαρτίαις γὰρ πολλαῖς ὁ βίος μου ἐρρύπωται· οὐχ ὑγιῶς δὲ καὶ τὴν ὅρασιν, καθὼς εἶπας, κέκτημαι. Ἀλλ' ἐγὼ, τοῖς σοῖς πεισθεὶς ῥήμασι, γνωρίσαι ταῦτα τῷ κυρίῳ μου καὶ βασιλεῖ οὐκ ὀκνήσω.» Εἶπε ταῦτα, καὶ εἰσελθὼν κατὰ μέρος πάντα τῷ υἱῷ τοῦ βασιλέως ἀπήγγειλεν.

Ἐκεῖνος δὲ, ὡς ἤκουσε τὰ τοῦ παιδαγωγοῦ ῥήματα, χαρᾶς τινὸς καὶ θυμηδίας πνευματικῆς ᾔσθετο, τῇ αὐτοῦ ἐμπνευσάσης καρδίᾳ, καὶ, ἔνθους ὥσπερ γενόμενος τὴν ψυχὴν, ἐκέλευσε θᾶττον εἰσαγαγεῖν τὸν ἄνδρα.

Ὡς οὖν εἰσῆλθεν ὁ Βαρλαὰμ, καὶ δέδωκεν αὐτῷ τὴν πρέπουσαν εἰρήνην (1), ἐπέτρεψεν αὐτὸν καθεσθῆναι, καὶ, τοῦ παιδαγωγοῦ ὑποχωρήσαντος, λέγει ὁ

(1) Εἰρήνην δοῦναι formula est ad Jo. XIV, 27, ubi frustra, pu-
salutandi orientalis. Vid. Raphel. to, Grotio contradicitur.

Ἰωάσαφ τῷ γέροντι· «Ὑπόδειξόν μοι τὸν πολύτιμον λίθον, περὶ οὗ μεγάλα τινὰ καὶ θαυμαστὰ λέγειν σε ὁ ἐμὸς παιδαγωγὸς διηγήσατο.»

Ὁ δὲ Βαρλαὰμ οὕτως ἀπήρξατο τῆς πρὸς αὐτὸν διαλέξεως· «Οὐ δίκαιόν ἐστιν, ὦ βασιλεῦ, ψευδῶς τι καὶ ἀπερισκέπτως πρὸς τὸ ὑπερέχον τῆς σῆς δόξης λέγειν με· πάντα γὰρ τὰ δηλωθέντα σοι παρ' ἐμοῦ ἀληθῆ εἰσι καὶ ἀναμφίλεκτα. Ἀλλ', εἰ μὴ πρότερον δοκιμὴν τῆς σῆς λάβω φρονήσεως, οὐ θέμις τὸ μυστήριον φανερῶσαί σοι. Φησὶ γὰρ ὁ ἐμὸς δεσπότης (1)· «Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον » αὐτοῦ· καὶ ἐν τῷ σπείρειν αὐτὸν, ἃ μὲν ἔπεσε παρὰ » τὴν ὁδὸν καὶ ἦλθε τὰ πετεινὰ καὶ κατέφαγεν αὐτά· » ἄλλα δὲ ἔπεσε παρὰ τὰ πετρώδη, ὅπου οὐκ εἶχε » γῆν πολλὴν, καὶ εὐθέως ἐβλάστησε, διὰ τὸ μὴ ἔχειν » βάθος γῆς, ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη, καὶ, » διὰ τὸ μὴ ἔχειν ῥίζαν, ἐξηράνθη· ἄλλα δὲ ἔπεσεν » ἐπὶ τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκανθαι καὶ ἀπέ» πνιξαν αὐτά· ἄλλα δὲ ἔπεσεν ἐπὶ τὴν γῆν τὴν κα» λὴν, καὶ ἐδίδου καρπὸν ἑκατοστεύοντα.» Εἰ μὲν οὖν γῆν εὕρω ἐν τῇ καρδίᾳ σου καρποφόρον καὶ ἀγαθὴν, οὐκ ὀκνήσω τὸν θεῖον σπόρον ἐμφυτεῦσαί σοι καὶ φανερῶσαι τὸ μέγα μυστήριον· εἰ δὲ πετρώδης αὕτη καὶ ἀκανθώδης ἐστὶ καὶ ὁδὸς πατουμένη τῷ βουλομένῳ παντὶ, κρεῖττον μηδόλως τοῦτον δὴ τὸν σωτήριον καταβαλεῖν σπόρον καὶ εἰς διαρπαγὴν αὐτὸν θεῖναι τοῖς πετεινοῖς καὶ θηρίοις, ὧν ἔμπροσθεν ὅλως μὴ βαλεῖν τοὺς μαργαρίτας ἐντέταλμαι (2). Ἀλλὰ πέπεισμαι

(1) Christus apud Matthæum XIII; Luc. VIII; Marc. IV.

(2) Nota Christi verba apud Matthæum VII, 6: μὴ δῶτε τὸ ἅγιον

περὶ σοῦ τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας, ὅτι καὶ τὸν λίθον ὄψει τὸν ἀτίμητον, καὶ τῇ αἴγλῃ τοῦ φωτὸς αὐτοῦ φῶς καὶ αὐτὸς ἀξιωθήσῃ γενέσθαι, καὶ καρπὸν ἐνέγκῃς ἑκατοστεύοντα (1). Διὰ σὲ γὰρ ἔργον ἐθέμην καὶ μακρὰν διήνυσα ὁδὸν, τοῦ ὑποδεῖξαί σοι ἃ οὐχ ἑώρακας πώποτε καὶ διδάξαι ἃ οὐκ ἀκήκοας. »

Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰωάσαφ (2)· « Ἐγὼ μὲν, πρεσβύτα τίμιε, πόθῳ τινὶ καὶ ἔρωτι ἀκατασχέτῳ ζητῶ λόγον ἀκοῦσαι καινόν τινα καὶ ἀγαθὸν, καὶ πῦρ ἔνδοθεν ἐν τῇ καρδίᾳ μου ἐκκέκαυται δεινῶς φλέγον με καὶ παρορμῶν μαθεῖν ἀναγκαίας τινὰς συζητήσεις· οὐκ ἔτυχον δὲ μέχρι τοῦ νῦν ἀνθρώπου δυναμένου πληροφορῆσαί με περὶ τούτων. Εἰ δὲ τύχω σοφοῦ τινὸς καὶ ἐπιστήμονος, καὶ ἀκούσω λόγον σωτηρίας, οὔτε πετεινοῖς, ὡς οἶμαι, τοῦτον ἐκδώσω οὔτε θηρίοις, οὔτε μὴν πετρώδης φανήσομαι, ὡς ἔφης, οὔτε ἀκανθώδης, ἀλλὰ καὶ εὐγνωμόνως δέξομαι καὶ εἰδημόνως τηρήσω. Σὺ δὲ, εἴ τι τοιοῦτον ἐπίστασαι, μὴ διακρύψῃς ἀπ' ἐμοῦ, ἀλλ' ἀνάγγειλόν μοι. Ὡς γὰρ ἤκουσα ἐκ μακρᾶς ἀφικέσθαι σε γῆς, ἥσθη μου ἡ ψυχὴ, καὶ εὔελπις ἐγενόμην διὰ σοῦ τοῦ ποθουμένου ἐπιτυχεῖν. Διὰ τοῦτο καὶ θᾶττον εἰσήγαγόν σε πρός με καὶ προσηνῶς ἐδεξάμην, ὥσπερ τινὰ τῶν συνήθων μοι καὶ ἡλικιωτῶν, εἴπερ οὐ ψευσθήσομαι τῆς ἐλπίδος. »

Καὶ ὁ Βαρλαὰμ ἔφη· « Καλῶς ἐποίησας τοῦτο καὶ

τοῖς κυσί, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων.

(1) Lemma metricum in A: Πρόῤῥησις ὧδε Βαρλαὰμ σαφὴς πέλει.

(2) Lemma metricum in A: Ἀρχὴ λόγων ἐνταῦθα τοῦ Ἰωάσαφ.

ἀξίως τῆς σῆς βασιλικῆς μεγαλοπρεπείας, ὅτι μὴ τῇ φαινομένῃ προσέσχες εὐτελείᾳ, ἀλλὰ τῆς κεκρυμμένης ἐγένου ἐλπίδος. Ἦν γάρ (1) τις βασιλεὺς μέγας καὶ ἔνδοξος, καὶ ἐγένετο, διερχομένου αὐτοῦ ἐφ' ἅρματος χρυσοκολλήτου καὶ τῆς (2) βασιλεῖ πρεπούσης δορυφορίας, ὑπαντῆσαι δύο ἄνδρας, διεῤῥωγότα μὲν ἠμφιεσμένους καὶ ῥερυπωμένα (3), ἐκτετηκότας δὲ τὰ πρόσωπα καὶ λίαν κατωχριωμένους· ἦν δὲ γινώσκων τούτους ὁ βασιλεὺς τῷ ὑπωπιασμῷ τοῦ σώματος καὶ τοῖς τῆς ἀσκήσεως ἱδρῶσι τὸ σαρκίον ἐκδεδαπανηκότας. Ὡς οὖν εἶδεν αὐτούς, καταπηδήσας εὐθὺς τοῦ ἅρματος καὶ ἐπὶ τὴν γῆν πεσὼν, προσεκύνησε, καὶ ἀναστὰς περιεπλάκη αὐτοῖς προσφιλέστατα κατασπαζόμενος. Οἱ δὲ μεγιστᾶνες αὐτοῦ καὶ ἄρχοντες ἐδυσχέραναν ἐπὶ τούτῳ, ἀνάξια τῆς βασιλικῆς δόξης πεποιηκέναι αὐτὸν νομίζοντες· μὴ τολμῶντες δὲ κατὰ πρόσωπον ἐλέγχειν, τὸν γνήσιον αὐτοῦ ἀδελφὸν ἔλεγον λαλῆσαι τῷ βασιλεῖ μὴ τὸ ὕψος τοῦ διαδήματος οὑτωσὶ καθυβρίζειν. Τοῦ δὲ εἰπόντος ταῦτα τῷ ἀδελφῷ καὶ καταμεμψαμένου τὴν ἄκαιρον αὐτοῦ σμικρολογίαν, δέδωκεν αὐτῷ ἀπόκρισιν ὁ βασιλεὺς, ἣν οὐ συνῆκεν ὁ ἀδελφὸς αὐτοῦ. Ἔθος γὰρ ἦν ἐκείνῳ τῷ βασιλεῖ, ὅταν ἀπόφασιν θανάτου κατά τινος ἐδίδου, κήρυκα εἰς τὴν αὐτοῦ θύραν ἀποστέλλειν μετὰ σάλπιγγος τεταγμένης εἰς τοῦτο· καὶ τῇ φωνῇ τῆς σάλπιγγος ἐκείνης ᾔσθοντο πάντες θανάτου ἔνοχον ἐκεῖνον ὑπάρχειν. Ἑσπέρας

(1) Lemma metricum in codice A : Παραβολὴ πρώτη γε αὕτη τυγχάνει.

(2) Forsan καὶ μετὰ τῆς.

(3) De hac perfecti forma t. III, p. 459. Cf. modo p. 38, 16.

οὖν καταλαβούσης, ἀπέστειλεν ὁ βασιλεὺς τὴν σάλπιγγα τοῦ θανάτου σαλπίζειν ἐπὶ τῇ θύρᾳ τοῦ οἴκου τοῦ ἀδελφοῦ αὐτοῦ. Ὡς οὖν ἤκουσεν ἐκεῖνος τὴν σάλπιγγα τοῦ θανάτου, ἀπέγνω τῆς ἑαυτοῦ σωτηρίας καὶ διέθετο τὰ κατ' αὐτὸν ὅλην τὴν νύκτα· ἅμα δὲ πρωῒ, ἀμφιασάμενος μέλανα καὶ πενθήρη (1), μετὰ γυναικὸς καὶ τέκνων ἀπέρχεται εἰς τὴν θύραν τοῦ παλατίου κλαίων καὶ ὀδυρόμενος. Εἰσαγαγὼν δὲ αὐτὸν ὁ βασιλεὺς, καὶ οὕτως ἰδὼν ὀλοφυρόμενον, ἔφη· »

« Ὦ ἀσύνετε καὶ ἄφρον, εἰ σὺ οὕτως ἐδειλίασας » τὸν κήρυκα τοῦ ὁμογενοῦς καὶ ὁμοτίμου σου ἀδελ- » φοῦ, πρὸς ὃν οὐδὲν ὅλως ἑαυτὸν ἡμαρτηκέναι γινώ- » σκεις, πῶς ἐμοὶ μέμψιν ἐπήγαγες ἐν ταπεινώσει » ἀσπασαμένῳ τοὺς κήρυκας τοῦ θεοῦ μου, τοὺς » εὐηχέστερον σάλπιγγος μηνύοντάς μοι τὸν θάνατον » καὶ τὴν φοβερὰν τοῦ δεσπότου ὑπάντησιν, ᾧ πολλὰ » καὶ μεγάλα ἐμαυτὸν ἡμαρτηκέναι ἐπίσταμαι. Ἰδοὺ » τοίνυν τὴν σὴν ἐλέγχων ἄνοιαν τούτῳ δὴ τῷ τρόπῳ » ἐχρησάμην, ὥσπερ οὖν καὶ τοὺς ὑποθεμένους σου τὴν » κατ' ἐμοῦ μέμψιν θᾶττον ἀνοηταίνειν ἐλέγξω. »

« Καὶ οὕτω θεραπεύσας τὸν ἀδελφὸν αὐτοῦ καὶ ὠφελήσας οἴκαδε ἀπέστειλεν. Ἐκέλευσε δὲ γενέσθαι ἐκ ξύλων βαλάντια τέσσαρα. Καὶ τὰ μὲν δύο περικαλύψας πάντοθεν χρυσίῳ, καὶ ὀστᾶ νεκρῶν ὀδωδότα βαλὼν ἐν αὐτοῖς, χρυσαῖς περόναις κατησφαλίσατο· τὰ δὲ ἄλλα πίσσῃ καταχείσας καὶ ἀσφαλτώσας, ἐπλήρωσε λίθων τιμίων καὶ μαργάρων πολυ-

(1) C, μελανά. De adjectivo μελανὸς t. III, p. 151. Hesychius: περκνόν, μελανόν. C, πενθ. ἱμάτια, ut p. 41, 7, πεν. ἱμάτια: quo nomine facile carebimus. Cf. pag. 43, 20.

τίμων καὶ πάσης μυρεψικῆς εὐωδίας. Σχοινίοις τε τειχίνοις ταῦτα περισφίγξας, ἐκάλεσε τοὺς μεμψαμένους αὐτῷ μεγιστᾶνας ἐπὶ τῇ τῶν ἀνδρῶν ἐκείνων συναντήσει, καὶ προέθετο αὐτοῖς τὰ τέσσαρα βαλάντια, τοῦ ἀποτιμήσασθαι πόσου μὲν ταῦτα, πόσου δὲ ἐκεῖνα τιμήματος εἰσὶν ἄξια. Οἱ δὲ τὰ μὲν δύο τὰ κεχρυσωμένα τιμῆς ὅτι πλείστης εἶναι διωρίζοντο· « Ἔξεστι γάρ » (φησίν) « ἐν αὐτοῖς » βασιλικὰ διαδήματα καὶ ζώνας ἀποκεῖσθαι· τὰ δὲ » τῇ πίσσῃ κατακεχρισμένα καὶ τῇ ἀσφάλτῳ εὐ» τελοῦς τινὸς καὶ οἰκτροῦ τιμήματος ὑπάρχει. »

« Ὁ δὲ βασιλεὺς ἔφη πρὸς αὐτούς· « Οἶδα κἀγὼ » τοιαῦτα λέγειν ὑμᾶς· τοῖς αἰσθητοῖς γὰρ ὀφθαλ» μοῖς τὴν αἰσθητὴν ὄψιν κατανοεῖτε· καὶ μὴν οὐχ οὕτως » δεῖ ποιεῖν· ἀλλὰ τοῖς ἔνδον ὄμμασι τὴν ἐντὸς ἀπο» κειμένην χρὴ βλέπειν εἴτε τιμὴν εἴτε ἀτιμίαν. » Καὶ ἐκέλευσεν ἀνοιγῆναι τὰ κεχρυσωμένα βαλάντια. Διανοιχθέντων δὲ, δεινή τις ἔπνευσε δυσωδία καὶ ἀηδεστάτη ὡράθη θέα. Φησὶν οὖν ὁ βασιλεύς· « Οὗτος ὁ » τύπος τῶν τὰ λαμπρὰ μὲν καὶ ἔνδοξα ἠμφιεσμέ» νων, πολλῇ δὲ δόξῃ καὶ δυναστείᾳ σοβαρευομένων, » καὶ ἔσωθεν ἀποζώντων νεκρῶν καὶ πονηρῶν ἔργων. » Εἶτα καὶ τὰ πεπισσωμένα καὶ κατησφαλτωμένα κελεύσας ἀνακαλυφθῆναι, πάντας εὔφρανε τοὺς παρόντας τῇ τῶν ἐν αὐτοῖς ἀποκειμένων φαιδρότητι καὶ εὐωδίᾳ. »

« Ἔφη δὲ πρὸς αὐτούς· « Οἴδατε τίνι ὅμοια ταῦ» τα; τοῖς ταπεινοῖς ἐκείνοις καὶ εὐτελῆ περικει» μένοις ἐνδύματα (1), ὧν ὑμεῖς τὸ ἐκτὸς ὁρῶντες

(1) De περικεῖσθαί τι notavi in Notit. Mss. tom. XI, 11, pp. [illegible] et

» σχῆμα, ὕβριν ἡγήσασθε τὴν ἐμὴν κατὰ πρόσωπον » αὐτῶν ἐπὶ γῆς προσκύνησιν· ἐγὼ δὲ, τοῖς νοεροῖς » ὄμμασι τὸ τίμιον αὐτῶν καὶ περικαλλὲς κατανοή- » σας τῶν ψυχῶν, ἀνεδεξάσθην μὲν τῇ τούτων προσ- » ψαύσει, παντὸς δὲ στεφάνου καὶ πάσης βασιλικῆς » ἁλουργίδος τιμιωτέρους αὐτοὺς ἡγησάμην.» Οὕτως οὖν αὐτοὺς ᾔσχυνε, καὶ ἐδίδαξε μὴ τοῖς φαινομένοις πλανᾶσθαι, ἀλλὰ τοῖς νοουμένοις προσέχειν.»

« Κατ᾽ ἐκεῖνον τοίνυν τὸν εὐσεβῆ καὶ σοφὸν βασιλέα καὶ σὺ πεποίηκας, τῇ ἀγαθῇ ἐλπίδι προσδεξάμενός με, ἧς οὐ ψευσθήσῃ, ὡς ἔγωγε οἶμαι.»

Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰωάσαφ· « Ταῦτα μὲν δὴ πάντα καλῶς εἶπας καὶ εὐαρμόστως· ἀλλ᾽ ἐκεῖνο θέλω μαθεῖν. τίς ἐστιν ὁ σὸς δεσπότης, ὃν κατ᾽ ἀρχὰς τοῦ λόγου περὶ τοῦ σπορέως ἐκείνου εἰρηκέναι ἔλεγες.»

Αὖθις οὖν ἀναλαβὼν τὸν λόγον ὁ Βαρλαὰμ εἶπεν (1)· « Εἰ τὸν ἐμὸν βούλει δεσπότην μαθεῖν, ὁ Κύριος ἐστὶν Ἰησοῦς Χριστὸς, ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, « ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν » βασιλευόντων καὶ κύριος τῶν κυριευόντων, ὁ μόνος » ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον (2) », ὁ σὺν Πατρὶ καὶ Ἁγίῳ Πνεύματι δοξαζόμενος. Οὐκ εἰμὶ γὰρ ἐγὼ τῶν τοὺς πολλοὺς τούτους καὶ ἀτάκτους ἀναγορευόντων θεοὺς, καὶ τὰ ἄψυχα ταῦτα καὶ κωφὰ σεβομένων εἴδωλα· ἀλλ᾽ ἕνα Θεὸν γινώσκω καὶ ὁμο-

151. Joannes Chrys. p. 46 Cotel.: βασιλεὺς εἶ, διαδήματι περίκεισαι. Puto scribendum, διάδημα περ. Displicet διάδημά τι περ. Ipse Hom. in S. Lumina p. 123 Combef.: τὴν σάρκα εἰκῇ περικείμενον. Rursus Homm. a Matthæio editis t. 1, p. 80: τῇ χειρὶ τῇ τὴν ἅλυσιν περικειμένῃ· ubi editor

(1) Lemma metricum in A: Βαρλαὰμ ὧδε διάλεξις δευτέρα.

(2) 1 Epist. ad Tim. VI, 15, 16.

λογῷ ἐν τρισὶν ὑποστάσεσι δοξαζόμενον, Πατρὶ φημὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, ἐν μιᾷ δὲ φύσει καὶ οὐσίᾳ, ἐν μιᾷ δόξῃ καὶ βασιλείᾳ μὴ μεριζομένῃ. Οὗτος οὖν ὁ ἐν τρισὶν ὑποστάσεσιν εἷς Θεὸς, ἄναρχός τε καὶ ἀτελεύτητος, αἰώνιός τε καὶ ἀΐδιος, ἄκτιστος, ἄτρεπτός τε καὶ ἀσώματος, ἀόρατος, ἀπερίγραπτος, ἀπερινόητος, ἀγαθὸς καὶ δίκαιος μόνος, ὁ τὰ πάντα ἐκ μὴ ὄντων ὑποστησάμενος, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα, πρῶτον μὲν δημιουργεῖ τὰς οὐρανίους δυνάμεις καὶ ἀοράτους, ἀναρίθμητά τινα πλήθη ἄϋλά τε καὶ ἀσώματα, λειτουργικὰ πνεύματα τῆς τοῦ Θεοῦ μεγαλειότητος· ἔπειτα τὸν ὁρώμενον κόσμον τοῦτον, οὐρανόν τε καὶ γῆν καὶ τὴν θάλασσαν, ὅνπερ καὶ φωτὶ φαιδρύνας κατεκόσμησεν, οὐρανὸν μὲν ἡλίῳ καὶ σελήνῃ καὶ τοῖς ἄστροις, γῆν δὲ παντοίοις βλαστήμασι καὶ διαφόροις ζώοις, τήν τε θάλασσαν πάλιν τῷ παμπλήθει τῶν νηκτῶν γένει. Ταῦτα πάντα, « αὐτὸς εἶπε, καὶ ἐγεννήθησαν, αὐτὸς ἐνετείλατο καὶ » ἐκτίσθησαν (1). »

« Εἶτα δημιουργεῖ τὸν ἄνθρωπον χερσὶν ἰδίαις, χοῦν μὲν λαβὼν ἀπὸ τῆς γῆς εἰς διάπλασιν τοῦ σώματος, τὴν δὲ ψυχὴν λογικὴν καὶ νοερὰν διὰ τοῦ οἰκείου ἐμφυσήματος αὐτῷ δοὺς (2), ἥτις κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ Θεοῦ δεδημιουργῆσθαι γέγραπται (3)· κατ' εἰκόνα μὲν, διὰ τὸ νοερὸν καὶ αὐτεξούσιον, καθ' ὁμοίωσιν δὲ διὰ τὴν τῆς ἀρετῆς κατὰ τὸ δυνατὸν

(1) Psalm. CXLVIII, 5.

(2) Genes. II, 7: καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς.

(3) Genes. I, 26.—De verbis κατ' εἰκόνα καὶ ὁμοίωσιν vide t. I, p. 250; Chevræana t. II, p. 314. Lemma in A: ὅρα τί τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν.

ὁμοίωσιν (1). Τοῦτον τὸν ἄνθρωπον αὐτεξουσιότητι καὶ ἀθανασίᾳ τιμήσας, βασιλέα τῶν ἐπὶ γῆς κατέστησεν· ἐποίησε δὲ ἐξ αὐτοῦ τὸ θῆλυ, βοηθὸν αὐτῷ κατ' αὐτόν (2). Καὶ, φυτεύσας παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς, εὐφροσύνης καὶ θυμηδίας πάσης πεπληρωμένον, ἔθετο ἐν αὐτῷ τὸν ἄνθρωπον ὃν ἔπλασε, πάντων μὲν τῶν ἐκεῖσε θείων φυτῶν κελεύσας ἀκωλύτως μετέχειν, ἑνὸς δὲ μόνου θέμενος ἐντολὴν ὅλως μὴ γεύσασθαι, ὅπερ ξύλον τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν κέκληται, οὕτως εἰπών (3)· Ἧ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε. »

« Εἷς δὲ τῶν εἰρημένων ἀγγελικῶν δυνάμεων, μιᾶς στρατιᾶς πρωτοστάτης, οὐδόλως ἐν ἑαυτῷ παρὰ τοῦ δημιουργοῦ κακίας φυσικῆς ἐσχηκὼς ἴχνος, ἀλλ' ἐπ' ἀγαθῷ γενόμενος, αὐτεξουσίῳ προαιρέσει ἐτράπη ἐκ τοῦ καλοῦ εἰς τὸ κακὸν, καὶ ἐπήρθη τῇ ἀπονοίᾳ, ἀντᾶραι βουληθεὶς τῷ δεσπότῃ καὶ Θεῷ. Διὸ ἀπεβλήθη τῆς τάξεως αὐτοῦ καὶ τῆς ἀξίας, καὶ, ἀντὶ τῆς μακαρίας δόξης ἐκείνης καὶ ἀγγελικῆς ὀνομασίας, Διάβολος ἐκλήθη καὶ Σατανᾶς προσωνόμασται. Ἔρριψε γὰρ αὐτὸν ὁ Θεὸς ὡς ἀνάξιον τῆς ἄνωθεν δόξης· συναπεσπάσθη δὲ αὐτῷ καὶ συναπεβλήθη καὶ πλῆθος πολὺ τοῦ ὑπ' αὐτὸν τάγματος τῶν ἀγγέλων, οἵ τινες, κακοὶ γεγονότες

(1) Et ethnici queque sapientes in philosophia, virtute, terrestrium fugæ et odio, posuerunt τὴν τῷ Θεῷ ὁμοίωσιν. Loca vide in notis ad Marini Proclum p. 103, 104; apud Falster. Amœnit. philol. I, 20; G. Matthiam Proleg. ad Hippocr. p. 14, n. 1; Remum not. ad Themist. p. 135; Heindorf. ad Theæt. § 84; Vict. Cleric. ad Sentent. Plat. pag. 519.

(2) Genes. II, 20.—Theod. Prodromus Tetrast. in Genes. pag. 4 Suvign., de Evæ formatione: Σίγα, Θεὸς δράττει γυναικὸς τὴν πλάσιν· imo δρᾷ τῆς, ut melius est in codice 2831.

(3) Genes. II, 17.

τὴν προαίρεσιν, καὶ, ἀντὶ τοῦ ἀγαθοῦ τῇ ἀποστασίᾳ ἐξακολουθήσαντες τοῦ ἄρχοντος αὐτῶν, Δαίμονες ὠνομάσθησαν, ὡς πλάνοι καὶ ἀπατεῶνες. Ἀρνησάμενος οὖν πάντη τὸ ἀγαθὸν ὁ Διάβολος, καὶ πονηρὰν προσλαβόμενος φύσιν, φθόνον ἀνεδέξατο πρὸς τὸν ἄνθρωπον, ὁρῶν ἑαυτὸν μὲν ἐκ τηλικαύτης ἀποῤῥιφέντα δόξης, ἐκεῖνον δὲ πρὸς τοιαύτην τιμὴν ἀναγόμενον, καὶ ἐμηχανήσατο ἐκβαλεῖν αὐτὸν τῆς μακαρίας ἐκείνης διαγωγῆς. »

« Τὸν ὄφιν οὖν ἐργαστήριον τῆς ἰδίας πλάνης λαβόμενος, δι' αὐτοῦ ὡμίλησε τῇ γυναικὶ, καὶ, πείσας αὐτὴν φαγεῖν ἐκ τοῦ ἀπηγορευμένου ἐκείνου ξύλου ἐλπίδι θεώσεως, δι' αὐτῆς ἠπάτησε καὶ τὸν Ἀδὰμ, οὕτω τοῦ πρωτοπλάστου κληθέντος. Καὶ φαγὼν ὁ πρῶτος ἄνθρωπος τοῦ φυτοῦ τῆς παρακοῆς, ἐξόριστος γίνεται τοῦ παραδείσου τῆς τρυφῆς (1) ὑπὸ τοῦ δημιουργοῦ, καὶ, ἀντὶ τῆς μακαρίας ζωῆς ἐκείνης καὶ ἀνωλέθρου διαγωγῆς, εἰς τὴν ἀθλίαν ταύτην καὶ ταλαίπωρον (φεῦ μοι!) βιοτὴν ἐμπίπτει, καὶ θάνατον τὸ τελευταῖον καταδικάζεται. »

« Ἐντεῦθεν ἰσχὺν ὁ Διάβολος λαβὼν καὶ τῇ νίκῃ ἐγκαυχώμενος, πληθυνθέντος τοῦ γένους τῶν ἀνθρώπων,

(1) Genes. III, 23. Cf. t. III, p. 31, n. 2. Th. Prodromus Tetrast. p. 8 : Βλέπεις τὸν Ἀδάμ; Ναὶ, βλέπω καὶ δακρύω. Ἐκβάλλεται γὰρ τῆς τρυφῆς τοῦ χωρίου. Δέον δὲ μισεῖν τοῦ κακοῦ τὴν αἰτίαν, Ὁ δ' ἀλλ' ἐπηγοὺς παῖδα γεννᾷ τὸν Κάϊν. Suvignyus, qui bene scripsit τοῦ χ. pro σοῦ (et est τῦ in cod. 2831), male conjecit οὐδ' ἄλλ', « ut sit sensus, *alia mala edoctus est.* » Nil mutandum. Est δ' ἀλλὰ conjunctionis forma frequens in scriptoribus istis, et cujus exempla collegi ad Nicetam p. 304. Ἐπηγοὺς αἰτίαν, Evam scilicet, dictum est cum respectu ad Genes. IV, 1 : Ἀδὰμ δὲ ἔγνω Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Κάϊν.

πᾶσαν κακίας ὁδὸν αὐτοῖς ὑπέθετο. Ὡς, ἐντεῦθεν διακόψαι τὴν πολλὴν τῆς ἁμαρτίας φορὰν βουλόμενος, ὁ Θεὸς κατακλυσμὸν ἐπήγαγε τῇ γῇ, ἀπολέσας πᾶσαν ψυχὴν ζῶσαν· ἕνα δὲ μόνον εὑρὼν δίκαιον ἐν τῇ γενεᾷ ἐκείνῃ, τοῦτον σὺν γυναικὶ καὶ τέκνοις ἐν κιβωτῷ τινὶ περισώσας, μονώτατον εἰς τὴν γῆν κατέστησεν.»

«Ἡνίκα δὲ ἤρξατο πάλιν εἰς πλῆθος τὸ τῶν ἀνθρώπων γένος χωρεῖν, ἐπελάθοντο τοῦ Θεοῦ καὶ εἰς χεῖρον ἀσεβείας προέκοψαν (1), διαφόροις δουλωθέντες ἁμαρτήμασι, καὶ δεινοῖς καταφθαρέντες ἀτοπήμασι, καὶ εἰς πολυσχιδῆ (2) πλάνην διαμερισθέντες. Οἱ μὲν γὰρ (3) αὐτομάτως φέρεσθαι τὸ πᾶν ἐνόμισαν, καὶ ἀπρονόητα ἐδογμάτισαν, ὡς μηδενὸς ἐφεστηκότος δεσπότου· ἄλλοι εἱμαρμένην εἰσηγήσαντο, τῇ γενέσει τὸ πᾶν ἐπιτρέψαντες· ἄλλοι πολλοὺς θεοὺς κακοὺς καὶ πολυπαθεῖς ἐσεβάσθησαν, τοῦ ἔχειν αὐτοὺς τῶν ἰδίων παθῶν καὶ δεινῶν πράξεων συνηγόρους, ὧν καὶ μορφώματα τυπώσαντες ἀνεστήλωσαν ξόανα κωφὰ καὶ ἀναίσθητα εἴδωλα, καὶ συγκλείσαντες ἐν ναοῖς προσεκύνησαν, λατρεύοντες τῇ κτίσει παρὰ τὸν κτίσαντα (4), οἱ μὲν τῷ ἡλίῳ καὶ τῇ σελήνῃ καὶ τοῖς ἄστροις ἃ ἔθετο ὁ Θεὸς πρὸς τὸ φαῦσιν παρέχειν τῷ περιγείῳ τούτῳ κόσμῳ (5), ἄψυχά τε ὄντα καὶ ἀναίσθητα, τῇ προνοίᾳ τοῦ δημιουργοῦ φωτιζόμενα καὶ διακρατούμενα, οὐ μὴν δὲ οἴκοθέν τι

(1) C, εἰς χεῖρονα πρ. ἀσέβειαν.

(2) Codd. πολυσχεδῆ. Lemma metricum in A: Ὅρα ὅθεν πῶς ἐξέφυσαν αἱρέσεις.

(3) Schol. in A: οἱ Αἰγύπτιοι· et mox, ad ἄλλοι εἱμ., οἱ Ἕλληνες.

(4) Epist. ad Rom. I, 25: ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα.

(5) De adjectivo περίγειος t. III, pag. 25, n. 7; pag. 48, n. 4. — Schol. in A: οἱ Χαλδαῖοι.

δυνάμενα· οἱ δὲ τῷ πυρὶ καὶ τοῖς ὕδασι καὶ τοῖς λοιποῖς στοιχείοις τῆς γῆς, ἀψύχοις καὶ ἀναισθήτοις οὖσι· καὶ οὐκ ᾐσχύνθησαν οἱ ἔμψυχοι καὶ λογικοὶ τὰ τοιαῦτα σέβεσθαι· ἄλλοι θηρίοις καὶ ἑρπετοῖς καὶ κτήνεσι τετραπόδοις τὸ σέβας ἀπένειμον, κτηνωδεστέρους τῶν σεβομένων ἑαυτοὺς ἀποδεικνῦντες· οἱ δὲ ἀνθρώπων τινῶν αἰσχρῶν καὶ εὐτελῶν μορφώματα ἀνετυπώσαντο, καὶ τούτους θεοὺς ἐκάλεσαν, καὶ τοὺς μὲν αὐτῶν ἄῤῥενας, τινὰς δὲ θηλείας ὠνόμασαν, οὓς ἐκεῖνοι αὐτοὶ ἐξέθεντο μοιχοὺς εἶναι καὶ φονεῖς, ὀργίλους καὶ ζηλωτὰς καὶ θυμαντικοὺς, πατροκτόνους καὶ ἀδελφοκτόνους, κλέπτας καὶ ἅρπαγας, χωλοὺς καὶ κυλλοὺς, καὶ φαρμακοὺς, καὶ μαινομένους, καὶ τούτων τινὰς μὲν τετελευτηκότας, τινὰς δὲ κεκεραυνωμένους, καὶ κοπτομένους, καὶ θρηνουμένους, καὶ δεδουλευκότας ἀνθρώποις, καὶ φυγάδας γενομένους, καὶ εἰς ζῶα μεταμορφουμένους ἐπὶ πονηραῖς καὶ αἰσχραῖς μίξεσιν. Ὅθεν, λαμβάνοντες οἱ ἄνθρωποι ἀφορμὰς ἀπὸ τῶν θεῶν αὐτῶν, ἀδεῶς κατεμιαίνοντο πάσῃ ἀκαθαρσίᾳ. Καὶ δεινὴ κατεῖχε σκότωσις τὸ γένος ἡμῶν ἐν ἐκείνοις τοῖς χρόνοις, καὶ « οὐκ ἦν ὁ συνιῶν, οὐκ ἦν ὁ ἐκζητῶν τὸν Θεόν (1). »

« Ἀβραὰμ δέ τις ἐν ἐκείνῃ τῇ γενεᾷ μόνος εὑρέθη τὰς αἰσθήσεις τῆς ψυχῆς ἐῤῥωμένας ἔχων, ὃς τῇ θεωρίᾳ τῶν κτισμάτων ἐπέγνω τὸν δημιουργόν. Κατανοήσας γὰρ οὐρανὸν καὶ γῆν καὶ θάλασσαν, ἥλιον καὶ σελήνην καὶ τὰ λοιπὰ, ἐθαύμασε τὴν ἐναρμόνιον ταύτην διακόσμησιν· ἰδὼν δὲ τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ πάντα, οὐκ αὐτομάτως γεγενῆσθαι καὶ συντηρεῖ-

(1) Epist. ad Rom. III, 11; Psalm. XIII, 2. Cf. p. 16, n. 2.

σθαι ἐνόμισεν, οὔτε μὴν τοῖς στοιχείοις τῆς γῆς ἢ τοῖς ἀψύχοις εἰδώλοις τὴν αἰτίαν τῆς τοιαύτης διακοσμήσεως προσανέθετο· ἀλλὰ τὸν ἀληθῆ Θεὸν διὰ τούτων ἐπέγνω, καὶ αὐτὸν εἶναι δημιουργὸν τοῦ παντὸς καὶ συνοχέα συνῆκεν. Ἀποδεξάμενος δὲ τοῦτον τῆς εὐγνωμοσύνης καὶ ὀρθῆς κρίσεως, ὁ Θεὸς ἐνεφάνισεν αὐτὸν αὐτῷ, οὐ καθὼς ἔχει φύσεως (Θεὸν γὰρ ἰδεῖν γεννητῇ φύσει ἀδύνατον), ἀλλ' οἰκονομικαῖς τισὶ θεοφανείαις, ὡς οἶδεν αὐτός· καὶ, τελεωτέραν γνῶσιν ἐνθεὶς αὐτοῦ τῇ ψυχῇ, ἐδόξασε, καὶ οἰκεῖον ἔθετο θεράποντα, ὃς, καὶ κατὰ διαδοχὴν τοῖς ἐξ αὐτοῦ παραπέμψας τὴν εὐσέβειαν, τὸν ἀληθῆ γνωρίζειν ἐδίδαξε Θεόν. Διὸ καὶ εἰς πλῆθος ἄπειρον τὸ σπέρμα αὐτοῦ ἐλθεῖν ὁ δεσπότης εὐδόκησε, καὶ λαὸν περιούσιον αὐτῷ ὠνόμασε, καὶ δουλωθέντας αὐτοὺς ἔθνει Αἰγυπτίῳ καὶ Φαραῷ τινὶ τυράννῳ σημείοις καὶ τέρασι φρικτοῖς καὶ ἐξαισίοις ἐξήγαγεν ἐκεῖθεν διὰ Μωσέως καὶ Ἀαρὼν, ἀνδρῶν ἁγίων καὶ χάριτι προφητείας δοξασθέντων· δι' ὧν καὶ τοὺς Αἰγυπτίους ἐκόλασεν ἀξίως τῆς αὐτῶν πονηρίας, καὶ τοὺς Ἰσραηλίτας (οὕτω γὰρ ὁ λαὸς ἐκεῖνος ὁ τοῦ Ἀβραὰμ ἀπόγονος ἐκέκλητο) διὰ ξηρὰν τὴν Ἐρυθρὰν Θάλασσαν διήγαγε, διασχισθέντων τῶν ὑδάτων καὶ τεῖχος ἐκ δεξιῶν καὶ τεῖχος ἐξ εὐωνύμων γεγενημένων (1)· τοῦ δὲ Φαραὼ καὶ τῶν Αἰγυπτίων κατ' ἴχνος αὐτῶν εἰσελθόντων, ἐπαναστραφέντα τὰ ὕδατα ἄρδην αὐτοὺς ἀπώλεσεν. »

(1) Codd. ξηρᾶς. Exod. XIV, 21: Κύριος...ἐποίησε τὴν θάλασσαν ξηράν, καὶ ἐσχίσθη τὸ ὕδωρ· καὶ εἰσῆλθον οἱ υἱοὶ Ἰσραὴλ εἰς μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρόν· καὶ τὸ ὕδωρ αὐτῆς τεῖχος ἐκ δεξιῶν καὶ τεῖχος ἐξ εὐωνύμων. Th. Prodromus Tetrast. in Exod. p. 40 : Χέρσον ἀβυσσότοκον πέδον ἥλιος ἀμφεπόλευσεν· Ὕδωρ γὰρ ἑκάτερθε πεπηγμένον

« Εἶτα θαύμασι μεγίστοις καὶ θεοφανείαις ἐπὶ χρόνοις τεσσαράκοντα διαγαγὼν τὸν λαὸν ἐν τῇ ἐρήμῳ καὶ ἄρτῳ οὐρανίῳ διατρέφων, νόμον δέδωκε πλαξὶ λιθίναις θεόθεν γεγραμμένον, ὅνπερ ἐνεχείρισε τῷ Μωσεῖ ἐπὶ τοῦ ὄρους, τύπον ὄντα καὶ σκιαγραφίαν τῶν μελλόντων, τῶν μὲν εἰδώλων καὶ πάντων τῶν πονηρῶν ἀπάγοντα πράξεων, μόνον δὲ διδάσκοντα τὸν ὄντως ὄντα θεὸν σέβεσθαι, καὶ τῶν ἀγαθῶν ἔργων ἀντέχεσθαι. »

« Τοιαύταις οὖν τερατουργίαις εἰσήγαγεν αὐτοὺς εἰς ἀγαθήν τινα γῆν, ἥνπερ πάλαι τῷ πατριάρχῃ ἐκείνῳ Ἀβραὰμ ἐπηγγείλατο δώσειν αὐτοῦ τῷ σπέρματι. Καὶ μακρὸν ἂν εἴη διηγήσασθαι ὅσα εἰς αὐτοὺς ἐνεδείξατο μεγάλα καὶ θαυμαστὰ, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμὸς, δι' ὧν πάντων τοῦτο ἦν τὸ σπουδαζόμενον πάσης ἀθέσμου λατρείας καὶ πράξεως τὸ τῶν ἀνθρώπων ἀποσπάσαι γένος, καὶ εἰς τὴν ἀρχαίαν ἐπαναγαγεῖν κατάστασιν. Ἀλλὰ καὶ ἔτι τῇ αὐτονομίᾳ τῆς πλάνης ἐδουλοῦτο ἡ φύσις ἡμῶν, καὶ ἐβασίλευε τῶν ἀνθρώπων ὁ θάνατος, τῇ τυραννίδι τοῦ Διαβόλου καὶ τῇ καταδίκῃ τοῦ ᾅδου πάντας παραπέμπων. »

« Εἰς τοιαύτην οὖν συμφορὰν καὶ ταλαιπωρίαν ἐλθόντας ἡμᾶς οὐ παρεῖδεν ὁ πλάσας καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν, οὐδὲ ἀφῆκεν εἰς τέλος ἀπολέσθαι τὸ τῶν χειρῶν αὐτοῦ ἔργον, ἀλλ', εὐδοκίᾳ

ἠΰτε τεῖχος Μίμνει. Malim ἀβυσσοτόκον cum cod. 2831, quod et Bebelianæ editioni, qua nunc careo, inesse videtur, quum ex eo loco in nova Thesauri Græci editione adlatum fuerit. Sensus est : « solum abyssorum parentem » velut continentem sol oberra» vit » ; quod moneo ob Suvignyi latina quæ hic mala sunt. Eadem est antithesis Psalm. cv, 9 : ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ ὡς ἐν ἐρήμῳ.

τοῦ Θεοῦ καὶ Πατρὸς καὶ συνεργίᾳ τοῦ Ἁγίου Πνεύματος, « ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ὁ » ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς (1) », ὁ ὁμοούσιος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, ὁ προαιώνιος, ὁ ἄναρχος, ὁ ἐν ἀρχῇ ὤν, καὶ πρὸς τὸν Θεὸν καὶ Πατέρα ὤν, καὶ Θεὸς ὤν (2), συγκαταβαίνει τοῖς ἑαυτοῦ δούλοις συγκατάβασιν ἄφραστον καὶ ἀκατάληπτον, καὶ, Θεὸς ὢν τέλειος, ἄνθρωπος τέλειος γίνεται ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς ἁγίας παρθένου καὶ θεοτόκου, οὐκ ἐκ σπέρματος ἀνδρὸς, ἢ θελήματος ἢ συναφείας, ἐν τῇ ἀχράντῳ μήτρᾳ τῆς παρθένου συλληφθεὶς, ἀλλ' ἐκ Πνεύματος Ἁγίου (3), καθὼς καὶ πρὸ τῆς συλλήψεως εἷς τῶν ἀρχαγγέλων ἀπεστάλη μηνύων τῇ παρθένῳ τὴν ξένην σύλληψιν ἐκείνην καὶ τὸν ἄφραστον τόκον. Ἀσπόρως γὰρ συνελήφθη ὁ Υἱὸς τοῦ Θεοῦ ἐκ Πνεύματος Ἁγίου, καὶ συμπήξας ἑαυτῷ ἐν τῇ μήτρᾳ τῆς Παρθένου σάρκα ἐμψυχουμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ, προῆλθεν ἐν μιᾷ τῇ ὑποστάσει, δύο δὲ ταῖς φύσεσι, τέλειος Θεὸς καὶ τέλειος ἄνθρωπος, ἄφθορον τὴν παρθενίαν τῆς τεκούσης καὶ μετὰ τὸν τόκον φυλάξας, καὶ, ἐν πᾶσιν ὁμοιοπαθὴς ἡμῖν γενόμενος χωρὶς ἁμαρτίας (4), τὰς ἀσθενείας ἡμῶν ἀνέλαβε καὶ τὰς νόσους ἐβάστασεν (5). Ἐπεὶ γὰρ δι' ἁμαρτίας εἰσῆλθεν ὁ θάνατος εἰς τὸν κόσμον (6),

(1) Joann. I, 18.

(2) Joann. I, 1: Θεὸς ἦν ὁ λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν.

(3) Jo. I, 13: οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν.

(4) Epist. ad Hebr. IV, 15: οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας.

(5) Matth. VIII, 7.

(6) Epist. ad Rom. V, 12: δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν

ἔδει τὸν λυτρῶσθαι μέλλοντα ἀναμάρτητον εἶναι καὶ μὴ τῷ θανάτῳ διὰ τῆς ἁμαρτίας ὑπεύθυνον. Ἐπὶ τριάκοντα δὲ χρόνοις τοῖς ἀνθρώποις συναναστραφεὶς, ἐβαπτίσθη ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπὸ Ἰωάννου, ἀνδρὸς ἁγίου καὶ πάντων τῶν προφητῶν ὑπερκειμένου. Βαπτισθέντος δὲ αὐτοῦ, φωνὴ ἠνέχθη οὐρανόθεν ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς, λέγουσα· « Οὗτός ἐστιν (1) ὁ » υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα. » Καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐν εἴδει περιστερᾶς κατῆλθεν ἐπ' αὐτόν. Καὶ ἀποτότε ἤρξατο σημεῖα ποιεῖν μεγάλα (2) καὶ θαυμαστὰ, νεκροὺς ἀνιστῶν, τυφλοὺς φωτίζων, δαίμονας ἀπελαύνων, κωφοὺς καὶ κυλλοὺς θεραπεύων, λεπροὺς καθαρίζων, καὶ πανταχόθεν ἀνακαινίζων τὴν παλαιωθεῖσαν ἡμῶν φύσιν, ἔργῳ τε καὶ λόγῳ παιδεύων καὶ διδάσκων τὴν τῆς ἀρετῆς ὁδὸν, τῆς μὲν φθορᾶς ἀπάγων, πρὸς δὲ τὴν ζωὴν ποδηγῶν τὴν αἰώνιον. »

« Ὅθεν καὶ μαθητὰς ἐξελέξατο δώδεκα, οὓς καὶ ἀποστόλους ἐκάλεσε· καὶ κηρύττειν αὐτοῖς ἐπέτρεψε τὴν οὐράνιον πολιτείαν, ἣν ἦλθεν ἐπὶ τῆς γῆς ἐνδείξασθαι, καὶ οὐρανίους τοὺς ταπεινοὺς ἡμᾶς καὶ ἐπιγείους τῇ αὐτοῦ οἰκονομίᾳ τελέσαι. »

« Φθόνῳ δὲ τῆς θαυμαστῆς αὐτοῦ καὶ θεοπρεποῦς πολιτείας καὶ τῶν ἀπείρων θαυμάτων οἱ ἀρχιερεῖς καὶ ἀρχηγοὶ τῶν Ἰουδαίων, ἔνθα δὴ καὶ τὰς διατριβὰς ἐποιεῖτο, μανέντες, οἷσπερ τὰ προειρημένα θαυμαστὰ σημεῖα καὶ τέρατα (3) πεποιήκει, ἀμνημονήσαντες πάντων, θανάτῳ αὐτὸν κατεδίκασαν,

κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος.

(1) Matth. III, 17.

(2) Matth. XXIV, 24: δώσουσι σημεῖα μεγάλα καὶ τέρατα.

(3) Cf. p. 50, 15, et nota præc.

ἕνα τῶν μαθητῶν αὐτοῦ εἰς προδοσίαν συναρπάσαντες· καὶ, κρατήσαντες αὐτὸν, τοῖς ἔθνεσιν ἔκδοτον τὴν ζωὴν τῶν ἁπάντων ἐποιήσαντο, ἑκουσίᾳ βουλῇ ταῦτα καταδεξαμένου αὐτοῦ. Ἦλθε γὰρ δι' ἡμᾶς πάντα παθεῖν, ἵν' ἡμᾶς τῶν παθῶν ἐλευθερώσῃ. Πολλὰ δὲ εἰς αὐτὸν ἐνδειξάμενοι, σταυρῷ τὸ τελευταῖον κατεδίκασαν. Καὶ πάντα ὑπέμεινε τῇ φύσει τῆς σαρκὸς, ἧς ἐξ ἡμῶν ἀνελάβετο, τῆς θείας αὐτοῦ φύσεως ἀπαθοῦς μεινάσης. Δύο γὰρ φύσεων ὑπάρχων, τῆς τε θείας καὶ ἧς ἐξ ἡμῶν προσανελάβετο, ἡ μὲν ἀνθρωπεία φύσις ἔπαθεν, ἡ δὲ θεότης ἀπαθὴς διέμεινε καὶ ἀθάνατος. »

« Ἐσταυρώθη οὖν τῇ σαρκὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὢν ἀναμάρτητος· « ἁμαρτίαν γὰρ οὐκ » ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐ» τοῦ (1) », καὶ οὐχ ὑπέκειτο θανάτῳ· διὰ τῆς ἁμαρτίας γὰρ, ὡς καὶ προεῖπον (2), ὁ θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον· ἀλλὰ δι' ἡμᾶς ἀπέθανε σαρκὶ (3), ἵν' ἡμᾶς τῆς τοῦ θανάτου λυτρώσηται τυραννίδος. Κατῆλθεν εἰς ᾅδου, καὶ, τοῦτον συντρίψας, τὰς ἀπ' αἰῶνος ἐγκεκλεισμένας ἐκεῖσε ψυχὰς ἠλευθέρωσε (4). Τεθεὶς ἐν τάφῳ τῇ τρίτῃ ἡμέρᾳ ἐξανέστη, νικήσας τὸν

(1) Petr. I Epist. II, 22. Cf. Isai. LIII, 9.

(2) Pag. 52, cum n. 5.

(3) Scripsit Petrus I Epist. IV, 1 : Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί. Quo de loco disserens Severus in Anecd. Græc. Wolfii t. IV, p. 80 : προδήλως δείκνυσι διὰ τοῦ προσδιορίσασθαι καὶ εἰπεῖν « σαρκὶ », ὡς ὁ αὐτὸς ἀπαθὴς ὑπῆρχε θεότητι. Rursus p. 82 : τοῦτο γὰρ οὐ κατὰ τὴν τῶν δοκητῶν ψυχολογίαν διαζευγνῦντός ἐστιν, ἀλλὰ καὶ μᾶλλον ἕνα καὶ ἀδιάτμητον εἰδότος τὸν ἀτρέπτως σαρκωθέντα Λόγον μονογενῆ. Etsi non absurdum sit ψυχολογίαν, quum Phantasmatarii suum de putativa Christi carne dogma multis de anima sophismatis vindicare debuerint, melius tamen hic fore ψυχρολογίαν opinor.

(4) Cf. Cyrill. Catech. IV, 27.

θάνατον καὶ ἡμῖν τὴν νίκην δωρησάμενος κατ' αὐτοῦ, καὶ, ἀφθαρτίσας τὴν σάρκα ὁ τῆς ἀφθαρσίας πάροχος, ὤφθη τοῖς μαθηταῖς, εἰρήνην αὐτοῖς δωρούμενος (1) καὶ δι' αὐτῶν παντὶ τῷ γένει τῶν ἀνθρώπων. Μεθ' ἡμέρας δὲ τεσσαράκοντα εἰς οὐρανοὺς ἀνεφοίτησε, καὶ οὕτως ἐν δεξιᾷ τοῦ Πατρὸς καθέζεται (2), ὃς καὶ μέλλει πάλιν ἔρχεσθαι « κρῖναι (3) ζῶντας καὶ » νεκρούς », καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ (4). Μετὰ δὲ τὴν ἔνδοξον αὐτοῦ εἰς οὐρανοὺς ἀνάληψιν, ἀπέστειλε τὸ πανάγιον Πνεῦμα ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς ἐν εἴδει πυρὸς, καὶ ἤρξαντο ξέναις γλώσσαις λαλεῖν, καθὼς τὸ Πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι (5). Ἐντεῦθεν οὖν τῇ χάριτι αὐτοῦ διεσπάρησαν εἰς πάντα τὰ ἔθνη, καὶ ἐκήρυξαν τὴν ὀρθόδοξον πίστιν (6), βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, διδάσκοντες τηρεῖν πάσας τὰς ἐντολὰς τοῦ Σωτῆρος (7). Ἐφώτισαν οὖν τὰ ἔθνη τὰ πεπλανημένα, καὶ τὴν δεισιδαίμονα πλάνην τῶν εἰδώλων κατήργησαν. »

« Κἂν μὴ φέρων ὁ ἐχθρὸς τὴν ἧτταν πολέμους καὶ νῦν καθ' ἡμῶν τῶν πιστῶν ἐγείρῃ (8), πείθων τοὺς

(1) Joann. xx, 21.

(2) Pag. 4, n. 4.

(3) II Epist. ad Tim. IV, 1; I Petr. IV, 5.

(4) Matth. XVI, 27: καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ. Apoc. 22, 12: ἰδοὺ, ἔρχομαι ταχὺ, καὶ ὁ μισθός μου μετ' ἐμοῦ, ἀποδοῦναι ἑκάστῳ ὡς τὸ ἔργον αὐτοῦ ἔσται.

(5) Act. Ap. II, 3, 4.

(6) Billyus, non curans verbum verbo reddere: « et preschèrent la foy catholique. » Præiverat Billyo Trapezuntiana versio.

(7) Matth. XXVIII, 19, 20.

(8) C, ἐγείρει. A prius ἐγείρῃ, dein e prava correctione ἐγείρει. Sic Reiskius in Libanio t. IV,

ἄφρονας καὶ ἀσυνέτους ἔτι τῆς εἰδωλολατρείας ἀντέχεσθαι, ἀλλ' ἀσθενὴς ἡ δύναμις αὐτοῦ γέγονε, καὶ αἱ ῥομφαῖαι αὐτοῦ εἰς τέλος ἐξέλιπον (1) τῇ τοῦ Χριστοῦ δυνάμει. »

« Ἰδού σοι τὸν ἐμὸν δεσπότην, καὶ Θεὸν καὶ σωτῆρα, δι' ὀλίγων ἐγνώρισα ῥημάτων· τελεώτερον δὲ γνωρίσεις, εἰ τὴν χάριν αὐτοῦ δέξῃ ἐν τῇ ψυχῇ σου καὶ δοῦλος αὐτοῦ καταξιωθῇς γενέσθαι. »

Τούτων ὡς ἤκουσε τῶν ῥημάτων ὁ τοῦ βασιλέως υἱὸς, φῶς αὐτῷ περιήστραψε τὴν ψυχήν (2)· καὶ ἐξαναστὰς τοῦ θρόνου ἐκ περιχαρείας, καὶ περιπλακεὶς τῷ Βαρλαὰμ, ἔφη· « Τάχα οὗτός ἐστιν, ὡς ἐγὼ εἰκάζω, τιμιώτατε τῶν ἀνθρώπων, ὁ λίθος ἐκεῖνος ὁ ἄτιμητος, ὃν ἐν μυστηρίῳ εἰκότως κατέχεις, μὴ παντὶ τῷ βουλομένῳ τοῦτον δεικνύων, ἀλλ' οἷς ἔῤῥωνται

p. 38, quum reperisset Morellianam lectionem, εἰ δὲ ἐφ' ὑμῶν τὸ αὐτὸ συμβαίνει, e suo dedit, solœce corrigens, συμβαίνῃ. Et in cod. 3017 est συμβαίνει, qui et totam sententiam sic exhibet, idque multo melius: εἰ δὲ ὑφ' ἡμῶν τὸ αὐτὸ συμβαίνει, τίς ὑμῖν ἔσται πόρος; Dion Chrys. Or. XLIV, p. 197: ὅταν δὲ δὴ καὶ πρόθυμον οὕτως καὶ ἀγαθὴν ἔχει τις πατρίδα, πῶς οὐ χρὴ πάντα τἄλλα περὶ ἐλάττονος ποιεῖσθαι ταύτης; Lego, ἔχῃ. Photius Bibl. § 259: ἐρώτησίς τε καὶ παράληψις καὶ ἕτερα τοιαῦτα ἔνεισιν αὐτοῦ τοῖς λόγοις. Redditum fuit παράληψις latina voce « responsio »; sed lego παράλειψις, ut est in cod. 2967, et verto « præteritio. » Nullus dubito quin recte se habeat iste locus in nupera, qua nondum uti potui, Bekkeri editione. Libanius rursus t. IV, p. 191: ἐρωτᾷς τὴν συμφορὰν, εἴ τις ἐστί; cod. 3017 bene ἥτις, quod malebat Reiskius. Idem pag. 671, 3: μηδὲν ἠδικεῖσθαι νομίζειν· imo ἠδικῆσθαι.

(1) Psalm. IX, 6: τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος.

(2) A, τῇ ψυχῇ, mala syntaxi. Act. Ap. IX, 3: περιήστραψεν αὐτὸν φῶς. Sic περιλάμπειν et similia. Æsculapius ad Ammonem p. 91, post Pœmandrum: αὐτὴ ἡ ὄψις λαμπρότατα περιλάμπει πάντα τὸν κόσμον τὸν ὑπερκείμενον· μέσος γὰρ ἵδρυται στεφανηφορῶν τὸν κόσμον. Plenius codex 1220: τὸν ὑπερκείμενον καὶ ὑποκείμενον.

τὰ τῆς ψυχῆς αἰσθητήρια. Ἰδοὺ γάρ, ὡς ταῦτα τὰ ῥήματα ἐδεξάμην ταῖς ἀκοαῖς, φῶς γλυκύτατον εἰσέδυ μου τῇ καρδίᾳ, καὶ τὸ βαρὺ ἐκεῖνο τῆς λύπης κάλυμμα, τὸ πολὺν ἤδη χρόνον περικείμενον τῇ καρδίᾳ μου, θᾶττον περιῃρέθη (1). Εἰ οὖν καλῶς εἰκάζω, ἀνάγγειλόν μοι· εἰ δὲ καὶ κρεῖττόν τι τῶν εἰρημένων γινώσκεις, μὴ ἀναβάλλου ἐξ αὐτῆς φανερῶσαί μοι. »

Αὖθις οὖν ὁ Βαρλαὰμ ἀπεκρίνατο· « Ναὶ μήν, κύριέ μου καὶ βασιλεῦ, τοῦτό ἐστι τὸ μέγα μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, ἐπ' ἐσχάτων δὲ τῶν χρόνων φανερωθὲν τῷ γένει τῶν ἀνθρώπων (2), οὗ τὴν φανέρωσιν πάλαι τῇ τοῦ θείου πνεύματος χάριτι προήγγειλαν πολλοὶ προφῆται καὶ δίκαιοι, πολυμερῶς καὶ πολυτρόπως (3) μυηθέντες· καὶ μεγαλοφώνως καταγγείλαντες, καὶ πάντες τὴν ἐσομένην σωτηρίαν προορῶντες, ἐπόθουν θεάσασθαι ταύτην, καὶ οὐκ ἐθεάσαντο (4)· ἀλλ' ἐσχάτη γενεὰ αὕτη ἠξιώθη τὸ σωτήριον δέξασθαι. « Ὁ » πιστεύσας οὖν καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπι» στήσας κατακριθήσεται (5). »

Ὁ δὲ Ἰωάσαφ ἔφη· « Πάντα τὰ εἰρημένα σοι ἀνενδοιάστως πιστεύω, καὶ ὃν καταγγέλλεις δοξάζω θεόν.

(1) Est imitatio loquutionis Paulinæ : confer pag. 6, n. 12. Non facile feram Joasaphum nondum *conversum*, et qui de Paulo ne fando quidem audiverat, suam orationem talibus ornare flosculis.

(2) Epist. ad Coloss. I, 26 : τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ.

(3) Epist. ad Hebr. I, 1 : πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις.

(4) Luc. X, 24 : λέγω γὰρ ὑμῖν ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον.

(5) Marc. XVI, 16.

Μόνον ἀπλανῶς μοι ταῦτα σαφήνισον, καὶ τί με δεῖ ποιεῖν ἀκριβῶς δίδαξον· ἀλλὰ καὶ τὸ βάπτισμα τί ἐστιν, ὃ τοὺς πιστεύοντας δέξασθαι ἔφης, κατ' ἀκολουθίαν αὐτῷ πάντα μοι γνώρισον (1). »

Ἐκεῖνος δὲ πρὸς αὐτὸν ἀπεκρίνατο (2)· « Τῆς ἁγίας ταύτης καὶ ἀμωμήτου τῶν χριστιανῶν πίστεως ῥίζα ὥσπερ καὶ ἀσφαλὴς ὑποβάθρα ἡ τοῦ θείου βαπτίσματος ὑπάρχει χάρις, πάντων τῶν ἀπὸ γενέσεως ἁμαρτημάτων κάθαρσιν ἔχουσα, καὶ παντελῆ ῥύψιν τῶν ἀπὸ κακίας ἐπεισελθόντων μολυσμάτων. Οὕτω γὰρ ὁ Σωτὴρ ἐνετείλατο δι' ὕδατος ἀναγεννᾶσθαι καὶ Πνεύματος (3), καὶ εἰς τὸ ἀρχαῖον ἐπανάγεσθαι ἀξίωμα, δι' ἐντεύξεως δηλαδὴ καὶ τῆς σωτηρίου ἐπικλήσεως, ἐπιφοιτῶντος τῷ ὕδατι τοῦ Ἁγίου Πνεύματος. Βαπτιζόμεθα τοίνυν, κατὰ τὸν λόγον τοῦ Κυρίου (4), εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος· καὶ οὕτως ἐνοικεῖ τοῦ Ἁγίου Πνεύματος ἡ χάρις τῇ τοῦ βαπτισθέντος ψυχῇ, λαμπρύνουσα αὐτὴν καὶ θεοειδῆ ἀπεργαζομένη, καὶ τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν (5) αὐτῇ ἀνακαινίζουσα· καὶ λοιπὸν πάντα τὰ παλαιὰ τῆς κακίας ἔργα ἀποῤῥίψαντες, συνθήκην πρὸς Θεὸν δευτέρου βίου καὶ ἀρχὴν καθαρωτέρας πολιτείας ποιούμεθα, ὡς ἂν καὶ συγκληρονόμοι ἐσόμεθα (6) τῶν πρὸς ἀφθαρσίαν ἀναγεννηθέντων καὶ τῆς αἰωνίου σωτηρίας ἐπιλαβομένων. Χωρὶς δὲ βαπτίσματος οὐκ ἔστι τῆς ἀγαθῆς ἐλπίδος ἐκείνης ἐπι-

(1) Forsan καὶ κατ' ἀκολ. — C, κατ' ἀκολ. γνώρισον.

(2) Lemma metricum in A: Τρίτην Βαρλαὰμ διάλεξιν νῦν βλέπε.

(3) Cf. Joann. III, 5.

(4) Cf. Matth. XXVIII, 19.

(5) Conf. p. 45, n. 3.

(6) C, ἐσώμεθα, et sic A e correctione. Fluctuat oratio inter solœcismum et barbarismum.

τυχεῖν, κἂν πάντων τῶν εὐσεβῶν εὐσεβέστερός τις γένηται. Οὕτω γὰρ ὁ ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν ἐνανθρωπήσας Θεὸς Λόγος εἶπεν (1)· « Ἀμὴν λέγω » ὑμῖν, ἐὰν μὴ ἀναγεννηθῆτε δι' ὕδατος καὶ Πνεύμα- » τος, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρα- » νῶν. » Διὸ πρὸ πάντων ἀξιῶ σε τῇ μὲν ψυχῇ δέξασθαι τὴν πίστιν, προσελθεῖν δὲ εὐθὺς καὶ τῷ βαπτίσματι πόθῳ θερμοτάτῳ καὶ μηδόλως πρὸς τοῦτο ἀναβάλλεσθαι· ἐπικίνδυνον (2) γὰρ ἡ ἀναβολὴ, διὰ τὸ ἄδηλον εἶναι τοῦ θανάτου τὴν προθεσμίαν. »

Ὁ δὲ Ἰωάσαφ πρὸς αὐτὸν εἶπε (3)· « Καὶ τίς ἡ ἀγαθὴ ἐλπὶς ἐκείνη, ἧς ἔφης χωρὶς βαπτίσματος μὴ ἐπιτυγχάνειν; τίς δέ ἐστιν ἥνπερ βασιλείαν τῶν οὐρανῶν ἀποκαλεῖς; πόθεν δὲ τὰ τοῦ ἐνανθρωπήσαντος θεοῦ ῥήματα σὺ ἀκήκοας; τίς δὲ ἡ τοῦ θανάτου ἄδηλος προθεσμία, περὶ ἧς μέριμνα πολλὴ, τῇ καρδίᾳ μου ἐνσκήψασα, ἐν λύπαις καὶ ὀδύναις δαπανᾷ μου τὰς σάρκας, καὶ αὐτῶν δὴ τῶν ὀστέων καθάπτεται; καὶ εἰ τεθνηξόμενοι εἰς τὸ μὴ ὂν διαλυθῶμεν οἱ ἄνθρωποι, ἢ ἔστιν ἄλλη τις βιοτὴ μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν; Ταῦτα καὶ τούτοις ἑπόμενα μαθεῖν ἐπεθύμουν. »

(1) Joann. III, 3: *ἀμὴν ἀμὴν λέγω σοι· ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ.*

(2) C, *ἐπικίνδυνος*. In talibus varietatibus neutrum plerumque præferendum. Cf. t. I, pag. 49, n. 5; Notit. Mss. t. XI, 11, p. 89; notula ad Plutum 203, t. IV, pag. 264. Charito III, 2: *εὐκαταφρόνητόν ἐστι γυνὴ μόνη καὶ ξένη.* Ibi qui proposuit *εὐκαταφρόνητος*, vir d. conjecturam fecit *εὐκαταφρόνητον*. Photius Epist. I, § 35: *ταχυλογία γὰρ ἐν μὲν ἀγωνιστικαῖς διαλέξεσι καὶ ἁμίλλαις εὐκαταφρόνητον ἴσως.* Menander Agricola: *Εὐκαταφρόνητόν ἐστι, Γοργία, πένης.* Plene Lucianus D. M. XIV, 3: *οἱ Ἰνδῶν ἐλέφαντες οὐκ εὐκαταφρόνητόν τι ἔργον.*

(3) Lemma metricum in A: *Ζητήματα πάμπολλα τοῦ Ἰωάσαφ.*

Ὁ δὲ Βαρλαὰμ τοιαύτας τούτοις ἐδίδου τὰς ἀποκρίσεις (1)· « Ἡ μὲν ἀγαθὴ ἐλπὶς, ἣν εἴρηκα, τῆς βασιλείας ἐστὶ τῶν οὐρανῶν· αὕτη δὲ γλώσσῃ βροτείᾳ τὸ παράπαν ὑπάρχει ἀνέκφραστος· φησὶ γὰρ ἡ γραφή (2)· « ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε, » καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμα- » σεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. » Ὅταν δὲ ἀξιωθῶμεν, τὸ παχὺ τοῦτο ἀποθέμενοι σαρκίον, τῆς μακαριότητος ἐκείνης ἐπιτυχεῖν, τότε αὐτὸς, ὁ καταξιώσας ἡμᾶς μὴ διαμαρτεῖν τῆς ἐλπίδος, διδάξει καὶ γνωριεῖ τῶν ἀγαθῶν ἐκείνων τὴν πάντα νοῦν ὑπερέχουσαν δόξαν, τὸ ἄφραστον φῶς, τὴν μὴ διακοπτομένην ζωὴν (3), τὴν μετὰ Ἀγγέλων διαγωγήν. Εἰ γὰρ ἀξιωθῶμεν Θεῷ συγγενέσθαι καθ' ὅσον ἐφικτὸν ἀνθρωπίνῃ φύσει, πάντα εἰσόμεθα παρ' αὐτοῦ ἃ νῦν οὐκ ἴσμεν. Τοῦτο γὰρ ἐγὼ, ἐκ τῆς τῶν θεοπνεύστων γραφῶν μεμυημένος διδαχῆς, πάντων μάλιστα βασιλείαν οὐρανῶν (4) τίθεμαι, τὸ πλησίον γενέσθαι τῇ θεωρίᾳ τῆς ἁγίας καὶ ζωαρχικῆς Τριάδος, καὶ τῷ ἀπροσίτῳ φωτὶ (5) αὐτῆς ἐλλαμφθῆναι, τρανότερόν (6)

(1) Lemma metricum in A: Καὶ τὴν τετάρτην διδαχὴν ἐνταῦθ' ὅρα.

(2) I Epist. ad Cor. II, 9.

(3) Basil. in Psalm. XXXIII, 13: τὴν ὄντως ζωὴν, τὴν θανάτῳ μὴ διακοπτομένην.

(4) Lemma metricum in A: Ὅρα δὲ καὶ τίς οὐρανῶν βασιλεία. Definitionem regni cœlorum vide sis supra t. I, p. 415; quam reperies et in Evagrii Capitibus t. III Monum. Cotel. p. 70. Koppii ea de re sententiam examini critico subjecit vir d. in Volborthii Biblioth. philol. t. I, p. 63. Exstat Chr. Raabii de regno Dei oratio.

(5) Conf. locus Pauli supra p. 44, n. 2.

(6) C, e correctione, τρανώτερον. Moschopulus, Π. σχ. pag. 71, τρανότερος τρανότατος scribi jubet, quum sit τρανὸς penultima longa: cf. t. II, XIII, 2. Philo De spec. legg. pag. 792: τὰ φύσεως ἔργα τρανωτέραις φαντασίαις

τε καὶ καθαρώτερον (1) καὶ ἀνακεκαλυμμένῳ προσώπῳ τὴν ἄῤῥητον αὐτῆς δόξαν κατοπτρίζεσθαι (2). Εἰ δὲ μὴ δυνατὸν τὴν δόξαν ἐκείνην καὶ τὸ φῶς καὶ τὰ ἀπόῤῥητα ἀγαθὰ παραστῆσαι λόγῳ, θαυμαστὸν οὐδέν· οὐκ ἂν γὰρ ἦσαν μεγάλα καὶ ἐξαίρετα, εἴ γε ἡμῖν, τοῖς ἐπιγείοις καὶ φθαρτοῖς καὶ τὸ βαρὺ τοῦτο καὶ ἐμπαθὲς σαρκίον περικειμένοις, τῷ λογισμῷ τε κατελαμβάνοντο καὶ τῷ λόγῳ παριστῶντο. Οὕτω μὲν οὖν δὴ περὶ τούτων εἰδὼς τῇ πίστει μόνῃ, δέχου ἀνενδοιάστως μηδὲν πεπλασμένον ἔχειν, καὶ δι' ἔργων ἀγαθῶν ἐπείχθητι τῆς ἀθανάτου βασιλείας ἐκείνης ἐπιλαβέσθαι, ἧσπερ ὅταν ἐπιτύχῃς, μαθήσῃ τὸ τέλειον.»

« Περὶ ὧν δὲ ἠρώτησας, πῶς ἡμεῖς τοὺς λόγους τοῦ σαρκωθέντος Θεοῦ ἀκηκόαμεν, διὰ τῶν ἱερῶν Εὐαγγελίων ἴσθι πάντα τὰ τῆς θεανδρικῆς οἰκονομίας ἡμᾶς μεμαθηκέναι. Οὕτω γὰρ ἡ ἁγία δέλτος ἐκείνη κέκληται, ὡς ἅτε ἀθανασίαν καὶ ἀφθαρσίαν καὶ ζωὴν αἰώνιον καὶ ἁμαρτιῶν ἄφεσιν καὶ βασιλείαν οὐρανῶν τοῖς θνητοῖς ἡμῖν καὶ φθαρτοῖς καὶ ἐπιγείοις εὐαγγελιζομένη·

αὐγάζεται. Repono τρανοτέραις, quod an legatur in Mangeyana quærere nunc non vacat. Exemplis quæ adposuit Moschopulus formæ ὅπερος, poterit, ante αὐλόπερος αὐλόπατος (imo ἀϋλόπερος ἀϋλότατος), addi e codice 2599, γειφόπερος γειφόπατος. In Constantini libro de Cerimon. pag. 239 B, ἰσχυρώτατοι relinquere non debuit Reiskius, e cujus nota patet vocis ἰσχυρὸς quantitatem quæ sit ignorasse virum circa talia negligentiorem, cetera egregium.

(1) Sequitur Gregorium Naz. Or. xv, p. 230 : τοὺς μὲν τὸ ἄφθαρτον φῶς διαδέχεται καὶ ἡ τῆς ἁγίας καὶ βασιλικῆς θεωρία Τριάδος, ἐλλαμπούσης τρανώτερόν (leg. τρανότερόν) τε καὶ καθαρώτερον καὶ ὅλης ὅλῳ τῷ νοῒ μιγνυμένης, ἣν δὴ καὶ μόνην μάλιστα βασιλείαν οὐρανῶν τίθεμαι.

(2) II Epist. ad Cor. III, 18 : ἡμεῖς δὲ ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι.

ἥνπερ γεγράφασιν « οἱ αὐτόπται (1) καὶ ὑπηρέται τοῦ » λόγου », οὓς ἀνωτέρω εἴρηκα, ὅτι μαθητὰς καὶ ἀποστόλους ὁ σωτὴρ ἡμῶν Χριστὸς ἐξελέξατο· καὶ παρέδωκαν ἡμῖν ἐγγράφως, μετὰ τὴν ἔνδοξον τοῦ δεσπότου εἰς οὐρανοὺς ἄνοδον τῆς ἐπὶ γῆς αὐτοῦ πολιτείας, τάς τε διδασκαλίας αὐτοῦ καὶ τὰ θαύματα, κατὰ τὸ ἐγχωροῦν γραφῇ παραδοῦναι. Οὕτω γὰρ πρὸς τῷ τέλει τοῦ λόγου ὁ ἐξαίρετος τῶν θείων ἐκείνων εὐαγγελιστῶν (2) εἴρηκεν· « ἔστι » φησί « καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰη» σοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἓν, οὐδὲ αὐτὸν » οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. »

« Ἐν τούτῳ οὖν τῷ θειοτάτῳ εὐαγγελίῳ ἐμφέρεται τῆς τε σαρκώσεως, τῆς τε ἀναδείξεως, τῶν τε θαυμάτων, τῶν τε πραγμάτων αὐτοῦ, ἡ ἱστορία πνεύματι Θεοῦ γεγραμμένη, ἔπειτα καὶ περὶ τοῦ ἀχράντου πάθους οὗπερ ὑπέμεινε δι' ἡμᾶς ὁ Κύριος, τῆς τε ἁγίας καὶ τριημέρου ἐγέρσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, πρὸς δὲ καὶ τῆς ἐνδόξου καὶ φοβερᾶς αὐτοῦ δευτέρας παρουσίας. Μέλλει γὰρ πάλιν ὁ υἱὸς τοῦ Θεοῦ ἐλθεῖν ἐπὶ τῆς γῆς, μετὰ δόξης ἀῤῥήτου καὶ πλήθους τῆς οὐρανίου στρατιᾶς (3), κρῖναι τὸ γένος ἡμῶν καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ (4). »

« Τὸν γὰρ ἄνθρωπον ἐξ ἀρχῆς ὁ Θεὸς ἐκ (5) γῆς διαπλάσας, κατὰ δὴ καὶ προλαβὼν εἶπόν σοι, ἐνεφύσησεν εἰς αὐτὸν πνοὴν (6), ἥτις ψυχὴ λογική τε

(1) Luc. I, 2. Cf. p. 69, n. 5.

(2) Joannes videlicet.

(3) Matth. XXV, 31 : ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ Ἄγγελοι μετ' αὐτοῦ. Cf. Luc. II, 13.

(4) Conf. p. 55, n. 4.

(5) A, ἐπί. Scholiastes Nub. 159 : καὶ γάρ ἐστιν ἐκ τῶν πτηνῶν τούτων καὶ τῶν ἐγκελάδων ἰδεῖν. Forsan ἐπί.

(6) Conf. p. 45, n. 2.

καὶ νοερὰ προσαγορεύεται· ἐπεὶ δὲ θάνατον κατεκρίθημεν, ἀποθνήσκομεν πάντες, καὶ οὐκ ἔστι τὸ ποτήριον τοῦτο τινὰ τῶν ἀνθρώπων παραδραμεῖν (1)· ἔστι δὲ ὁ θάνατος (2) χωρισμὸς ψυχῆς ἀπὸ τοῦ σώματος. Ἐκεῖνο μὲν οὖν τὸ ἐκ γῆς διαπλασθὲν σῶμα, χωρισθὲν τῆς ψυχῆς, εἰς γῆν ὑποστρέφει ἐξ ἧσπερ καὶ ἐλήφθη (3) καὶ φθειρόμενον διαλύεται· ἡ δὲ ψυχὴ, ἀθάνατος οὖσα, πορεύεται ἔνθα κελεύει ὁ δημιουργὸς, μᾶλλον δὲ καθὼς αὐτὴ προητοίμασεν ἑαυτῇ κατάλυμα ἔτι τῷ σαρκίῳ συνοῦσα. Καθὼς γάρ τις πολιτεύσηται ἐνταῦθα, μέλλει ἀπολαμβάνειν ἐκεῖθεν. Εἶτα μετὰ πλείστους χρόνους ἐλεύσεται Χριστὸς ὁ Θεὸς ἡμῶν κρῖναι τὸν κόσμον ἐν δόξῃ φοβερᾷ καὶ ἀνεκδιηγήτῳ, οὗ τῷ φόβῳ « αἱ δυνάμεις τῶν οὐ» ρανῶν σαλευθήσονται (4) », καὶ πᾶσαι αἱ στρατιαὶ τῶν Ἀγγέλων τρόμῳ παρίστανται ἐνώπιον αὐτοῦ (5). Τότε « ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ » ἀναστήσονται οἱ νεκροὶ (6) », καὶ παραστήσονται τῷ φοβερῷ αὐτοῦ θρόνῳ. »

« Ἔστι δὲ ἡ ἀνάστασις συνάφεια (7) πάλιν ψυχῆς τε καὶ σώματος. Αὐτὸ οὖν τὸ σῶμα, τὸ φθειρόμενον καὶ διαλυόμενον, αὐτὸ ἀναστήσεται ἄφθαρτον. Καὶ μηδαμῶς σοι ἀπιστίας λογισμὸς περὶ τούτου ἐπέλθῃ (8)· οὐκ

(1) Respectu ad verba Christi apud Matth. XXVI, 42 : εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον παρελθεῖν ἀπ' ἐμοῦ.

(2) Lemma metricum in A : Ὁ θάνατος τί δ' ἐστιν ἐνθάδε βλέπε.

(3) Gen. III, 19 : ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθης.

(4) Luc. XXI, 26.

(5) Luc. I, 19.

(6) Epist. ad Thessal. IV, 16.

(7) Lemma metricum in A : Ἀνάστασις τί δ' ἐστὶ μὴ παραδράμῃς.

(8) AC, ἐπέλθοι. Sæpius notata synchysis illa fuit. Ignatius Fab. p. 228 Corayanæ : Ἀνδρὸς πόθον μετῆξεν εἰς δούλην Κύπρις· Ἡ δ' αὖ γ' ἐτίμα τὴν θεὰν καθ'

ἀδυνατεῖ γὰρ τῷ ἐξ ἀρχῆς ἐκ τῆς γῆς διαπλάσαντι αὐτὸ, εἶτα ἀποστραφὲν εἰς γῆν ἐξ ἧς ἐλήφθη, κατὰ τὴν τοῦ δημιουργοῦ ἀπόφασιν (1), αὖθις ἀναστῆσαι. Εἰ γὰρ ἐννοήσεις πόσα ἐξ οὐκ ὄντων ἐποίησεν ὁ Θεὸς, ἱκανή σοι ἔσται αὕτη ἀπόδειξις. Καὶ γὰρ γῆν λαβὼν ἐποίησεν ἄνθρωπον, γῆν οὐκ οὖσαν πρότερον· πῶς οὖν ἡ γῆ γέγονεν ἄνθρωπος; πῶς δὲ αὕτη οὐκ οὖσα παρήγετο; ποίαν δὲ ὑποβάθραν ἔχει; πῶς δὲ ἐξ αὐτῆς παρήχθησαν τὰ τῶν ἀλόγων ἄπειρα γένη, τὰ τῶν σπερμάτων, τὰ τῶν φυτῶν; Ἀλλὰ καὶ νῦν κατανόησον ἐπὶ τῆς γεννήσεως τῆς ἡμετέρας· οὐ σπέρμα βραχὺ ἐνίεται εἰς τὴν ὑποδεχομένην μητρὰν αὐτό; πόθεν οὖν ἡ τοσαύτη τοῦ ζώου διάπλασις; Τῷ οὖν ταῦτα πάντα δημιουργήσαντι ἐκ μὴ ὄντων καὶ ἔτι δημιουργοῦντι οὐκ ἀδύνατον ἐκ γῆς τὰ νενεκρωμένα καὶ διαφθαρέντα σώματα ἀναστῆσαι, ἵνα ἕκαστος ἀπολάβῃ κατὰ τὰ ἔργα αὐτοῦ· « ἐργασίας γὰρ » φησίν (2) « ὁ παρὼν » καιρὸς, ὁ δὲ μέλλων ἀνταποδόσεως. » Ἐπεὶ ποῦ τὸ δίκαιον τοῦ Θεοῦ, εἰ μὴ ἀνάστασις ἦν; πολλοὶ γὰρ, δίκαιοι ὄντες, πολλὰ ἐν τῷ παρόντι βίῳ κακουχηθέντες καὶ τιμωρηθέντες βιαίως ἀνῃρέθησαν· ἔνιοι δὲ, ἀσεβεῖς ὄντες καὶ παράνομοι, ἐν τρυφῇ καὶ εὐημερίᾳ τὴν παροῦσαν ζωὴν ἀνάλωσαν· ὁ δὲ Θεὸς, ἐπειδὴ ἀγαθός ἐστι καὶ δίκαιος, ὥρισεν ἡμέραν ἀναστάσεως καὶ ἐτάσεως, ἵνα, ἀπολαβοῦσα ἑκάστη ψυχὴ τὸ ἴδιον σῶμα, ὁ μὲν κακὸς, ἐνταῦθα τὰ ἀγαθὰ ἀπολαβὼν,

ἡμέραν, Ἕως καθ' ὕπνους φησίν· « Μὴ τίμα σύ με· Τὸν ἄνδρα πη- » μαίνω γὰρ, οὐ ποθῶ σέ γε. » Codex 2991 A male ποιμαίνω, sed proprius φιλῶ pro ποθῶ. Velim etiam in malo metro reponi φησί.

(1) Gen. III, 19. Conf. pag. 63, n. 3.

(2) Gregorius Naz. Orat. IX, pag. 152.

ἐκεῖ περὶ ὧν ἥμαρτε κολασθῇ, ὁ δὲ ἀγαθὸς, ἐνταῦθα τιμωρηθεὶς περὶ ὧν ἥμαρτεν, ἐκεῖ τῶν ἀγαθῶν κληρονόμος γένηται· « Ἀκούσονται γάρ » φησὶν ὁ Κύριος, « οἱ ἐν τοῖς μνημείοις τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ, » καὶ ἐξελεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνά- » στασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνά- » στασιν κρίσεως (1) », ἡνίκα καὶ θρόνοι τεθήσονται, καὶ ὁ παλαιὸς τῶν ἡμερῶν καὶ πάντων δημιουργὸς προκαθίσει (2), καὶ βίβλοι ἀνοιγήσονται (3) πάντων ἡμῶν τὰς πράξεις, τοὺς λόγους, τὰς ἐνθυμήσεις ἐγγεγραμμένας ἔχουσαι, καὶ ποταμὸς πυρὸς ἕλκεται (4), καὶ πάντα τὰ κεκρυμμένα ἀνακαλύπτονται. Οὐδεὶς ἐκεῖ συνήγορος, ἢ πιθανότης ῥημάτων, ἢ ψευδὴς ἀπολογία, ἢ πλούτου δυναστεία, ἢ ἀξιωμάτων ὄγκος, ἢ δώρων ἄφθονοι δόσεις, κλέψαι τὴν ὀρθὴν κρίσιν ἰσχύουσιν· ἀλλ' ὁ ἀδέκαστος ἐκεῖνος καὶ ἀληθινὸς δικαστὴς ζυγοῖς δικαιοσύνης πάντα διακρινεῖ, καὶ πρᾶξιν καὶ λόγον καὶ διανόημα (5). Καὶ πορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες (6) εἰς ζωὴν αἰώνιον, εἰς τὸ φῶς τὸ ἀνέκφραστον, μετὰ Ἀγγέλων εὐφραινόμενοι, τῶν ἀποῤῥήτων ἀγαθῶν ἀπολαύοντες, καὶ τῇ ἁγίᾳ Τριάδι καθαρῶς

(1) Scilicet apud Joannem v, 28, 29.

(2) Dan. VII, 9 : ἐθεώρουν ἕως ὅτου οἱ θρόνοι ἐτέθησαν καὶ παλαιὸς ἡμερῶν ἐκάθητο.

(3) Ibid. 10 : κριτήριον ἐκάθισε καὶ βίβλοι ἠνεῴχθησαν.

(4) C, ἕλκει. Et Dan. quidem ibid. : ποταμὸς πυρὸς ἕλκει ἔμπροσθεν αὐτοῦ. Sed est ἕλκεται apud Gregor. Naz., quem noster sequitur. Cf. nota proxima.

(5) Præivit Gregorius Naz. Or. XV, p. 230 : ἐκεῖ δὲ τίς συνήγορος, ποία σκῆψις, τίς ψευδὴς ἀπολογία, ποία πιθανότης ἔντεχνος, τίς ἐπίνοια κατὰ τῆς ἀληθείας, παραλογιεῖται τὸ δικαστήριον, καὶ κλέψει τὴν ὀρθὴν κρίσιν, τοῖς πᾶσι πάντα ἐν ζυγῷ τεθεῖσαν, καὶ πρᾶξιν καὶ λόγον καὶ διανόημα, κ. τ. λ.

(6) Joann. l. c. : καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς.

παρισἵάμενοι· οἱ δὲ τὰ φαῦλα πράξαντες καὶ πάντες οἱ ἀσεβεῖς καὶ ἁμαρτωλοὶ εἰς κόλασιν αἰώνιον (1), ἥτις γέεννα λέγεται καὶ σκότος ἐξώτερον (2) καὶ σκώληξ ἀκοίμητος (3) καὶ βρυγμὸς ὀδόντων (4), καὶ ἄλλα μυρία κολαστήρια, μᾶλλον δὲ, τὸ πάντων χαλεπώτατον, τὸ ἀλλοτριωθῆναι ἀπὸ Θεοῦ καὶ ἀπεῤῥίφθαι τοῦ γλυκυτάτου προσώπου αὐτοῦ, καὶ τῆς δόξης ἐκείνης στερηθῆναι τῆς ἀνεκδιηγήτου, καὶ τὸ παραδειγματισθῆναι ἐπὶ πάσης τῆς κτίσεως, καὶ τὸ αἰσχυνθῆναι αἰσχύνην πέρας οὐκ ἔχουσαν. Μετὰ γὰρ τὸ δοθῆναι τὴν φρικτὴν ἐκείνην ἀπόφασιν, πάντα ἄτρεπτα μενεῖ καὶ ἀναλλοίωτα, μήτε τῆς τῶν δικαίων φαιδρᾶς διαγωγῆς ἐχούσης τέλος, μήτε τῆς τῶν ἁμαρτωλῶν ταλαιπωρίας καὶ κολάσεως λαμβανούσης πέρας· οὔτε γὰρ κριτὴς μετ' ἐκεῖνον ὑψηλότερος, οὔτε ἀπολογία δι' ἔργων δευτέρων, οὐ προθεσμία μεταποιήσεως, οὐκ ἄλλη τις μέθοδος τοῖς κολαζομένοις, συνδιαιωνιζούσης αὐτοῖς τῆς τιμωρίας.»

« Τούτων οὕτως ἐχόντων, « ποταποὺς (5) δεῖ ὑπ-» άρχειν ἡμᾶς ἐν ἁγίαις ἀναστροφαῖς καὶ εὐσεβέσι » πολιτείαις », ἵνα καταξιωθῶμεν ἐκφυγεῖν τὴν μέλλουσαν ἀπειλὴν καὶ σταθῆναι ἐκ δεξιῶν τοῦ υἱοῦ τοῦ Θεοῦ; αὕτη γὰρ ἡ στάσις τῶν δικαίων· τοῖς δὲ ἁμαρτωλοῖς ἡ ἐξ εὐωνύμων (6) ἀποκεκλήρωται παναθλία

(1) Matth. xxv, 46 : καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.

(2) Matth. xxv, 30 : καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον. De γέεννα confer loca Matthæi xxiii, 15, 33; Marci ix, 43.

(3) Marc. ix, 43 : ἀπελθεῖν εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον, ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ.

(4) Matth. xiii, 42, xxiv, 51, xxv, 30; Luc. xiii, 28 : ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

(5) Petr. ii Epist. iii, 11.

(6) Matth. xxv, 33.

μερίς. Ἐκεῖθεν δὲ τοὺς μὲν δικαίους εὐλογημένους ἀποκαλῶν ὁ δεσπότης εἰς τὴν ἀτελεύτητον βασιλείαν (1) εἰσάγει, τοὺς δὲ ἁμαρτωλοὺς, μετ᾽ ὀργῆς καὶ ἀρᾶς ἐκβαλὼν τοῦ προσώπου αὐτοῦ τοῦ ἡμέρου καὶ γαληνοῦ, τὸ πάντων πικρότατον ἅμα καὶ χαλεπώτατον, εἰς κόλασιν ἐκπέμπει αἰώνιον.»

Ὁ δὲ Ἰωάσαφ πρὸς αὐτὸν ἔφη· «Μεγάλα τινὰ καὶ θαυμαστὰ πράγματα λέγεις μοι, ἄνθρωπε, φόβου πολλοῦ καὶ τρόμου (2) ἄξια, εἰ ταῦτά γε οὕτως ἔχει, καὶ ἔστι πάλιν, μετὰ τὸ ἀποθανεῖν καὶ εἰς τέφραν καὶ κόνιν διαλυθῆναι, ἀνάστασις καὶ παλιγγενεσία, ἀμοιβαί τε καὶ εὐθύναι τῶν βεβιωμένων. Ἀλλὰ τίς ἡ τούτων ἀπόδειξις; καὶ πῶς, τὸ τέως μὴ θεαθὲν μαθόντες, οὕτως ἀθρόως καὶ ἀναμφιλέκτως ἐπιστεύσατε; Τὰ μὲν γὰρ ἤδη πραχθέντα καὶ ἔργοις φανερωθέντα, κἂν αὐτοὶ οὐκ εἴδετε, ἀλλὰ τῶν ἱστορησάντων ἠκούσατε· πῶς δὲ, καὶ περὶ τῶν μελλόντων τοιαῦτα μεγάλα καὶ ὑπέρογκα κηρύττοντες, ἀσφαλῆ τὴν περὶ αὐτῶν κέκτησθε πληροφορίαν;»

Καί φησιν ὁ Βαρλαάμ· «Ἐκ τῶν ἤδη πραχθέντων ἐκτησάμην καὶ τῶν μελλόντων τὴν πληροφορίαν· οἱ γὰρ ταῦτα κηρύξαντες ἐν οὐδενὶ τῆς ἀληθείας διαμαρτόντες, ἀλλὰ σημείοις καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι (3) τὰ λεχθέντα ἐμπεδωσάμενοι, αὐτοὶ

(1) Matth. xxv, 34. Confer infra pag. 71.

(2) Junxit φόβον καὶ τρόμον, memor forsan Psalmi LIV, 5: φόβος καὶ τρόμος ἦλθεν ἐπ᾽ ἐμέ· vel Isaiæ XIX, 16; vel alius loci. Pseudo-Abdias VIII, 9: « factus est timor » et tremor super omnes incredu-» los. » Sed et οἱ ἔξω sic scripserunt: vid. not. ad Eunap. p. 164; Heylerum ad Jul. Epist. p. 503. Plautus Mil. 1332: « Metuoque » et timeo ne hoc tandem pro-» palam fiat nimis. »

(3) Act. Ap. II, 22: ἄνδρα ἀπὸ τοῦ Θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς

καὶ περὶ τῶν μελλόντων εἰσηγήσατο. Ὥσπερ οὖν ἐνταῦθα οὐδὲν σκαιὸν καὶ πεπλασμένον ἐδίδαξαν, ἀλλὰ πάντα φαιδρότερον ἡλίου ἔλαμψαν (1) ὅσα τε εἶπον καὶ ἐποίησαν, οὕτως κἀκεῖ ἀληθινὰ ἐδογμάτισαν· ἅτινα καὶ αὐτὸς ὁ κύριος ἡμῶν καὶ δεσπότης Ἰησοῦς Χριστὸς λόγῳ τε καὶ ἔργῳ ἐπιστώσατο. « Ἀμὴν γὰρ » φησί (2) « λέγω ὑμῖν ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς » μνημείοις ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ, » καὶ οἱ ἀκούσαντες ζήσονται· » καὶ αὖθις· « Ἔρχεται » ὥρα, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς αὐτοῦ, » καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνά» στασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνά» στασιν κρίσεως· » καὶ πάλιν περὶ τῆς ἀναστάσεως φησὶ τῶν νεκρῶν· « Οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ » Θεοῦ λέγοντος· Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς » Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ· οὐκ ἔστιν ὁ Θεὸς θεὸς νεκρῶν, » ἀλλὰ ζώντων (3)· ὥσπερ γὰρ συλλέγεται τὰ ζιζάνια » καὶ πυρὶ καίεται, οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ » αἰῶνος τούτου· ἀποστελεῖ ὁ υἱὸς τοῦ Θεοῦ τοὺς » Ἀγγέλους αὐτοῦ καὶ συλλέξουσι πάντα τὰ σκάν» δαλα καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ βαλοῦσιν » αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός· ἐκεῖ ἔσται ὁ » κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· τότε οἱ δί» καιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ » πατρὸς αὐτῶν (4). » Ταῦτα εἰπὼν, προσέθετο· « Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. »

« Τοιούτοις μὲν λόγοις καὶ ἑτέροις πλείοσι τὴν

δυνάμεσι καὶ τέρασι καὶ σημείοις. Conf. pag. 53, n. 3.

(1) Loquutio biblica. Conferatur mox nota 4.

(2) Apud Joann. v, 25, 28.

(3) Marc. xii, 26, 27 : conf. Luc. xx, 37, 38.

(4) Matth. xiii, 40—43.

τῶν σωμάτων ἡμῶν ἀνάστασιν ὁ Κύριος ἐφανέρωσεν· ἔργῳ δὲ τοὺς λόγους ἐπιστώσατο, πολλοὺς ἐγείρας νεκροὺς, πρὸς δὲ τῷ τέλει τῆς ἐπὶ γῆς αὐτοῦ πολιτείας, καὶ τεταρταῖον ἤδη καταφθαρέντα καὶ ὀδωδότα Λάζαρόν τινα (1) φίλον ἑαυτοῦ ἐκ τοῦ μνήματος καλέσας, καὶ ζῶντα τὸν ἄπνουν παραστησάμενος. Ἐπὶ τούτοις δὲ καὶ αὐτὸς ὁ Κύριος ἀπαρχὴ (2) τῆς τελείας καὶ μηκέτι θανάτῳ ὑποπιπτούσης ἀναστάσεως γέγονε, σαρκὶ τοῦ θανάτου γευσάμενος (3), ἀναστὰς δὲ τριήμερος καὶ τῶν νεκρῶν πρωτότοκος γενόμενος (4). Ἠγέρθησαν μὲν γὰρ καὶ ἄλλοι ἐκ τῶν νεκρῶν, ἀλλ' αὖθις ἀπέθανον καὶ οὐκ ἔφθασαν εἰκόνα τῆς μελλούσης ἀληθινῆς ἀναστάσεως παραστῆσαι· μόνος δὲ αὐτὸς τῆς ἀναστάσεως ἐκείνης ἀρχηγὸς ἐγένετο, πρῶτος τὴν ἀθάνατον ἐγερθεὶς ἀνάστασιν. »

« Ταῦτα καὶ οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου ἐκήρυξαν (5). Φησὶ γὰρ ὁ μακάριος Παῦλος, οὗ ἡ κλῆσις οὐκ ἐξ ἀνθρώπων, ἀλλ' οὐρανόθεν (6) γέγονε· « Γνωρίζω (7) ὑμῖν, ἀδελφοὶ, τὸ
» εὐαγγέλιον ὃ εὐηγγελισάμην ὑμῖν· παρέδωκα γὰρ
» ὑμῖν ἐν πρώτοις ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθα-
» νεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς γραφάς·
» εἰ δὲ Χριστὸς κηρύσσεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται,

(1) Joann. XI, 39 : ἤδη ὄζει· τεταρταῖος γάρ ἐστι.

(2) I Epist. ad Cor. XV, 23 : ἀπαρχὴ Χριστός. Cf. mox n. 4.

(3) Luc. IX, 27 : οἳ οὐ μὴ γεύσωνται θανάτου.

(4) Epist. ad Col. I, 18, de Jesu : ὅς ἐστιν ἀρχὴ, πρωτότοκος ἐκ νεκρῶν.

(5) Luc. I, 2 : καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου.

(6) Epist. ad Gal. I, 1 : Παῦλος, ἀπόστολος οὐκ ἀπ' ἀνθρώπου οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ πατρός.

(7) I Epist. ad Cor. XV, 1, sqq.

» πῶς λέγουσί τινες ὅτι ἀνάστασις οὐκ ἔστιν; εἰ γὰρ » νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται· εἰ δὲ » Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ἡμῶν, » ἔτι ἐστὲ ἐν ταῖς ἀνομίαις ὑμῶν· εἰ ἐν τῇ ζωῇ » ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινό- » τεροι πάντων ἀνθρώπων ἐσμέν. Νυνὶ δὲ Χριστὸς ἐγή- » γερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων γενό- » μενος· ἐπειδὴ γὰρ δι᾽ ἀνθρώπου ὁ θάνατος, καὶ δι᾽ » ἀνθρώπου ἀνάστασις νεκρῶν· ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ » πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάν- » τες ζωοποιηθήσονται (1). » Καὶ μετ᾽ ὀλίγα· « Δεῖ γὰρ » τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ θνη- » τὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν· ὅταν δὲ τὸ φθαρ- » τὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο » ἐνδύσηται ἀθανασίαν, τότε πληρωθήσεται ὁ λόγος » ὁ γεγραμμένος· κατεπόθη ὁ θάνατος εἰς νῖκος· ποῦ » σοῦ, θάνατε, τὸ κέντρον; ποῦ σοῦ, ᾅδη, τὸ νῖκος; » Καταργεῖται γὰρ τέλεον ἡ τοῦ θανάτου δύναμις τότε καὶ ἀφανίζεται, μηκέτι ὅλως ἐνεργοῦσα, ἀλλ᾽ ἀθανασία λοιπὸν καὶ ἀφθαρσία δίδοται τοῖς ἀνθρώποις αἰώνιος. »

« Ἔσται οὖν ἔσται (2) ἀναμφιλέκτως ἡ τῶν νεκρῶν ἀνάστασις, καὶ τοῦτο ἀνενδοιάστως πιστεύομεν· ἀλλὰ καὶ ἀμοιβὰς καὶ εὐθύνας τῶν βεβιωμένων γινώσκομεν κατὰ τὴν φοβερὰν ἡμέραν τῆς τοῦ Χριστοῦ παρουσίας, » δι᾽ ἧς οὐρανοὶ πυρούμενοι λυθήσονται καὶ στοιχεῖα » καυσούμενα τήκεται », ὥς φησί τις (3) τῶν θεη-

(1) Hinc Paulino, Epist. ad Ausonium II, Christus dictus est, « Mortalitatis vita nostræ et mors » necis. »

(2) A sine altero ἔσται. Photius Epist. 71 : εἰ δέ σοι καὶ ληρεῖν δόξαιμι, ἔσται σοι οὐκ εἰς μακρὰν τὸ παροιμιῶδες.... Cod. 2720 : ἔσται σοι ἔσται οὐκ....

(3) Petr. II Epist. III, 12, 13.

γόρων, « καινοὺς δὲ οὐρανοὺς καὶ καινὴν γῆν, κατὰ » τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν. » Ὅτι γὰρ ἀμοιβαὶ καὶ εὐθύναι εἰσὶ τῶν ἔργων ἐκεῖ, καὶ οὐδὲν ὅλως τῶν ἀγαθῶν ἢ τῶν πονηρῶν παρορθήσεται, ἀλλὰ καὶ ἔργων καὶ ῥημάτων καὶ ἐνθυμήσεων ἀνταποδόσεις ἀπόκεινται, δῆλον· φησὶ γὰρ ὁ Κύριος· « Ὃς (1) ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦν (2) » μόνον εἰς ὄνομα μαθητοῦ, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν » αὐτοῦ. » Καὶ πάλιν λέγει· « Ὅταν (3) ἔλθῃ ὁ υἱὸς » τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι » Ἄγγελοι μετ' αὐτοῦ, τότε συναχθήσονται ἔμπροσθεν » αὐτοῦ πάντα τὰ ἔθνη καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα » ἀπὸ τῶν ἐρίφων, καὶ στήσει τὰ μὲν πρόβατα ἐκ » δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων· τότε » ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· Δεῦτε, οἱ » εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν » ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν, » ἐδίψησα καὶ ἐποτίσατέ με, ξένος ἤμην καὶ συνηγάγετέ με, γυμνὸς καὶ περιεβάλετέ με, ἠσθένησα » καὶ ἐπεσκέψασθέ με, ἐν φυλακῇ ἤμην καὶ ἤλθετε » πρός με. » Τί τοῦτο λέγων; τὰς γινομένας παρ' ἡμῶν εἰς τοὺς δεομένους εὐποιΐας ἑαυτῷ οἰκειούμενος. Καὶ ἐν ἑτέρῳ λέγει· « Πᾶς (4) ὅστις ὁμολογήσει ἐν ἐμοὶ » ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. »

« Ἰδοὺ διὰ πάντων τούτων καὶ ἄλλων πλειόνων

(1) Matth. x, 42.
(2) Sic codices A C.
(3) Matth. xxv, 31, sqq.
(4) Luc. xii, 8.

ἐδήλωσε βεβαίας εἶναι καὶ ἀσφαλεῖς τὰς ἀμοιβὰς τῶν ἀγαθῶν ἔργων· ἀλλὰ καὶ τῶν ἐναντίων εὐθύνας ἀποκεῖσθαι προκατήγγειλε διὰ παραβολῶν θαυμασίων καὶ ἐξαισίων, ἃς ἡ πηγὴ τῆς σοφίας (1) πανσόφως διηγήσατο· ποτὲ μὲν πλούσιόν τινα παρεισάγων πορφύραν καὶ βύσσον ἐνδεδυμένον (2), καὶ καθ' ἡμέραν λαμπρῶς εὐφραινόμενον, ἀμετάδοτον δὲ καὶ ἀνηλεῆ πρὸς τοὺς δεομένους ὑπάρχοντα, ὡς καὶ πτωχόν τινα Λάζαρον ὀνόματι πρὸς τὸν πυλῶνα αὐτοῦ βεβλημένον παραβλέπειν, καὶ οὐδὲ αὐτῶν τῶν τῆς τραπέζης αὐτοῦ ψιχίων ἐπιδιδόναι αὐτῷ· ἀποθανόντων οὖν ἀμφοτέρων, ὁ μὲν πένης ἐκεῖνος καὶ ἡλκωμένος ἀπηνέχθη, φησὶν, εἰς τὸν κόλπον Ἀβραὰμ, τὴν τῶν δικαίων συναυλίαν οὕτω δηλώσας· ὁ δὲ πλούσιος παρεδόθη φλογὶ πικρᾶς βασάνου ἐν τῷ ᾅδῃ· πρὸς ὃν Ἀβραὰμ ἔλεγεν· « Ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ » σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ οὗτος » μὲν παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι· » ἑτέρωθι δὲ παρεικάζων τὴν τῶν οὐρανῶν βασιλείαν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ (3), τὴν μέλλουσαν εὐφροσύνην καὶ λαμπρότητα οὕτω δηλῶν. »

« Πρὸς ἀνθρώπους γὰρ ταπεινοὺς καὶ τὰ ἐπίγεια φρονοῦντας τὸν λόγον ποιούμενος ἐκ τῶν συνήθων αὐτοῖς καὶ γνωρίμων ἐδίδου τὰς παραβολάς. Οὐ μέντοι δὲ γάμους καὶ τραπέζας ἐν ἐκείνῳ παρεδήλου τῷ αἰῶνι εἶναι· ἀλλὰ τῇ αὐτῶν συγκαταβαίνων παχύτητι, τοιούτοις ὀνόμασι κέχρηται, γνωρίσαι αὐτοῖς τὰ μέλλοντα βουλόμενος. »

(1) Sirach. I, 5 : πηγὴ σοφίας λόγος Θεοῦ.

(2) Luc. XVI, 19, sqq.

(3) Matth. XXII, 2, sqq.

« Πάντας μὲν οὖν, φησὶ, συνεκάλεσεν ὁ βασιλεὺς
» ὑψηλῷ κηρύγματι (1) συνελθεῖν εἰς τοὺς γάμους καὶ ἐμ-
» φορηθῆναι τῶν ἀποῤῥήτων ἀγαθῶν ἐκείνων· πολλοὶ δὲ
» τῶν κεκλημένων ἀμελήσαντες οὐκ ἀπῆλθον, ἀλλ',
» ἀπασχολήσαντες ἑαυτοὺς, οἱ μὲν εἰς ἀγροὺς, οἱ δὲ
» εἰς ἐμπορίας, οἱ δὲ εἰς νεονύμφους γυναῖκας, ἀπεστέ-
» ρησαν ἑαυτοὺς τῆς λαμπρότητος τοῦ νυμφῶνος. Ἐκ-
» είνων δὲ ἐθελοντὶ ἀλλοτριωθέντων τῆς τερπνῆς εὐ-
» φροσύνης, ἄλλοι προσεκλήθησαν· καὶ ἐπλήσθη ὁ
» γάμος ἀνακειμένων. Εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσα-
» σθαι τοὺς ἀνακειμένους, εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐν-
» δεδυμένον ἔνδυμα γάμου, καὶ λέγει αὐτῷ· Ἑταῖρε,
» πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου; Ὁ δὲ
» ἐφιμώθη. Τότε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις·
» Δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας, ἄρατε αὐτὸν,
» καὶ ἐμβάλετε (2) εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ
» ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. »

Οἱ μὲν οὖν παραιτησάμενοι καὶ μηδόλως τῆς κλήσεως ὑπακούσαντες εἰσὶν οἱ μὴ προσδραμόντες τῇ τοῦ Χριστοῦ πίστει, ἀλλ' εἴτε τῇ εἰδωλολατρείᾳ, εἴτε αἱρέσει τινὶ ἐμμείναντες· ὁ δὲ μὴ ἔχων τὸ τοῦ γάμου ἔνδυμα ἐστὶν ὁ πιστεύσας μὲν, πράξεσι δὲ ῥυπαραῖς τὸ νοητὸν ἔνδυμα κηλιδώσας, ὃς καὶ δικαίως ἐξεβλήθη τῆς χαρᾶς τοῦ νυμφῶνος. »

« Καὶ ἄλλην δὲ παραβολὴν ταύτῃ συνᾴδουσαν παρέθηκε, δέκα τινὰς παρθένους τυπώσας (3), ὧν αἱ μὲν πέντε ἦσαν φρόνιμοι, αἱ δὲ πέντε μωραί. « Αἵτινες

(1) Prov. IX, 3: ἀπέστειλε τοὺς ἑαυτῆς δούλους, συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος.

(2) A, βάλετε. C, ἐμβάλετε. Vulgo, ἐκβάλετε.

(3) Matth. XXV.

» μωραὶ, λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, οὐκ ἔλαβον » μεθ' ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον· » διὰ τοῦ ἐλαίου τὴν τῶν ἀγαθῶν ἔργων κτῆσιν σημαίνων. « Μέσης δὲ τῆς νυκτὸς » φησί, « κραυγὴ » γέγονεν· Ἰδοὺ ὁ νυμφίος ἔρχεται· ἐξέρχεσθε (1) εἰς » ἀπάντησιν αὐτοῦ· » διὰ τοῦ μεσονυκτίου τὸ ἄδηλον τῆς ἡμέρας ἐκείνης παραστήσας. « Τότε ἠγέρθησαν » πᾶσαι αἱ παρθένοι ἐκεῖναι. » Αἱ μὲν οὖν ἕτοιμοι ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου, καὶ « εἰσῆλθον » μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύ» ρα· » αἱ δὲ ἀνέτοιμοι, ἃς εἰκότως μωρὰς ἐκάλεσε, σβεννυμένας τὰς λαμπάδας ἑαυτῶν ὁρῶσαι, ἀπῆλθον ἀγοράσαι ἔλαιον. Παραγενόμεναι δὲ κλεισθείσης ἤδη τῆς θύρας, ἔκραζον λέγουσαι· « Κύριε, κύριε, » ἄνοιξον ἡμῖν. Ὁ δέ » φησίν « ἀποκριθεὶς εἶπεν· « Ἀμὴν, λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. »

« Διὰ τούτων οὖν ἁπάντων δῆλόν ἐστιν ἀνταπόδοσιν εἶναι οὐ μόνον τῶν ἐναντίων πράξεων, ἀλλὰ καὶ ῥημάτων καὶ αὐτῶν τῶν ἐνθυμήσεων. Εἶπεν γὰρ ὁ Σωτήρ· « Λέγω (2) ὑμῖν ὅτι πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν » λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ » λόγον ἐν ἡμέρᾳ κρίσεως. » Καὶ αὖθις « Ὑμῶν δέ » φησί (3), « καὶ αἱ τρίχες τῆς κεφαλῆς ἠριθμημέναι » εἰσί· » διὰ τῶν τριχῶν τὰ λεπτότατα τῶν διαλο-

(1) A, ἐξέρχεσθαι. Posset quidem infinitivus pro imperativo sumi (cf. t. III, pag. 424); sed præstat ἐξέρχεσθε, et varietas e permutatione solenni vocalium αι et ε nata est. Quam permutationem non meminerat Brunckius quum, ad Electram 450, ubi ἀφνεωτέραις, animadverteret lectionem codicis cujusdam ἀφναιωτέραις esse pro ἀφνειοτέραις habendam. Idem est nomen ἀφναιωτέραις atque ἀφνεωτέραις, sed mendose scriptum.

(2) Matth. XII, 36.

(3) Matth. X, 30.

γισμῶν καὶ ἐνθυμήσεων παραδηλώσας. Συνῳδὰ δὲ τούτοις καὶ ὁ μακάριος διδάσκει Παῦλος· « Ζῶν γὰρ » φησίν (1) « ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς, καὶ τομώ» τερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνού» μενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, » ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ » ἐννοιῶν καρδίας· καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον » αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς » ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος. »

« Ταῦτα καὶ οἱ προφῆται πρὸ χρόνων πολλῶν τῇ τοῦ Πνεύματος λαμπόμενοι χάριτι ἀριδηλότατα κατήγγειλαν. Φησὶ γὰρ ὁ Ἠσαΐας· « Ἐγὼ τὰ ἔργα αὐ» τῶν καὶ τοὺς λογισμοὺς ἐπίσταμαι καὶ ἀνταποδώσω » αὐτοῖς· ἰδοὺ συναγαγεῖν ἔρχομαι πάντα τὰ ἔθνη καὶ » τὰς γλώσσας, καὶ ἥξουσι, καὶ ὄψονται τὴν δόξαν » μου (2)· καὶ ἔσται ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινὴ, » ἃ ἐγὼ ποιῶ μὲν ἐνώπιόν μου· καὶ ἥξει πᾶσα σὰρξ » τοῦ προσκυνῆσαι ἐνώπιόν μου, λέγει Κύριος, καὶ » ἐξελεύσονται, καὶ ὄψονται τὰ κῶλα τῶν ἀνθρώπων, » τῶν παραβεβηκότων ἐν ἐμοί· ὁ γὰρ σκώληξ αὐτῶν » οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, » καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί. » Καὶ αὖθις περὶ τῆς ἡμέρας ἐκείνης λέγει· « Καὶ (3) εἰληθήσεται ὁ » οὐρανὸς ὡς βιβλίον, καὶ πάντα τὰ ἄστρα πεσοῦν» ται ὡς φύλλα ἐξ ἀμπέλου· ἰδοὺ (4) γὰρ ἡμέρα » Κυρίου ἔρχεται, ἀνίατος θυμοῦ καὶ ὀργῆς, θεῖναι » τὴν οἰκουμένην ὅλην ἔρημον καὶ τοὺς ἁμαρτωλοὺς » ἀπολέσαι ἐξ αὐτῆς· οἱ γὰρ ἀστέρες τοῦ οὐρανοῦ

(1) Epist. ad Hebr. IV, 12, 13.
(2) Isai. LXVI, 18.....
(3) Ibid. XXXIV, 4.
(4) Ibid. XIII, 9, 10, 11.

» καὶ ὁ Ὠρίων καὶ πᾶς ὁ κόσμος τοῦ οὐρανοῦ τὸ φῶς » αὐτῶν οὐ δώσουσι, καὶ σκοτισθήσεται τοῦ ἡλίου » ἀνατέλλοντος, καὶ ἡ σελήνη οὐ δώσει τὸ φῶς αὐτῆς· » καὶ ἀπολῶ ὕβριν ἀνόμων καὶ ὕβριν ὑπερηφάνων ταπει- » νώσω.» Καὶ πάλιν λέγει· « Οὐαὶ (1) οἱ ἐπισπώμενοι » τὰς ἁμαρτίας αὐτῶν ὡς σχοινίῳ μακρῷ καὶ ὡς ζυγοῦ » ἱμάντι δαμάλεως τὰς ἀνομίας· Οὐαὶ οἱ λέγοντες » τὸ πονηρὸν καλὸν καὶ τὸ καλὸν πονηρὸν, οἱ τιθέντες » τὸ σκότος φῶς καὶ τὸ φῶς σκότος, οἱ τιθέντες τὸ » πικρὸν γλυκὺ καὶ τὸ γλυκὺ πικρόν· οὐαὶ οἱ ἰσχύον- » τες ὑμῶν οἱ δυνάσται, οἱ κιρνῶντες τὸ σίκερα, οἱ » δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων καὶ τὸ δίκαιον » τοῦ δικαίου αἴροντες (2), οἱ ἐκκλίνοντες (3) κρίσιν πτω- » χῶν καὶ ἁρπάζοντες κρίμα πενήτων, ὥστε εἶναι αὐ- » τοῖς χήραν εἰς ἁρπαγὴν καὶ ὀρφανὸν εἰς προνομήν. » Καὶ τί ποιήσουσι τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς; καὶ » πρὸς τίνα καταφεύξονται τοῦ βοηθηθῆναι; καὶ ποῦ » καταλείψουσι τὴν δόξαν αὐτῶν τοῦ μὴ ἐμπεσεῖν » εἰς ἀπαγωγήν; Ὃν τρόπον καυθήσεται καλάμη ὑπὸ » ἄνθρακος πυρὸς καὶ συγκαυθήσεται ὑπὸ φλογὸς » ἀνημμένης (4), ἡ ῥίζα αὐτῶν ὡς χνοῦς ἔσται, καὶ » τὸ ἄνθος αὐτῶν ὡς κονιορτὸς ἀναβήσεται· οὐ γὰρ » ἠθέλησαν τὸν νόμον Κυρίου σαβαώθ, ἀλλὰ τὸ λό- » γιον τοῦ ἁγίου Ἰσραὴλ παρώξυναν.»

« Τούτῳ συνᾴδων καὶ ἕτερος προφήτης φησίν (5)·

(1) Isai. v, 18.....

(2) Sic codex A olim; nunc e correctione, τὸ ἄδικον τοῦ δ. αἴρ. Quod dedi est ipsa Isaiæ lectio v, 23. C, τὸ ἄδ. τ. δ. αἰρόμενοι.

(3) Isai. x, 2.

(4) Isaiæ textus exhibet v, 24, ἀνειμένης, quod non prætulerim. Poetæ græci dixerunt αἰθόμενον πῦρ: ipse Isaias IV, 5, πυρὸς καιομένου: x, 17, ἐν πυρὶ καιομένῳ.

(5) Sophon. I, 14, sqq.

« Ἐγγὺς ἡ ἡμέρα Κυρίου ἡ μεγάλη, ἐγγὺς καὶ ταχινὴ » σφόδρα· φωνὴ ἡ ἡμέρας Κυρίου πικρὰ καὶ σκληρὰ » τέτακται· δυνατὴ ἡμέρα ὀργῆς ἡ ἡμέρα ἐκείνη, » ἡμέρα θλίψεως καὶ ἀνάγκης, ἡμέρα ταλαιπω- » ρίας καὶ ἀφανισμοῦ, ἡμέρα σκότους καὶ γνόφου, » ἡμέρα νεφέλης καὶ ὁμίχλης, ἡμέρα σάλπιγγος καὶ » κραυγῆς· καὶ ἐκθλίψω τοὺς πονηροὺς, καὶ πορεύ- » σονται ὡς τυφλοὶ, ὅτι τῷ Κυρίῳ ἐξήμαρτον· καὶ » τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον οὐ μὴ δύνηται » ἐξελέσθαι αὐτοὺς ἐν ἡμέρᾳ ὀργῆς Κυρίου· ἐν πυρὶ » γὰρ ζήλου αὐτοῦ καταναλωθήσεται πᾶσα ἡ γῆ, » διότι συντέλειαν ποιήσει ἐπὶ πάντας τοὺς κατοι- » κοῦντας τὴν γῆν. »

« Πρὸς τούτοις καὶ Δαυὶδ ὁ βασιλεὺς καὶ προφήτης βοᾷ· « Ὁ Θεὸς (1) ἐμφανῶς ἥξει, ὁ Θεὸς » ἡμῶν, καὶ οὐ παρασιωπήσεται· πῦρ ἐνώπιον αὐτοῦ » καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά· » προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν, τοῦ » διακρῖναι τὸν λαὸν αὐτοῦ. » Καὶ αὖθις « Ἀνάστα » φησὶν (2), « ὁ Θεὸς, κρῖνον τὴν γῆν, ὅτι ἐνθύμιον (3) » ἀνθρώπου ἐξομολογήσεταί σοι· καὶ (4) σὺ ἀποδώ- » σεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. »

« Πολλὰ δὲ καὶ ἕτερα τοιαῦτα ὅ τε ψαλμῳδὸς καὶ πάντες οἱ προφῆται (5) τῷ θείῳ πνεύματι μυηθέντες περὶ τῆς μελλούσης κρίσεως καὶ ἀνταποδόσεως ἐκήρυξαν· ὧν τοὺς λόγους καὶ ὁ Σωτὴρ ἀσφαλέστατα

(1) Psalm. XLIX, 3, 4.
(2) Psalm. LXXXI, 8.
(3) Psalm. LXXV, 10.
(4) Psalm. LXI, 12.

(5) Loca e Vetere Testamento de resurrectione collegit Laubrussel. De abusu critices, t. I, pag. 30.

βεβαιώσας, ἐδίδαξεν ἡμᾶς πιστεύειν ἀνάστασιν νεκρῶν καὶ ἀνταπόδοσιν τῶν βεβιωμένων, ζωήν τε ἀτελεύτητον τοῦ μέλλοντος αἰῶνος. »

Ὁ δὲ Ἰωάσαφ, κατανύξεως πολλῆς ἐπὶ τούτοις πληρωθεὶς, σύνδακρυς ὅλος ἦν. Καὶ φησὶ πρὸς τὸν γέροντα· « Πάντα μοι σαφῶς ἐγνώρισας, καὶ ἀσφαλῶς διεξῆλθες τὴν φρικτὴν ταύτην καὶ θαυμαστὴν διήγησιν. Τούτων οὖν προκειμένων ἡμῖν, τί χρὴ ποιεῖν, τοῦ ἐκφυγεῖν τὰς ἡτοιμασμένας τοῖς ἁμαρτωλοῖς κολάσεις, καὶ ἀξιωθῆναι τῆς χαρᾶς τῶν δικαίων; »

Καὶ ὁ Βαρλαὰμ ἀπεκρίνατο· « Γέγραπται ὅτι διδάσκοντός ποτε τοῦ Πέτρου τὸν λαὸν, ὃς καὶ κορυφαῖος ἐκλήθη τῶν ἀποστόλων, κατενύγησαν (1) τῇ καρδίᾳ, καθάπερ καὶ σὺ σήμερον, καὶ, εἰπόντων αὐτῶν « Τί ποιήσομεν »; ὁ Πέτρος ἔφη πρὸς αὐτούς· « Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν εἰς » ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ » Ἁγίου Πνεύματος· ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία καὶ » τοῖς τέκνοις ὑμῶν καὶ πᾶσι τοῖς εἰς μακρὰν ὅσους » ἂν προκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν. » Ἰδοὺ οὖν καὶ ἐπὶ σὲ ἐξέχεε τὸ πλούσιον ἔλεος αὐτοῦ, καὶ προσεκαλέσατό σε, τὸν μακρὰν αὐτοῦ τῇ γνώμῃ ὑπάρχοντα καὶ ἀλλοτρίοις λατρεύοντα οὐ θεοῖς, ἀλλὰ δαίμοσιν ὀλεθρίοις καὶ ξοάνοις κωφοῖς (2) καὶ ἀναισθήτοις. Διὸ καὶ πρὸ πάντων πρόσελθε τῷ κεκληκότι, παρ' οὗ λήψῃ τῶν ὁρωμένων καὶ τῶν ἀοράτων ἀψευδῆ τὴν γνῶσιν. Εἰ δὲ μετὰ τὸ κληθῆναι οὐ θέλεις ἢ βραδύνεις, δικαίᾳ Θεοῦ κρίσει ἀπόκληρος ἔσῃ, τῷ

(1) Res narratur in Act. Apostol. II, 37...

(2) Habac. II, 18: ποιῆσαι εἴδωλα κωφά.

μὴ θελῆσαι μὴ θεληθείς· οὕτω γὰρ καὶ ὁ αὐτὸς ἀπόστολος Πέτρος πρός τινα τῶν μαθητῶν λελάληκεν. Ἐγὼ δὲ πιστεύω ὅτι καὶ ὑπήκουσας τῆς κλήσεως, καὶ ἔτι τελειότερον ὑπακούσας ἀρεῖς (1) τὸν σταυρὸν καὶ ἀκολουθήσεις (2) τῷ καλοῦντί σε Θεῷ καὶ δεσπότῃ, ὃς προσκαλεῖταί σε ἀπὸ θανάτου εἰς ζωὴν καὶ ἀπὸ σκότους εἰς φῶς. Τῷ ὄντι γὰρ ἡ τοῦ Θεοῦ ἄγνοια σκότος ἐστὶ καὶ θάνατος ψυχῆς, καὶ τὸ δουλεύειν εἰδώλοις ἐπ' ὀλέθρῳ τῆς φύσεως πάσης μοι δοκεῖ εἶναι ἀναισθησίας καὶ ἀφροσύνης ἐπέκεινα. »

« Οὓς (3) τίνι ὁμοιώσω, καὶ ποταπὴν σοι εἰκόνα τῆς τούτων ἀβελτηρίας παραστήσω; Ἀλλά σοι παραθήσω ὑπόδειγμα (4) παρά τινος ἀνδρὸς σοφωτάτου λεχθὲν πρός με. »

« Ἔλεγε γὰρ ὅτι ὅμοιοί εἰσιν οἱ τῶν εἰδώλων προσκυνηταὶ ἀνθρώπῳ ἰξευτῇ, ὃς κατέσχεν ἓν τῶν σμικροτάτων στρουθίων· ἀηδόνα τοῦτο καλοῦσι. Λαβὼν δὲ μάχαιραν τοῦ σφάξαι αὐτὸ καὶ φαγεῖν, ἐδόθη τῇ ἀηδόνι φωνὴ ἔναρθρος. Καὶ φησὶ πρὸς τὸν ἰξευτήν· « Τί

(1) A, ἄρης. Eadem permutatio in versu nobili Ajacis : Οὐ σῖγ' ἀνέξει; μηδὲ δειλίαν ἀρεῖς; sed ubi de eligendo futuro nulla est dubitatio, quem et præbuit mihi cod. 2812 A, in quo ἀρής : idem enim ἀρεῖς et ἀρὴς, hoc male, illud scriptum bene. At in sententia plus est difficultatis. Scribo μὴ δὲ δ., et habeo μὴ pro particula interrogationis : « an vero » ignaviam assumes » ? Et sic intelligo Trachiniarum v. 1185, cujus ipsissima est formula. Æschylus Theb. 335 : Οὐ σῖγ'; μηδὲν τῶνδ' ἐρεῖς κατὰ πόλιν. Et hic scripserim, μὴ δ' ἐν... πόλιν; « an » vero horum quid dices? » Quæ interrogationes non sunt sine prohibitionis significatione.

(2) Cf. Marc. VIII, 34.

(3) Sic codex. Non plene liquet ad quos οὓς referatur Non aliter Billyus : « à qui *les* compa» rerai-je » ? præeunte latino interprete : « quos cui assimila» bo » ?

(4) In codice A lemma metricum : Παραβολῶν ἔναρξιν ἐνταῦθα βλέπε.

» σοι ὄφελος, ἄνθρωπε, τῆς ἐμῆς σφαγῆς; οὐ δυνήσῃ
» γὰρ δι' ἐμοῦ τὴν σὴν ἐμπλῆσαι γαστέρα. Ἀλλ' εἴ με
» τῶν δεσμῶν ἐλευθερώσεις, δώσω σοι ἐντολὰς τρεῖς,
» ἃς φυλάττων μεγάλα παρ' ὅλην σου τὴν ζωὴν
» ὠφεληθήσῃ. » Ὁ δὲ, θαμβηθεὶς τῇ ταύτης λαλιᾷ, ἐπηγγείλατο, εἰ καινόν τι παρ' αὐτῆς ἀκούσειε, θᾶττον ἐλευθερῶσαι τῆς κατοχῆς. Ἐπιστραφεῖσα δὲ ἡ ἀηδὼν λέγει τῷ ἀνθρώπῳ· « Μηδέποτέ τινος τῶν ἀνεφ-
» ίκτων ἐπιχειρήσῃς ἐφικέσθαι, καὶ μὴ μεταμελοῦ (1)
» ἐπὶ πράγματι παρελθόντι, καὶ ἄπιστον ῥῆμα πώ-
» ποτε μὴ πιστεύσῃς. Ταύτας δὴ τὰς τρεῖς ἐντολὰς
» φύλαττε, καὶ εὖ σοι γένηται. » Ἀγάμενος δὲ ὁ ἀνὴρ τὸ εὐσύνοπτον καὶ συνετὸν τῶν ῥημάτων, λύσας αὐτὴν τῶν δεσμῶν κατὰ τοῦ ἀέρος ἐξαπέστειλεν (2). Ἡ οὖν ἀηδὼν θέλουσα μαθεῖν εἰ ἐπέγνω ὁ ἀνὴρ τῶν λεχθέντων αὐτῷ ῥημάτων τὴν δύναμιν καὶ εἰ ἐκαρπώσατό τινα ὠφέλειαν, λέγει πρὸς αὐτὸν ἱπταμένη ἐν τῷ ἀέρι· « Φεῦ σου τῆς ἀβουλίας, ἄνθρωπε! ὁποῖον θη-
» σαυρὸν σήμερον ἀπώλεσας! ὑπάρχει γὰρ ἐν τοῖς
» ἐγκάτοις μου μαργαρίτης, ὑπερέχων τῷ μεγέθει
» στρουθοκαμήλου ᾠόν. » Ὡς οὖν ἤκουσε ταῦτα ὁ ἰξευτὴς, συνεχύθη τῇ λύπῃ μεταμελόμενος ὅτι ἐξέφυγεν ἡ ἀηδὼν ἐκείνη τὰς χεῖρας αὐτοῦ· καὶ, πειρώμενος αὖθις κατασχεῖν αὐτὴν, εἶπε· « Δεῦρο ἐν τῷ
» οἴκῳ μου, καὶ, φιλοφρονησάμενός σε καλῶς, ἐντί-

(1) AC, μεταμελῶ. Pag. 81, 4, utitur infinitivo μεταμελεῖσθαι.

(2) A, κατὰ τὸν ἀέρα ἀπέστειλεν. Sæpe sic pereunt compositorum præpositiones. Libanius t. 1, pag. 242 : δοκεῖ δέ μοι καὶ Κῦρος καὶ Δαρεῖος καὶ Ξέρξης, στρατεύοντες ἐφ' ἣν οὔπω εἶχον, μεμφόμενοι (cod. 1000, καταμεμφ.) τῇ τύχῃ τοῦτο ποιεῖν. Idem Epist. 1073 : πᾶν τὸ πέλαγος ἐπλεύσθη· codex idem plenius, διεπλεύσθη.

» μως ἐξαποστελῶ. » Ἡ δὲ ἀηδὼν ἔφη αὐτῷ· « Νῦν » ἔγνων ἰσχυρῶς ἀνοηταίνειν σε· δεξάμενος γὰρ τὰ » λεχθέντα σοι προθύμως καὶ ἡδέως ἀκούσας, οὐδεμίαν » ἐξ αὐτῶν ὠφέλειαν ἐπεκλήσω (1). Εἶπόν σοι μὴ με- » ταμελεῖσθαι ἐπὶ πράγματι παρελθόντι· καὶ ἰδοὺ συν- » εχύθης τῇ λύπῃ ὅτι σου τὰς χεῖρας ἐξέφυγον, » μεταμελόμενος ἐπὶ πράγματι παρελθόντι. Ἐνετει- » λάμην σοι μὴ ἐπιχειρεῖν τῶν ἀνεφίκτων ἐφικέσθαι, » καὶ πειρᾷ κατασχεῖν με, μὴ δυνάμενος τῆς ἐμῆς » ἐφικέσθαι πορείας. Πρὸς τούτοις δὲ καὶ ἄπιστον ῥῆμα » μὴ πιστεύειν σοι διετειλάμην· ἀλλ' ἰδοὺ ἐπίστευσας » ὑπάρχειν ἐν τοῖς ἐγκάτοις μου μαργαρίτην ὑπερ- » βαίνοντα τὸ μέτρον τῆς ἡλικίας μου, καὶ οὐκ » ἐφρόνησας συνιέναι ὅτι ὅλη ἐγὼ οὐκ ἐφικνοῦμαι τῷ » μεγέθει τῶν τοῦ στρουθομήλου ὠῶν, καὶ πῶς μαρ- » γαρίτην τοιοῦτον ἐχώρησα ἐν ἐμοί. »

« Οὕτως οὖν ἀνοηταίνουσι καὶ οἱ πεποιθότες ἐπὶ τοῖς εἰδώλοις· εἰργάσαντο γὰρ ταῦτα ταῖς χερσὶν αὐτῶν, καὶ προσκυνοῦσιν ἃ ἐποίησαν οἱ δάκτυλοι αὐτῶν (2), λέγοντες· « Οὗτοι οἱ πλάστουργοὶ ἡμῶν. » Πῶς οὖν πλαστουργοὺς τοὺς ὑπ' αὐτῶν δημιουργηθέντας καὶ διαπλασθέντας νομίζουσιν; Ἀλλὰ καὶ τηροῦντες αὐτὰ ἐν ἀσφαλείᾳ, τοῦ μὴ ὑπὸ κλεπτῶν συληθῆναι, φύλακας ἀποκαλοῦνται τῆς σφῶν σωτηρίας· καί τοι γε πόσης ταῦτα ἀφροσύνης, καὶ τὸ μὴ γινώσκειν ὅτι, οὐκ ἐξαρκοῦντες ἑαυτοὺς φυλάσσειν καὶ βοηθεῖν, πῶς

(1) A, ἐκπλήσω, simili præpositionis defectu. Suidas de Origene t. II, p. 767 : ταῦτα πάντα παρωσάμενος ἐσφάλη τοῦ πρέποντος. Codex 2552, ταῦτα πάντα παρωσάμενος παρεσφάλη τοῦ πρέποντος.

(2) Isai. XVII, 8 : καὶ οὐ μὴ πεποιθότες ὦσιν ἐπὶ τοῖς βωμοῖς, οὐδὲ ἐπὶ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, ἃ ἐποίησαν οἱ δάκτυλοι αὐτῶν.

ἄλλοις γένοιντο φύλακες καὶ σωτῆρες; « Τί γάρ » φησίν (1) « ἐκζητοῦσι περὶ τῶν ζώντων τοὺς νεκρούς »; Κατακενοῦσι χρήματα, στήλας τοῖς δαίμοσι καὶ ἀγάλματα ἐγείρειν, καὶ φληναφοῦσιν ἀγαθῶν παρόχους αὐτοὺς ὑπάρχειν, αἰτοῦντες παρ' αὐτῶν λαβεῖν ἅπερ οὔτε πώποτε ἐκτήσαντο, οὔτε μὴν ἔτι κτήσονται. Διὸ γέγραπται· « Ὅμοιοι (2) αὐτοῖς γένοιντο » οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐ» τοῖς· οἵτινες », φησί (3) « μισθωσάμενοι χρυσοχόον, » ἐποίησαν χειροποίητα, καὶ κύψαντες προσεκύνησαν » αὐτοῖς. Αἴρουσιν αὐτὰ ἐπὶ τῶν ὤμων καὶ πορεύονται· » ἐὰν δὲ θῶσιν αὐτὰ ἐπὶ τοῦ τόπου, μενεῖ ἐν αὐτῷ, » οὐ μὴ κινηθῇ. Καὶ ὃς ἂν βοήσῃ πρὸς αὐτὰ, οὐ μὴ » εἰσακούσῃ αὐτοῦ, ἀπὸ κακῶν οὐ μὴ σώσῃ αὐτόν. » Διὸ αἰσχύνθητε (4) αἰσχύνην αἰώνιον, οἱ πεποιθότες » ἐπὶ τοῖς γλυπτοῖς, οἱ λέγοντες τοῖς χωνευτοῖς· » Ὑμεῖς ἐστὲ θεοὶ ἡμῶν. Ἔθυσαν γάρ » φησί (5) « δαι» μονίοις καὶ οὐ Θεῷ, θεοῖς οἷς οὐκ ᾔδεισαν οἱ πατέρες » αὐτῶν· καινοὶ καὶ πρόσφατοι ἥκασιν, ὅτι γενεὰ » ἐξεστραμμένη ἐστὶ καὶ οὐκ ἔστι πίστις ἐν αὐτοῖς. »

« Ἐκ ταύτης οὖν τῆς πονηρᾶς γενεᾶς καὶ ἀπίστου προσκαλεῖταί σε Κύριος, λέγων σοι· « Ἔξελθε ἐκ μέσου » αὐτῶν καὶ ἀφορίσθητι, καὶ ἀκαθάρτου μὴ ἅψῃ (6), » ἀλλὰ σώθητι ἐκ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης (7)· » ἀνάστηθι καὶ πορεύου, ὅτι οὐκ ἔστι σοι αὕτη ἀνά» παυσις· ἡ γὰρ πολυαρχία τῶν παρ' ὑμῖν θεῶν καὶ

(1) Isai. VIII, 19.
(2) Psalm. CXIII, 8; CXXXIV, 18.
(3) Isai. XLVI, 6, 7.
(4) Isai. XLII, 17.
(5) Deuter. XXXII, 17...20. Verba *οἱ πατ. αὐτ.* addidit in C manus recentior.
(6) II Epist. ad Cor. VI, 17.
(7) Act. Apost. II, 40.

» ἄτακτον καὶ στασιῶδες καὶ παντελῶς ἀνύπαρκτον. » Ἡμῖν δὲ οὐχ οὕτως ἐστὶν, οὐδὲ πολλοὶ θεοὶ καὶ κύριοι· ἀλλ' εἷς θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ, « ὅς (1) ἐστιν εἰκὼν τοῦ θεοῦ » τοῦ ἀοράτου, πρωτότοκος ἁπάσης τῆς κτίσεως » καὶ πάντων τῶν αἰώνων, « ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ » πάντα, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, » τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε Θρόνοι, εἴτε Κυ- » ριότητες, εἴτε Ἀρχαὶ, εἴτε Ἐξουσίαι· τὰ πάντα (2) » δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ » ἓν ὃ γέγονε »· καὶ ἓν Πνεῦμα Ἅγιον, ἐν ᾧ τὰ πάντα, τὸ κύριον καὶ ζωοποιὸν (3), θεὸν καὶ θεοποιοῦν, πνεῦμα ἀγαθὸν, πνεῦμα εὐθὲς, πνεῦμα παράκλητον, πνεῦμα υἱοθεσίας (4). Τούτων θεὸς μὲν ἕκαστον καθ' ἑαυτὸ θεωρούμενον, ὡς ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ὡς ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον (5)· εἷς δὲ θεὸς ἐν τρισὶ, μία φύσις, μία βασιλεία, μία δύναμις, μία δόξα, μία οὐσία, διαιρετὴ ταῖς ὑποστάσεσι καὶ μόνον. Εἷς γὰρ ὁ Πατὴρ, ᾧ καὶ ἴδιον ἡ ἀγεννησία· εἷς δὲ ὁ μονογενὴς Υἱὸς, καὶ ἴδιον αὐτῷ ἡ γέννησις· ἓν δὲ τὸ Ἅγιον Πνεῦμα, καὶ ἴδιον αὐτῷ ἡ ἐκπόρευσις. Οὕτω (6) γὰρ ἡμεῖς, ἐκ φωτὸς τοῦ

(1) Epist. ad Coloss. I, 15, 16.

(2) Joann. I, 3.

(3) Joann. VI, 63: τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν.

(4) Epist. ad Rom. VIII, 15: ἐλάβετε πνεῦμα υἱοθεσίας.—Hæc et alia Spiritus Sancti epitheta cumulavit Gregorius Naz. Orat. XXXVII, p. 610.

(5) Cf. Gregor. Naz. Or. XL, pag. 668.

(6) C, ἡ γέννησις· οὕτω, mediis omissis. Adhæret noster Gregorii Theologi verbis Orat. XXIII, p. 422. Pro ἐκπόρευσις est apud Gregorium ἔκπεμψις. Conf. Orat. ejusd. XXVI, p. 445; Theodulfi Excerpta de Sp. S. p. 121.

Πατρὸς φῶς περιλαμφθέντες τὸν Υἱὸν ἐν φωτὶ τῷ Ἁγίῳ Πνεύματι, μίαν δοξάζομεν θεότητα ἐν τρισὶν ὑποστάσεσι· καὶ αὐτός ἐστιν ἀληθινὸς καὶ μόνος Θεὸς (1), ὁ ἐν Τριάδι γνωσκόμενος, « ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ » καὶ εἰς αὐτὸν τὰ πάντα (2). »

« Τούτου τῇ χάριτι τὰ κατὰ σὲ γνοὺς κἀγὼ, ἀπεστάλην διδάξαι σε ἃ μεμάθηκα καὶ τετήρηκα ἐξ ἀρχῆς εἰς τήνδε τὴν πολιάν. Εἰ οὖν πιστεύσεις καὶ βαπτισθῇς, σωθήσῃ· εἰ δὲ ἀπιστήσεις, κατακριθήσῃ (3). Ταῦτα γὰρ ἃ σήμερον ὁρᾷς καὶ οἷς σεμνύνῃ, ἥ τε δόξα καὶ τρυφὴ καὶ ὁ πλοῦτος καὶ πᾶσα ἡ τοῦ βίου ἀπάτη, ὅσον οὔπω παρέρχεται, ἐκβαλοῦσι δέ σε καὶ μὴ βουλόμενον ἐντεῦθεν. Καὶ τὸ μὲν σῶμα κατακλεισθήσεται σμικροτάτῳ μνήματι μονώτατον καταλειφθὲν (4), πάσης τε ἀποστερηθὲν φίλων καὶ συγγενῶν ἑταιρείας· οἰχήσεται δὲ τὰ τερπνὰ τοῦ κόσμου, καὶ πολλὴ ἀηδία καὶ δυσώδης φθορὰ, ἀντὶ τῆς νυνὶ καλλονῆς καὶ εὐοσμίας, περιχυθήσεται· τὴν δὲ ψυχήν σου βαλοῦσιν ἐν τοῖς καταχθονίοις τῆς γῆς, ἐν τῇ καταδίκῃ τοῦ ᾅδου, ἕως τῆς τελευταίας ἀναστάσεως, ἡνίκα πάλιν ἀπολαβοῦσα ἡ ψυχὴ τὸ

(1) C, φῶς εἰδότες (A, περιλαμφθέντες) τὸν υἱὸν ἐν φ. τ. ἁ. πν. ἀγιαζόμεθα ἐν τρισὶν ὑποστάσεσι μίαν δοξάζοντες θεότητα, καὶ αὐτός ἐστιν ἀληθὴς καὶ ὁ μόνος θ. Lectio περιλαμφθ. firmatur a Gregorio Naz. Orat. XL, p. 668 : οὐ φθάνω τὸ ἓν νοῆσαι, καὶ τοῖς τρισὶ περιλάμπομαι.

(2) Epist. ad Rom. XI, 36.

(3) Marc. XVI, 16 : ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται.

(4) C, μνημείῳ. — III Reg. 19, 10 : ὑπολέλειμμαι ἐγὼ μονώτατος. Acta Eustathii, p. 20 : νῦν δὲ μονώτατος καταλελειμμένος. Nicetas Paphl. Encomio Eustathii p. 51 : ἐν ἐρημίᾳ τινὶ μονώτατον ἀπειλημμένον· quem vid. et p. 56, 7; p. 63. Adde Acta Eliæ Junioris p. 195; Planudem in Anecdotis hisce t. II, p. 331. Exempla hujus superlativi tractarunt alii : vid. Osann. ad Philem. § 112.

ἑαυτῆς σῶμα ἐκριφήσεται ἐκ προσώπου Κυρίου, καὶ παραδοθήσεται πυρὶ γεέννης ἀτελεύτητα φλογιζούσης.»

« Ταῦτά σοι συμβήσεται καὶ πολλῷ τούτων χείρονα, εἰ ἐμμείνῃς τῇ ἀπιστίᾳ.»

« Εἰ δὲ προθύμως ὑπακούσεις τῷ καλοῦντί (1) σε εἰς σωτηρίαν, καὶ, προσδραμὼν αὐτῷ πόθῳ καὶ χαρᾷ, τῷ φωτὶ αὐτοῦ σημειωθήσῃ (2), καὶ ἀμεταστρεπτὶ αὐτῷ ἀκολουθήσεις, πάντα μεν ἀπαρνησάμενος (3), αὐτῷ δὲ μόνῳ κεκολλημένος (4), ὁποίας τεύξῃ ἀσφαλείας καὶ εὐφροσύνης ἄκουσον· « Ἐὰν κάθῃ (5), » ἄφοβος ἔσῃ· ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις, » καὶ οὐ φοβηθήσῃ πτόησιν ἐπελθοῦσαν, οὐδὲ ὁρμὰς » τῶν ἀσεβῶν δαιμόνων ἐπερχομένας »· ἀλλὰ πορεύσῃ πεποιθὼς ὡς λέων (6), καὶ ζήσῃ « μετ' εὐφροσύνης » καὶ ἀγαλλιάματος αἰωνίου· ἐπὶ γὰρ τῆς κεφαλῆς » σου ἀγαλλίασις καὶ αἴνεσις, καὶ εὐφροσύνη καταλήψεταί σε· ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στε-

(1) A, τοῦ καλοῦντός. C, ἀκούσεις τῷ καλ. Philostratus V. A. 1, 31 : καὶ ἐκέλευσε θύειν μετ' αὐτοῦ. Optimus codex 1696, καὶ διεκέλευσε. Gregorius Nyss. t. I, p. 396 : ἡ μὲν γὰρ αἰδὼς ἐρυθήματι μόνῳ ἐπισημαίνεται, συμπαθόντος πως τῇ ψυχῇ τοῦ σώματος κατά τινα φυσικὴν διάθεσιν καὶ τοῦ περικαρδίου θερμοῦ πρὸς τὴν ἐπιφάνειαν τῆς ὄψεως ἀναζέσαντος. Codex 1630, συνδιάθεσιν : nec id male : « naturali quadam ac com» muni affectione. » Habet et περὶ καρδίαν, quod etiam placet. Rursus in loco Nysseni quem apposui t. III, p. 38, n. 3, pro ἐναποκειμένη τοῖς ἀνθρώποις αἰδὼς, idem codex ἀποκειμένη exhibet, male absente altera præpositione.

(2) Inter varia nomina baptismus φώτισμα dictus est : vide Gregor. Naz. Orat. XL, p. 638; Fabric. ad Pseudo-Abd. VIII, 5, p. 678; Toll. ad Insign. p. 150.

(3) Innuit abrenunciationem, quæ fit in baptismo, Satanæ operibusque ejus ac pompis; de quo ritu vide Zimmerm. Anal. pag. 528; Bussac. Noctt. Theologg. pag. 110.

(4) I ad Cor. VI, 17.

(5) Prov. III, 24, 25.

(6) Prov. XXVIII, 1 : δίκαιος δὲ ὥσπερ λέων πέποιθε.

» νασμός (1)· τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου,
» καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ, καὶ προπορεύ-
» σεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα
» τοῦ Θεοῦ περιστελεῖ σε· τότε βοήσῃ, καὶ ὁ Θεὸς
» εἰσακούσεταί σου· ἔτι λαλοῦντός σου ἐρεῖ· Ἰδοὺ
» πάρειμι (2)· ἐγὼ γάρ εἰμι ὁ ἐξαλείφων τὰς ἀνο-
» μίας σου καὶ οὐ μνησθῶ· σὺ δὲ μνήσθητι καὶ κριθῶ-
» μεν· λέγε σὺ τὰς ἀνομίας σου, ἵνα δικαιωθῇς (3).
» Καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι σου ὡς φοινικοῦν, ὡς χιόνα
» λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκα-
» νῶ (4). » Τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα. »

Λέγει πρὸς αὐτὸν ὁ Ἰωάσαφ· « Πάντα σου τὰ ῥήματα καλὰ καὶ θαυμαστά εἰσι, κἀγὼ ἐπίστευσα καὶ πιστεύω, πᾶσαν μὲν εἰδωλολατρείαν ἀπὸ καρδίας μισήσας· καὶ, πρὸ τοῦ εἰσελθεῖν γάρ σε πρός με, πλαγίως πως καὶ διστάζων (5) πρὸς ταύτην διέκειτό μου ἡ ψυχή· νυνὶ δὲ τέλειον μῖσος ἐμίσησα (6), μαθὼν παρὰ σοῦ τὴν ματαιότητα τούτων καὶ τὴν ἀφροσύνην τῶν αὐτοῖς λατρευόντων. Ποθῶ δὲ τοῦ ἀληθινοῦ Θεοῦ δοῦλος γενέσθαι, εἴπερ οὐκ ἀπώσεταί με τὸν ἀνάξιον διὰ τὰς ἐμὰς ἀνομίας, ἀλλὰ συγχωρήσει μοι πάντα, φιλάνθρωπος ὢν καὶ εὔσπλαγχνος, καθὰ διδάσκεις, καὶ ἀξιώσει με δοῦλον αὐτοῦ γενέσθαι. Ἤδη οὖν ἑτοίμως ἔχω καὶ τὸ βάπτισμα δέξασθαι, καὶ πάντα ὅσα εἴπῃς μοι φυλάξαι. Τί δὲ χρή με ποιεῖν μετὰ τὸ βάπτισμα; καὶ εἰ ἀρκεῖ τοῦτο μόνον

(1) Isai. LI, 11: ἥξουσιν εἰς Σιὼν μετ' εὐφροσύνης....

(2) Isai. LVIII, 8, 9.

(3) Isai. XLIII, 25, 26.

(4) Isai. I, 18.

(5) Alii codices poterunt mederi. Forsan διστάζοντως.

(6) Cf. Psalm. CXXXVIII, 22.

πρὸς σωτηρίαν, τὸ πιστεῦσαι καὶ βαπτισθῆναι, ἢ καὶ ἄλλα τινὰ δεῖ προστιθέναι; »

Καὶ φησὶ πρὸς αὐτὸν ὁ Βαρλαάμ· « Ἄκουσον τί δεῖ ποιεῖν μετὰ τὸ βάπτισμα· πάσης μὲν ἁμαρτίας καὶ παντὸς πάθους ἀπέχεσθαι, ἐποικοδομεῖν δὲ ἐπὶ τῷ θεμελίῳ τῆς ὀρθοδόξου πίστεως τὴν τῶν ἀρετῶν ἐργασίαν, ἐπειδὴ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν (1), ὥσπερ καὶ ἔργα πίστεως δίχα. Φησὶ γὰρ ὁ Ἀπόστολος· « Ἐν πνεύματι (2) περιπατεῖτε, καὶ ἐπι-
» θυμίαν σαρκὸς οὐ μὴ τελέσητε· φανερὰ δέ ἐστι τὰ
» ἔργα τῆς σαρκὸς ἅτινά ἐστι, μοιχεῖαι, πορνεῖαι,
» ἀκαθαρσίαι, ἀσέλγειαι, εἰδωλολατρίαι, φαρμα-
» κεῖαι, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ, ἐρίθειαι, διχο-
» στασίαι, αἱρέσεις, φθόνοι, φόνοι, φιλαργυρίαι, λοι-
» δορίαι, φιληδονίαι, μέθαι, κῶμοι, ὑπερηφανίαι, καὶ
» τὰ ὅμοια τούτοις· ἃ προλέγω ὑμῖν, καθὼς καὶ
» προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασι-
» λείαν Θεοῦ οὐ κληρονομήσουσιν· ὁ δὲ καρπὸς τοῦ
» πνεύματός ἐστιν ἀγάπη, χαρὰ, εἰρήνη, μακρο-
» θυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης,
» ἐγκράτεια », ἁγιασμὸς ψυχῆς καὶ σώματος, ταπείνωσις καρδίας καὶ συντριβὴ, ἐλεημοσύνη, ἀμνησικακία, φιλανθρωπία, ἀγρυπνία, μετάνοια ἀκριβὴς πάντων τῶν προγεγονότων σφαλμάτων, δάκρυον κατανύξεως, πένθος ὑπέρ τε τῶν ἰδίων ἁμαρτιῶν καὶ τῶν τοῦ πλησίον, καὶ τὰ τούτοις ὅμοια, ἅτινα, ὥσπερ τινὲς βαθμίδες καὶ κλίμακες ἀλλήλων ἐχό-

(1) Jacob. Epist. II, 26: ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτω καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι. Cf. Gregor. Naz. Orat. XL, p. 672, 1; et mox p. 88, n. 1.

(2) Epist. ad. Gal. v, 16—22.

μεναι καὶ ὑπ' ἀλλήλων συγκροτούμεναι, εἰς οὐρανὸν τὴν ψυχὴν ἀναφέρουσιν. »

« Ἰδοὺ τούτων ἐντετάλμεθα μετὰ τὸ βάπτισμα ἀντέχεσθαι, τῶν δ' ἐναντίων ἀπέχεσθαι. Εἰ δὲ μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, τῶν προτέρων αὖθις ἐπιλαβόμεθα νεκρῶν ἔργων (1), καὶ ὡς κύων ἐπὶ τὸν ἴδιον ἔμετον ἐπιστρέψομεν (2), συμβήσεται ἡμῖν τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον· « Ὅταν » γάρ, φησί (3), « τὸ ἀκάθαρτον Πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ » ἀνθρώπου » (τῇ χάριτι δηλαδὴ τοῦ βαπτίσματος), « διέρχεται δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν », καὶ οὐχ εὑρίσκει· μὴ φέρον δὲ ἐπὶ πολὺ ἄοικον καὶ ἀνέστιον περιπλανᾶσθαι, « λέγει· Ἐπιστρέψω εἰς » τὸν οἶκόν μου, ὅθεν ἐξῆλθον. Καί, ἐλθὸν, εὑρίσκει » σεσαρωμένον καὶ κεκοσμημένον », κενὸν δὲ καὶ σχολάζοντα, μὴ ὑποδεξάμενον τὴν ἐργασίαν τῆς χάριτος, μηδὲ πληρώσαντα ἑαυτὸν τῷ πλούτῳ τῶν ἀρετῶν. « Τότε (4) πορεύεται καὶ λαμβάνει μεθ' ἑαυτοῦ » ἕτερα ἑπτὰ Πνεύματα πονηρότερα ἑαυτοῦ· καὶ » εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα » τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων. » Τὸ γὰρ βάπτισμα τῶν μὲν προημαρτημένων πάντων τὰ χειρόγραφα (5), τῷ ὕδατι ἐνθάπτον, παντελεῖ

(1) Epist. ad Hebr. IV, 1 : θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων· et IX, 14.

(2) Respectu ad notum locum Petri II Epist. II, 22 : συμβέβηκε δὲ αὐτοῖς τὸ τῆς ἀληθοῦς Παροιμίας [Prov. XXVI, 11]· « κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα » · καί, « ὗς λουσαμένη εἰς κύλισμα βορβόρου. » Pseudo-Abdias III, 6 : « præstes » ut, si hæc mulier ad cœnum » libidinis, quo prius erat fœda» ta, fuerit revoluta, non sanetur » omnino. »

(3) Luc. XI, 24, 25.

(4) Ibid. 26.

(5) Ep. ad Coloss. II, 14 : ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον.

ἀφανισμῷ παραδίδωσι (1), καὶ εἰς τὸ ἑξῆς τεῖχος ἡμῖν ἐστιν ἀσφαλὲς (2) καὶ προπύργιον καὶ ὅπλον κραταιὸν εἰς τὴν τοῦ ἐχθροῦ παράταξιν· οὐ μὴν δὲ ἀναιρεῖ τὸ αὐτεξούσιον, οὔτε τῶν μετὰ τὸ βάπτισμα ἁμαρτανομένων ἔχει συγχώρησιν, οὔτε δευτέρας κολυμβήθρας κατάδυσιν. Ἓν γὰρ ὁμολογοῦμεν βάπτισμα (3)· καὶ χρὴ πάσῃ φυλακῇ τηρεῖν ἑαυτοὺς, μὴ δευτέροις ἐμπεσεῖν μολυσμοῖς, ἀλλὰ τῶν ἐντολῶν ἐπιλαβέσθαι τοῦ Κυρίου. Εἰπὼν γὰρ πρὸς τοὺς Ἀποστόλους, « Πορευθέντες (4) μαθητεύσατε πάντα » τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ » Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος », οὐ μέχρι τούτου ἔστη· ἀλλὰ προσέθετο, « διδάσκον» τες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. »

« Ἐνετείλατο δὲ πτωχοὺς μὲν εἶναι τῷ πνεύματι, οὓς μακαρίζει καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἀξίους ἀποκαλεῖ (5). Εἶτα πενθεῖν ἐν τῷ παρόντι ὑποτίθεται βίῳ, ἵνα τῆς μελλούσης παρακλήσεως ἀξιωθῶμεν (6), πραεῖς τε εἶναι (7) καὶ ἀεὶ πεινῶντας καὶ διψῶντας τὴν δικαιοσύνην (8), ἐλεήμονάς τε καὶ εὐμεταδότους, οἰκτίρμονας καὶ συμπαθεῖς (9), καθαροὺς

(1) Gregorius Naz. Orat. XL, p. 638 : βάπτισμα δὲ (καλοῦμεν), ὡς συνθαπτομένης τῷ ὕδατι τῆς ἁμαρτίας.

(2) Gregorius ibid. baptismum esse ait ἔρεισμα πίστεως.

(3) Cyrill. Catech. Præf. p. 4 : εἷς γὰρ Κύριος καὶ μία πίστις, καὶ ἓν βάπτισμα· ex Epist. ad Ephes. IV, 5.

(4) Matth. XXVIII, 19, 20.

(5) Matth. V, 3 : μακάριοι οἱ πτωχοὶ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. — Lemma metricum in A : τοὺς μακαρισμοὺς ἠκριβωμένους ὅρα.

(6) Matth. V, 4 : μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

(7) Matth. V, 5 : μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

(8) Matth. V, 6 : μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

(9) Matth. V, 7 : μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

τῇ καρδίᾳ, ἀπεχομένους ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος (1), εἰρηνοποιοὺς πρός τε τοὺς πλησίον καὶ πρὸς τὴν ἑαυτῶν ψυχὴν, ὑποτάξαντας δηλονότι τὸ χεῖρον τῷ κρείττονι καὶ τὸν μεταξὺ αὐτῶν διηνεκῆ πόλεμον ὀρθῇ κρίσει εἰρηνοποιήσαντας (2), ὑπομένειν τε πάντα διωγμὸν καὶ πᾶσαν θλίψιν καὶ ὀνειδισμὸν, ἕνεκεν δικαιοσύνης ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἡμῖν ἐπαγόμενον, ἵνα τῆς αἰωνίου χαρᾶς ἐν τῇ λαμπρᾷ τῶν δώρων διανομῇ ἀξιωθῶμεν (3). »

« Ἀλλὰ καὶ ἐν τῷ κόσμῳ οὕτως παρακελεύεται λάμπειν τὸ φῶς ἡμῶν ἔμπροσθεν τῶν ἀνθρώπων « ὅπως (4) ἴδωσι » φησί, « τὰ καλὰ ἔργα ὑμῶν, καὶ » δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. » Ὁ μὲν γὰρ τοῦ Μωσέως νόμος, ὁ πάλαι δοθεὶς τοῖς Ἰσραηλίταις, « Οὐ φονεύσεις », λέγει, « οὐ μοιχεύσεις, » οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις » · ὁ δὲ Χριστὸς φησὶν, « ὅτι πᾶς (5) ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐ» τοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ' ἂν εἴπῃ, » μωρὲ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός » · καὶ ὅτι, « ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσια» στήριον, κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι » κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἐπὶ τὸ θυσια» στήριον, καὶ ἀπελθὼν πρῶτον διαλλάγηθι τῷ ἀδελ» φῷ σου » · καὶ « ὅτι πᾶς (6) ὁ ἐμβλέπων γυναῖκα

(1) Matth. v, 8 : *μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.*

(2) Matth. v, 9 : *μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.*

(3) Matth. v, 10, 11 : *μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι ... ἕνεκεν ἐμοῦ.*

(4) Matth. v, 16 : *οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως....*

(5) Matth. v, 22, 23.

(6) Matth. v, 28.

» πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν » τῇ καρδίᾳ αὐτοῦ »· τὸν μολυσμὸν τῆς ψυχῆς καὶ τὴν τοῦ πάθους συγκατάθεσιν μοιχείαν καλέσας. Ἀλλὰ καὶ τοῦ νόμου τὴν ἐπιορκίαν κωλύοντος, ὁ Χριστὸς οὐδὲ ὅλως ὀμνύειν, πλὴν τοῦ ναὶ καὶ τοῦ οὔ, ἐνετείλατο (1). « Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ » καὶ ὀδόντα ἀντὶ ὀδόντος » ἐκεῖ (2)· ἐνταῦθα δέ· « Ὅστις σε ῥαπίσει εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον » αὐτῷ » φησί (3), « καὶ τὴν ἄλλην· καὶ τῷ θέλοντί » σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες » αὐτῷ καὶ τὸ ἱμάτιον· καὶ ὅστις σε ἀγγαρεύσει μίλιον » ἕν, ὕπαγε μετ' αὐτοῦ δύο· τῷ αἰτοῦντί σε δίδου, » καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστρα- » φῇς· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς » καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν » ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων » ὑμᾶς καὶ διωκόντων, ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς » ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ » ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς· καὶ βρέχει » ἐπὶ δικαίους καὶ ἀδίκους. Μὴ (4) κρίνετε, ἵνα μὴ » κριθῆτε· ἄφετε (5), καὶ ἀφεθήσεται ὑμῖν. Μὴ θησαυ- » ρίζετε (6) ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς » καὶ βρῶσις ἀφανίζει καὶ ὅπου κλέπται διορύσσουσι » καὶ κλέπτουσι· θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν » οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει καὶ » ὅπου κλέπται οὐ διορύσσουσιν, οὐδὲ κλέπτουσιν·

(1) Matth. v, 34, 37 : ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως..... ἔστω δὲ ὁ λόγος ὑμῶν, ναί, ναί· οὔ, οὔ.

(2) Scilicet in veteri lege : cf. Matth. v, 38.

(3) Christus apud Matthæum v, 39 — 45.

(4) Ibid. vii, 1.

(5) Cf. ibid. vi, 14.

(6) Ibid. vi, 19....

» ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ » καρδία ὑμῶν. Μὴ μεριμνᾶτε (1) τῇ ψυχῇ ὑμῶν τί » φάγητε καὶ τί πίητε, μηδὲ τῷ σώματι ὑμῶν τί » ἐνδύσησθε· οἶδε (2) γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος » ὅτι χρήζετε τούτων ἁπάντων. » Ὁ οὖν τὴν ψυχὴν δοὺς καὶ τὸ σῶμα, δώσει πάντως καὶ τροφὴν καὶ ἔνδυμα, ὁ τὰ πετεινὰ τοῦ οὐρανοῦ τρέφων καὶ τὰ κρίνα τοῦ ἀγροῦ τοιαύτῃ κοσμῶν ὡραιότητι (3). « Ζη- » τεῖτε (4) δὲ » φησί « πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ » καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προσ- » τεθήσεται ὑμῖν. Μὴ μεριμνήσητε εἰς τὴν αὔριον· ἡ » γὰρ αὔριον τὰ ἑαυτῆς μεριμνήσει. Πάντα ὅσα (5) » ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ » ὑμεῖς ποιεῖτε αὐτοῖς. Εἰσέλθετε (6) διὰ τῆς στενῆς » πύλης, ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς » ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ » εἰσερχόμενοι δι' αὐτῆς· στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς » ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρί- » σκοντες αὐτήν. Οὐ (7) πᾶς ὁ λέγων μοι, Κύριε, » Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρα- » νῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ » ἐν οὐρανοῖς. Ὁ φιλῶν (8) πατέρα ἢ μητέρα ὑπὲρ » ἐμὲ οὐκ ἔστι μου ἄξιος, καὶ ὁ φιλῶν υἱὸν ἢ θυγα- » τέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος· καὶ ὃς οὐ » λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω » μου, οὐκ ἔστι μου ἄξιος. »

« Ἰδοὺ ταῦτα καὶ τὰ τούτοις ὅμοια ἐνετείλατο ὁ

(1) Matth. VI, 25.
(2) Ibid. VI, 32.
(3) Cf. Matth. VI, 26, 28.
(4) Ibid. VI, 33.
(5) Ibid. VII, 12.
(6) Ibid. 13, 14.
(7) Ibid. 21.
(8) Ibid. X, 37, 38.

Σωτὴρ τοῖς Ἀποστόλοις διδάσκειν τοὺς πιστούς· καὶ ταῦτα πάντα ὀφείλομεν φυλάττειν, εἴπερ ποθοῦμεν τῆς τελειότητος ἐπιτυχεῖν (1) καὶ τῶν ἀφθάρτων στεφάνων ἀξιωθῆναι τῆς δικαιοσύνης, οὓς ἀποδώσει Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁ δίκαιος κριτὴς πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ (2). »

Λέγει ὁ Ἰωάσαφ πρὸς τὸν γέροντα· « Ταύτης οὖν τῆς ἀκριβείας τῶν δογμάτων χρῃζούσης καὶ τὴν ἀκραιφνῆ ταύτην πολιτείαν, ἐὰν μετὰ τὸ βάπτισμα συμβῇ με ἑνὸς ἢ δύο τῶν ἐντολῶν τούτων διαμαρτεῖν, ἆρα διαμαρτάνων ἔσομαι ὅλου τοῦ σκοποῦ, καὶ ματαία ἔσται πᾶσα ἡ ἐλπίς; »

Ὁ δὲ Βαρλαὰμ ἔφη· « Μὴ οὕτως ὑπολάμβανε ταῦτα. Ὁ γὰρ ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν ἐνανθρωπήσας Θεὸς Λόγος, εἰδὼς τὴν πολλὴν ἀσθένειαν καὶ ταλαιπωρίαν τῆς φύσεως ἡμῶν, οὐδὲ ἐν τούτῳ τῷ μέρει ἀφῆκεν ἡμᾶς ἀνιάτρευτα νοσεῖν· ἀλλ' ὡς πάνσοφος ἰατρὸς τῇ ὀλισθηρᾷ ἡμῶν καὶ φιλαμαρτήμονι γνώμῃ συνέμιξε τὸ φάρμακον τῆς μετανοίας, κηρύξας ταύτην εἰς ἄφεσιν ἁμαρτιῶν (3). Μετὰ γὰρ τὸ λαβεῖν ἡμᾶς τὴν ἐπίγνωσιν τῆς ἀληθείας, καὶ ἁγιασθῆναι δι' ὕδατος καὶ πνεύματος, πάσης τε

(1) C, τυχεῖν. Niceph. Gregor. III, 3, 7 : ἐπεσκοπείτω καθ' ἑαυτὸν μὲν ἥκιστα· πῶς γάρ, πεῖραν πραγμάτων τούτων καὶ λογισμῶν λαβυρίνθους οὐκ ἔχων, ὡς εἴρηται· ἐσκοπείτω δ' οὖν μετὰ τῶν ἐν τέλει τὸ ποιητέον. Fere malim varietatem ἐσκοπείτω καθ' ἑαυτὸν, ob repetitum ἐσκοπείτω. Præterea parenthetice (πῶς γάρ;) scribendum fuit.

(2) Epist. ad Tim. IV, 8 : λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁ δίκαιος κριτής, οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.

(3) Marc. I, 4 : ἐγένετο Ἰωάννης βαπτίζων... καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν. Cf. Luc. III, 3.

ἁμαρτίας καὶ παντὸς ῥύπου ἀμογητὶ καθαρθῆναι, ἐὰν συμβῇ ἔν τισι παραπτώμασιν ἡμᾶς ἁμαρτημάτων ἐμπεσεῖν, οὐκ ἔστι μὲν διὰ βαπτίσματος δευτέρα ἀναγέννησις ἐν ὕδατι τῆς κολυμβήθρας διὰ τοῦ πνεύματος ἐγγινομένη καὶ τελείως ἡμᾶς ἀναχωνεύουσα· τοῦτο γὰρ τὸ δώρημα ἅπαξ δέδοται· ἀλλὰ διὰ μετανοίας ἐμπόνου καὶ θερμῶν δακρύων, κόπων τε καὶ ἱδρώτων, γίνεται καθαρισμὸς καὶ συγχώρησις τῶν πταισμάτων διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν. Βάπτισμα γὰρ ἐκλήθη καὶ ἡ τῶν δακρύων πηγὴ, κατὰ χάριν τοῦ δεσπότου, ἀλλὰ πόνου καὶ χρόνου (1) δεόμενον· καὶ πολλοὺς τῶν πολλῶν διεσώσατο πταισμάτων· καθότι οὐκ ἔστιν ἁμαρτία νικῶσα τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, εἴπερ φθάσομεν μετανοῆσαι καὶ δάκρυσι πταισμάτων αἶσχος ἀπονίψασθαι, καὶ μὴ προλαβὼν ὁ θάνατος ῥερυπωμένους ἡμᾶς ἐκβαλεῖ τῶν ἐντεῦθεν· οὐκ ἔστι γὰρ ἐν τῷ ᾅδῃ ἐξομολόγησις (2), οὐδὲ μετάνοια· ἕως δὲ ἐν τοῖς ζῶσιν ὦμεν, τοῦ θεμελίου τῆς ὀρθοδόξου πίστεως ἀῤῥαγοῦς διαμένοντος, κἄν τι τῆς δοκώσεως ἢ τῆς ἐνδομήσεως παραλυθῇ, ἔξεστι τὸ σαθρωθὲν τοῖς πταίσμασι τῇ μετανοίᾳ αὖθις ἀνακαινίσαι (3). Πλῆθος γὰρ οἰκτιρμῶν Θεοῦ ἀριθμῆσαι καὶ μέγεθος ἐλέους αὐτοῦ μετρῆσαι ἀδύνατον· ἁμαρτήματα δὲ οἷάπερ ἂν ὦσι καὶ πταίσματα μέτρῳ ὑπόκεινται καὶ ἀριθμητὰ εἶναι συμβαίνει. Τὰ οὖν μέτρῳ καὶ ἀριθμῷ ὑποκείμενα πταίσματα ἡμῶν

(1) C, κόπου καὶ πόνου. Cf. p. 99, 8. Junxit Apostolus I Thess. II, 9, κόπον καὶ μόχθον.

(2) Psalm. VI, 5 : ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι ;

(3) Paulus Epist. ad Hebr. VI, 4, 6, multo severior est : ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, ... καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν.

τὸ ἀμέτρητον ἔλεος καὶ τοὺς ἀναριθμήτους οἰκτιρμοὺς τοῦ Θεοῦ νικῆσαι οὐ δύναται. Διὸ οὐ προσετάχθημεν ἐπὶ τοῖς ἡμαρτημένοις ἀπογινώσκειν, ἀλλ' ἐπιγινώσκειν τὴν ἀγαθότητα τοῦ Θεοῦ, καὶ καταγινώσκειν τῶν ἁμαρτημάτων ὧν ἡ ἄφεσις πρόκειται διὰ φιλανθρωπίαν τοῦ Χριστοῦ, ὃς ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν τὸ ἴδιον ἐξέχεεν αἷμα. »

« Πολλαχόθεν δὲ τῆς γραφῆς διδασκόμεθα τὴν δύναμιν τῆς μετανοίας, καὶ μάλιστα ἐκ τῶν προσταγμάτων καὶ παραβολῶν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. « Ἀπὸ τότε » γάρ, φησίν (1) « ἤρξατο ὁ » Ἰησοῦς διδάσκειν καὶ λέγειν· Μετανοεῖτε· ἤγγικε » γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. » Ἀλλὰ καὶ ἐν παραβολῇ υἱόν τινα εἰσηγεῖται (2), λαβόντα τὴν τοῦ πατρὸς οὐσίαν καὶ εἰς χώραν ἀποδημήσαντα μακράν, κἀκεῖ ἐν ἀσωτίᾳ πάντα καταναλώσαντα (3), εἶτα, λιμοῦ κατὰ τὴν χώραν ἐκείνην γενομένου, ἀπελθόντα καὶ κολληθέντα ἑνὶ τῶν πονηρῶν πολιτῶν τῆς πολυαμαρτήτου χώρας ἐκείνης· ὃς καὶ ἔπεμψεν αὐτόν, φησίν, εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους· τὴν τραχυτάτην καὶ βδελυρὰν ἁμαρτίαν οὕτω καλέσας. Πολλὰ οὖν μογήσας, καὶ εἰς ἐσχάτην ἐληλακὼς ταλαιπωρίαν, ὡς μηδὲ τῆς βρομώδους τῶν χοίρων τροφῆς τὴν ἰδίαν ἰσχύειν ἐμπλῆσαι γαστέρα, εἰς συναίσθησιν ὀψέ ποτε (4) ἐλθὼν τῆς τοιαύτης αἰσχύνης,

(1) Matth. IV, 17.

(2) Apud Luc. XV, 11, sqq.

(3) A, πᾶσαν κατ. Lucas: δαπανήσαντος δὲ αὐτοῦ πάντα.

(4) C sine ὀψέ. Sæpius jungit ὀψέ ποτε Jo. Chrysostomus. Verbi causa Ecl. p. 205: διαβλέψωμεν, κἂν ὀψέ ποτε, ὡς χρή, πρὸς τὰ μέλλοντα...... Ὀψὲ γοῦν ποτε τὴν νόσον ἀπόθεσθε τῆς τῶν χρυσίων ἐπιθυμίας. Rursus p. 382: ἀναστῶμεν ὀψὲ γοῦν ποτε. Adde p. 446.

θρηνῶν ἑαυτὸν ἔλεγε· « Πόσοι μίσθιοι τοῦ πατρός
» μου περισσεύονται ἄρτων! ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι.
» Ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ
» ἐρῶ αὐτῷ· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐν-
» ώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου·
» ποίησον με ὡς ἕνα τῶν μισθίων σου. » Καὶ ἀναστὰς
ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ. Ὁ δὲ, πόῤῥωθεν ἰδὼν
αὐτὸν, ἐσπλαγχνίσθη, καὶ προσδραμὼν ἐνηγκαλί-
σατο καὶ συμπαθῶς κατεφίλησε· καὶ, τῆς προτέρας
ἀξιώσας τιμῆς, ἑορτὴν χαρμόσυνον ἐπὶ τῇ αὐτοῦ ἀν-
ευρέσει ἐποιήσατο, θύσας τὸν μόσχον τὸν σιτευτόν. »

« Ἰδοὺ ταύτην τὴν παραβολὴν περὶ τῶν ἐξ ἁμαρ-
τιῶν ὑποστρεφόντων καὶ ἐν μετανοίᾳ προσπιπτόντων
ἡμῖν ἐξηγήσατο. Ἀλλὰ καὶ ποιμένα τινὰ ἀγαθὸν αὖθις
δηλοῖ (1) ἑκατὸν ἐσχηκότα πρόβατα καὶ, τοῦ ἑνὸς
ἀπολωλότος, καταλιπόντα τὰ ἐνενηκονταεννέα, εἰς
ἐπιζήτησιν τοῦ ἀλωμένου ἐξελθεῖν, ἕως εὑρὼν αὐτὸ,
καὶ τοῖς ὤμοις ἀναλαβὼν, τοῖς ἀπλανέσι συγκατέ-
μιξε, συγκαλέσας τοὺς φίλους καὶ τοὺς γείτονας εἰς
εὐωχίαν ἐν τῇ τούτου εὑρέσει. « Οὕτω » φησὶν ὁ Σω-
τήρ « χαρὰ ἔσται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ
» μετανοοῦντι, ἢ ἐπὶ ἐνενηκονταεννέα δικαίοις, οἵτινες
» οὐ χρείαν ἔχουσι μετανοίας. »

« Ἀμέλει καὶ ὁ κορυφαῖος τῶν μαθητῶν Πέτρος,
ἡ τῆς πίστεως πέτρα, κατ' αὐτὸν τὸν καιρὸν τοῦ σω-
τηρίου πάθους, πρὸς μικρὸν ἐγκαταλειφθεὶς οἰκονο-
μικῇ τινι ἐγκαταλείψει, ὡς ἂν γνῷ τῆς ἀνθρωπίνης
ἀσθενείας τὸ εὐτελὲς καὶ ταλαίπωρον, ἀρνήσεως πε-
ριπέπτωκεν ἐγκλήματι· εἶτ', εὐθὺς μνησθεὶς τῶν τοῦ

(1) Apud Luc. xv, 4...

Κυρίου ῥημάτων, « ἐξελθὼν ἔξω ἔκλαυσε πικρῶς (1)· » καὶ, τοῖς θερμοῖς ἐκείνοις δάκρυσι τὴν ἧτταν ἀνακαλεσάμενος, ἑτεραλκέα τὴν νίκην εἰργάσατο. Ἐμπειροπόλεμος γὰρ ὢν, εἰ καὶ πέπτωκεν, οὐκ ἐξελύθη, οὐδ' ἀπέγνω ἑαυτόν (2)· ἀλλ' ἀναποδίσας (3) προσήγαγε πικρότατα δάκρυα ἀπὸ καρδίας θλιβομένης· καὶ παραυτίκα ὁ πολέμιος θεασάμενος αὐτὰ, ὥσπερ ὑπὸ φλογὸς σφοδροτάτης τὰς ὄψεις φλεγόμενος, ἀπεπήδησε φεύγων μακρὰν καὶ δεινῶς ὀλολύζων. Ὁ δὲ κορυφαῖος κορυφαῖος ἦν αὖθις, ὥσπερ διδάσκαλος τῆς οἰκουμένης χειροτονηθεὶς, οὕτω δὴ καὶ μετανοίας ὑπογραμμὸς γενόμενος. Μετὰ δὲ τὴν θείαν ἀνέγερσιν τρίτον προσειπὼν ὁ Χριστὸς (4), « Πέτρε, φιλεῖς » με »; τὸ τρισσὸν τῆς ἀρνήσεως διωρθώσατο, τοῦ Ἀποστόλου ἀποκρινομένου· « Ναὶ, Κύριε, σὺ οἶδας » ὅτι φιλῶ σε. »

« Ἐκ πάντων οὖν τούτων καὶ ἄλλων πολλῶν καὶ ἀριθμοῦ ὑπερκειμένων παραδειγμάτων μανθάνομεν τὴν δύναμιν τῶν δακρύων καὶ τῆς μετανοίας· μόνον ὁ τρόπος ταύτης ἀξιόλογος γενέσθω ἐκ διαθέσεως βδελυσσομένης τὴν ἁμαρτίαν, μισούσης τε ταύτην καὶ καταγινωσκούσης, δάκρυσι δὲ κεχρημένης, καθὼς φησὶν ὁ προφήτης Δαυίδ (5)· « Ἐκοπίασα ἐν τῷ

(1) Luc. XXII, 62.

(2) C, ἑαυτοῦ. Supra pag. 2 : μὴ ἀπογινώσκειν παρασκευάζει τῆς πορείας τὸ δύσκολον.

(3) C, ἀναπηδήσας, quod et adscripsit in A manus altera. Est ἀναποδίσας « retro cedens ac pedem referens », respectu, puto, ad Lucæ verba, ἐξελθὼν ἔξω.

(4) Joann. XXI, 15-17.

(5) Psalm. VI, 6. — Quem Davidis locum respexit Gregorius Nazianzenus, Oratione XXXIX, p. 634 : οἶδα καὶ πέμπτον ἔτι (βάπτισμα) τῶν δακρύων, ἀλλ' ἐπιπονώτερον· ὡς ὁ λούων καθ' ἑκάστην νύκτα τὴν κλίνην αὐτοῦ καὶ τὴν στρωμνὴν τοῖς δάκρυσιν.

» στεναγμῷ μου· λούσω καθ' ἑκάστην νύκτα τὴν κλί-
» νην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. »
Καὶ λοιπὸν ὁ καθαρισμὸς τῶν ἁμαρτημάτων γενήσεται διὰ τοῦ αἵματος τοῦ Χριστοῦ, ἐν τῷ μεγέθει τοῦ ἐλέους αὐτοῦ, καὶ τῷ πλήθει τῶν οἰκτιρμῶν τοῦ Θεοῦ τοῦ εἰπόντος (1), ὅτι, « ἐὰν ὦσιν αἱ ἁμαρτίαι
» ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ », καὶ τὰ ἑξῆς. »

« Ταῦτα μὲν οὖν οὕτως ἔχει καὶ οὕτως πιστεύομεν· χρὴ δὲ, μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας (2), καὶ τῆς ἀναγεννήσεως καὶ υἱοθεσίας (3) ἀξιωθῆναι, καὶ μυστηρίων γεύσασθαι θείων, πάσῃ δυνάμει ἀσφαλίζεσθαι τοῦ μὴ πίπτειν. Τὸ γὰρ πίπτειν οὐ πρέπει τῷ ἀθλητῇ, ἐπειδὴ πολλοὶ πεσόντες ἀναστῆναι οὐκ ἠδυνήθησαν· οἱ μὲν, τοῖς πάθεσι θύραν ἀνοίξαντες (4), καὶ δυσαποσπάστως αὐτοῖς προσμείναντες, οὐκ ἔτι ἴσχυσαν πρὸς μετάνοιαν παλινδρομῆσαι· οἱ δὲ, προαναρπασθέντες ὑπὸ τοῦ θανάτου, καὶ μὴ φθάσαντες διὰ μεταγνώσεως ἑαυτοὺς τοῦ ῥύπου τῆς ἁμαρτίας ἐκπλῦναι, κατεδικάσθησαν. Καὶ διὰ τοῦτο ἐπικίνδυνον τὸ πίπτειν ἐν οἱῳδήποτε πάθει· ἐὰν δὲ συμβῇ πεσεῖν, εὐθὺς ἀναπηδῆσαι χρὴ, καὶ στῆναι πάλιν εἰς τὸν καλὸν

(1) Isai. I, 18. Cf. p. 86, 9.

(2) Loquutio Paulina. I Epist. ad Tim. II, 4 : εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· IV, 3 : τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν.

(3) Conf. p. 4, n. 1.

(4) De metaphora θύραν ἀνοίγειν dicam infra. — A, ἀνοίξαντες οὐκ ἔτι, mediis omissis. Omissionis causa esse videtur in simili desinentia participiorum. Notum est τὰ ὁμοιοτέλευτα sæpe fuisse fraudi librariis. Isaacius Porphyr. De præterm. p. 286 : πρὸς τὰς πύλας τῆς Τροίας τὸν ἵππον ἠρεμαίως ἐκίνησαν Ἕλληνες· καὶ Τρῶες... Codex 817 plenius : ...Ἕλληνες, εὐωχουμένων τῶν Τρώων, καὶ ταῖς πύλαις οὕτω προσπήγνυσαν· ἀλλ' ὑπεπόδισαν Ἕλληνες· καὶ Τρῶες...

ἀγῶνα· καὶ ὁσάκις ἂν τοῦτο συμβῇ, κἀκεῖνο αὐτίκα ἔστω τὸ τῆς ἐγέρσεως καὶ στάσεως ἕως τῆς τελευτῆς. « Ἐπιστρέφητε (1) γὰρ πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος ὁ Θεός. »

Πρὸς ταῦτα ὁ Ἰωάσαφ εἶπε· « Πῶς οὖν τις φυλάξει ἑαυτὸν μετὰ τὸ βάπτισμα καθαρὸν ἀπὸ πάσης ἁμαρτίας; Κἂν γὰρ ἔστιν, ὡς λέγεις, τοῖς πταίουσι μετάνοια, ἀλλ' ἐν κόπῳ καὶ πόνῳ, κλαυθμῷ τε καὶ πένθει, ἅπερ οὐκ εὐκατόρθωτα τοῖς πολλοῖς εἶναί μοι δοκῶ (2)· ἀλλὰ μᾶλλον ἤθελον εὑρεῖν ὁδὸν τοῦ φυλάττειν ἀκριβῶς τὰ προστάγματα τοῦ Θεοῦ καὶ μὴ ἐκκλίνειν ἀπ' αὐτῶν, μηδὲ, μετὰ τὴν συγχώρησιν τῶν προτέρων κακῶν, παροργίζειν αὖθις τὸν γλυκύτατον δεσπότην καὶ Θεόν. »

Ὁ δὲ Βαρλαὰμ ἔφη· « Καλῶς εἶπας ταῦτα, κύριέ μου βασιλεῦ· τοῦτο καὶ ἐμοὶ καταθύμιον ὑπάρχει. Ἀλλ' ἐργῶδές ἐστι καὶ κομιδῇ ἀδύνατον τὸ πυρὶ συναναστρεφόμενόν τινα μὴ καπνίζεσθαι. Δυσκατόρθωτον οὖν καὶ λίαν ἀνάντες δεδεμένον τοῖς τοῦ βίου πράγμασι καὶ ταῖς αὐτοῦ ἀσχολούμενον μερίμναις καὶ ταραχαῖς, πλούτῳ τε καὶ τρυφῇ συζῶντα, ἀκλινῶς βαδίζειν τὴν ὁδὸν τῶν ἐντολῶν τοῦ Κυρίου, καὶ καθαρὸν ἑαυτὸν ἐκ τούτων περισώσασθαι. Φησὶ γὰρ ὁ Κύριος· « Οὐδεὶς (3) δύναται δυσὶ κυρίοις δουλεύειν·

(1) Zachar. I, 3.

(2) A, δοκεῖ : qua de permutatione egi ad Aristæn. pag. 547. Choricius in Procop. § 35 : καί μοι δοκεῖ..... Codex 2967 : καί μοι δοκῶ. Theod. Metochita Misc. p. 604 : περὶ τῆς βασιλικῆς ἀνθρώπων ἡγεμονίας, καθ' ὅ τι τι βέλτισθ' ἔχει, καθ' ὅ τι νοσεῖ, βουλόμενος ἐρεῖν, δοκῶ μοι χρήσιμον εἶναι....... Frustra editor δοκεῖ conjecit. Forsan καὶ καθ' ὅ τι νοσεῖ, vel καθ' ὅ τι τι νοσεῖ. Cf. supra pag. 23, 20.

(3) Matth. VI, 24.

» ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ
» τοῦ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει·
» οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ. » Γράφει
δὲ καὶ ὁ ἠγαπημένος αὐτοῦ μαθητὴς (1), Ἰωάννης ὁ εὐαγγελιστὴς καὶ θεολόγος, ἐν τῇ κατ' αὐτὸν ἐπιστολῇ οὕτως· « Μὴ (2) ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν
» τῷ κόσμῳ· ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν
» ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ, ὅτι πᾶν τὸ ἐν τῷ
» κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς καὶ ἡ ἐπιθυμία τῶν
» ὀφθαλμῶν καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ
» τοῦ Πατρὸς, ἀλλ' ἐκ τοῦ κόσμου ἐστί. Καὶ ὁ κόσμος
» παράγεται καὶ ἡ ἐπιθυμία αὐτοῦ· ὁ δὲ ποιῶν τὸ
» θέλημα τοῦ Θεοῦ μένει εἰς τὸν αἰῶνα. »

« Ταῦτα οὖν οἱ θεῖοι καὶ θεοφόροι πατέρες ἡμῶν κατανοήσαντες, καὶ τοῦ Ἀποστόλου (3) ἀκούσαντες, ὅτι « διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν
» βασιλείαν τῶν οὐρανῶν », ἔσπευσαν μετὰ τὸ ἅγιον βάπτισμα ἄμωμον καὶ ἀκηλίδωτον τὸ τῆς ἀφθαρσίας διατηρῆσαι ἔνδυμα· ὅθεν οἱ μὲν αὐτῶν καὶ ἕτερον προσέθεντο βάπτισμα προσλαβέσθαι, τὸ δι' αἵματος φημὶ καὶ διὰ μαρτυρίου· βάπτισμα γὰρ καὶ τοῦτο ὠνόμασται, καὶ πάνυ γε τιμιώτατον καὶ αἰδεσιμώτατον· δευτέροις γὰρ οὐ μολύνεται ἁμαρτίας μολυσμοῖς (4)· ὅπερ καὶ ὁ Κύριος ἡμῶν ὑπὲρ ἡμῶν καταδεξάμενος, βάπτισμα εἰκότως ἐκάλεσεν. Ἐντεῦθεν αὐτοῦ μιμηταὶ καὶ ζηλωταὶ γενόμενοι, πρότερον μὲν

(1) Joann. XIII, 23; XXI, 20.

(2) Joann. I Epist. II, 15, 16, 17.

(3) Act. Ap. XIV, 22.

(4) Gregor. Naz. Orat. XXXIX, pag. 634 : οἶδα καὶ τέταρτον βάπτισμα, τὸ διὰ μαρτυρίου καὶ αἵματος, ὃ καὶ αὐτὸς Χριστὸς ἐβαπτίσατο, καὶ πολύ γε τῶν ἄλλων αἰδεσιμώτατον, ὅσῳ δευτέροις ῥύποις οὐ μολύνεται.

οἱ αὐτόπται αὐτοῦ καὶ μαθηταὶ καὶ ἀπόστολοι, ἔπειτα δὲ καὶ πᾶς ὁ τῶν ἁγίων μαρτύρων χορὸς, τοῖς θεραπευταῖς τῶν εἰδώλων βασιλεῦσι καὶ τυράννοις ἑαυτοὺς ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἐκδόντες, πᾶν εἶδος κολαστηρίων ὑπέμειναν, θηρίοις προσομιλήσαντες καὶ πυρὶ καὶ ξίφεσι, καὶ, τὴν καλὴν ὁμολογίαν ὁμολογήσαντες, τὸν δρόμον τετελεκότες καὶ τὴν πίστιν τετηρηκότες, τῶν τῆς δικαιοσύνης ἐπέτυχον βραβείων (1), τῶν Ἀγγέλων ὁμοδίαιτοι καὶ τοῦ Χριστοῦ συγκληρονόμοι γενόμενοι· ὧν ἡ ἀρετὴ τοσοῦτον ἔλαμψεν, ὡς εἰς πᾶσαν τὴν γῆν τὸν φθόγγον αὐτῶν ἐξελθεῖν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης (2) τῶν κατορθωμάτων αὐτῶν ἀστράψαι τὴν λαμπηδόνα. Τούτων, οὐ τὰ ῥήματα μόνον καὶ τὰ ἔργα, ἀλλὰ καὶ αὐτὰ τὰ αἵματα καὶ τὰ ὀστᾶ πάσης ἁγιότητος πλήρη ὑπάρχουσι, δαίμονας μὲν κατὰ κράτος ἐλαύνοντα, ἀνιάτων δὲ νοσημάτων ἰάσεις τοῖς πίστει προσψαύουσι παρέχοντα· καὶ τὰ ἱμάτια δὲ καὶ εἴ τι ἄλλο τοῖς τιμίοις αὐτῶν προσήγγισε σώμασι, τῇ κτίσει πάσῃ πάντοτέ ἐστιν αἰδέσιμα. Περὶ ὧν πολύς ἐστιν ὁ λόγος κατὰ μέρος τὰς αὐτῶν ἀριστείας διηγήσασθαι.»

«Ἐπεὶ δὲ οἱ μὲν ἀπηνεῖς ἐκεῖνοι καὶ θηριώδεις τύραννοι κακοὶ κακῶς ἀπώλοντο (3), καὶ ὁ διωγμὸς ἔπαυσε, βασιλεῖς δὲ πιστοὶ ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐβασίλευσαν,

(1) 1 Epist. ad Tim. IV, 7: τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος.

(2) Psalm. XVIII, 4: εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

(3) Formulam valde obviam potuit a suo sibi sumere Matthæo, apud quem XXI, 41: κακοὺς κακῶς ἀπολέσει αὐτούς. Psellus De dæm. pag. 29: δεινόν γε, εἰ τοιοῦτον μύσος

διαδεξάμενοι ἕτεροι καὶ μιμησάμενοι τὸν ζῆλον ἐκείνων καὶ τὸν θεῖον πόθον, λέγω δὲ τῶν μαρτύρων, καὶ τῷ αὐτῷ ἔρωτι τὰς ψυχὰς τρωθέντες, ἄριστα διεσκόπουν ἀῤῥύπαντον τὴν ψυχὴν καὶ τὸ σῶμα τῷ Κυρίῳ παραστῆσαι, πάσας τὰς τῶν παθῶν περικόψαντες ἐνεργείας, καὶ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος ἑαυτοὺς ἐκκαθάραντες. Ἐπεὶ δὲ οὐκ ἄλλως τοῦτο, ἀλλὰ διὰ τῆς φυλακῆς τῶν ἐντολῶν τοῦ Χριστοῦ κατορθοῦσθαι ἔγνωσαν, τὴν δὲ φυλακὴν τῶν ἐντολῶν καὶ τὴν ἐργασίαν τῶν ἀρετῶν δυσχερῶς ἐν μέσῳ τῶν τοῦ κόσμου θορύβων προσγίνεσθαι κατενόησαν, ἄλλον τινὰ βίον ξένον καὶ ἐνηλλαγμένον ἑαυτοῖς ἐπετηδεύσαντο, καὶ, κατὰ τὴν θείαν φωνὴν (1), πάντα καταλιπόντες, γονεῖς, τέκνα, φίλους, συγγενεῖς, πλοῦτον καὶ τρυφὴν, καὶ πάντα τὰ ἐν τῷ κόσμῳ μισήσαντες, πρὸς τὰς ἐρήμους, ὥσπερ τινὲς φυγάδες ᾤχοντο, « ὑστερούμενοι (2), θλιβόμενοι, κακουχούμενοι, ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς », πάντων τῶν ἐπὶ γῆς τερπνῶν τε καὶ ἀπολαυστικῶν ἑαυτοὺς μακρύναντες, καὶ αὐτοῦ δὲ τοῦ ἄρτου καὶ σκεπάσματος λίαν

εἰς τὴν καθ' ἡμῶν (imo ἡμᾶς, ut est in cod. 1310) οἰκουμένην ἐπιχωρείασιν· ἀλλὰ τύπους μὲν φθινύθειν (lege ἔα φθιν., ex eodem libro), καὶ κακοὺς κακῶς αὐτοῖς ἐπιτηδεύμασιν ἐξαπόλλυσθαι. Soph. Aj. 830: Καί σφας κακοὺς κάκιστα καὶ πανωλέθρους Ξυναρπάσειαν. Ex uno libro Erfurdtius edidit πανωλέθρως, temere, opinor. Glossator in cod. 2812 A: πανωλέθρως εἰπεῖν ἔδει· ἀλλὰ πρὸς τοὺς κακοὺς ἐξήνεγκε. Unde videtur lectionem codicis, quem Erfurdtius calidius est sequutus, non variantem esse, sed glossema. Diligentiæ causa, non silebo codicis ipsam scripturam esse, πανωλέθρους εἰπεῖν ἔδει: sed apertum est calami male labentis mendum.

(1) Matth. XIX, 29: καὶ πᾶς, ὃς ἀφῆκεν οἰκίας, ἢ ἀδελφοὺς ἢ ἀδελφάς, ἢ πατέρα ἢ μητέρα, ἢ γυναῖκα ἢ τέκνα, ἢ ἀγρούς... ζωὴν αἰώνιον κληρονομήσει.

(2) Epist. ad Hebr. XI, 37, 38.

ἐνδεῶς ἔχοντες· δύο ταῦτα πραγματευσάμενοι, ἵνα, μὴ ὁρῶντες τὰς ὕλας τῶν παθῶν, προῤῥίζους αὐτῶν τὰς ἐπιθυμίας ἐκ τῆς ψυχῆς ἀνασπάσωσι, καὶ, τὰς αὐτῶν ἐξαλείψαντες μνήμας, ἔρωτα καὶ πόθον τῶν θείων καὶ οὐρανίων ἐν ἑαυτοῖς ἐμφυτεύσωσι· πρὸς τούτοις, ἵνα, διὰ τῆς κακοπαθείας τὸ σαρκίον ἐκδαπανήσαντες καὶ μάρτυρες τῇ προαιρέσει γενόμενοι, μὴ ἀποτύχωσι τῆς εὐκλείας τῶν δι' αἵματος τελειωθέντων, ἀλλὰ μιμηταὶ καὶ αὐτοὶ τῶν τοῦ Χριστοῦ παθημάτων, ὅσον τὸ ἐπ' αὐτοῖς, γενόμενοι, καὶ τῆς ἀτελευτήτου βασιλείας συμμέτοχοι ἔσονται. »

« Οὕτως οὖν ἄριστα διασκεψάμενοι, τὸν μονάδα καὶ ἡσύχιον μετῆλθον βίον, τινὲς μὲν αἴθριοι διακαρτερήσαντες, τῷ φλογμῷ τοῦ καύσωνος καὶ κρυμοῖς ἀγρίοις καὶ ὄμβροις καὶ ταραχαῖς ἀνέμων ταλαιπωρούμενοι (1)· οἱ δὲ, καλύβας πηξάμενοι, ἢ σπηλαίοις καὶ ἄντροις ὑποκρυβέντες, διέζησαν. Οὕτω δὲ τὴν ἀρετὴν μετερχόμενοι, πᾶσαν σαρκικὴν παράκλησιν καὶ ἀνάπαυσιν εἰς τέλος ἀπηρνήσαντο, λαχάνων ὠμῶν καὶ βοτανῶν, ἢ ἀκροδρύων, ἢ ἄρτου ξηροῦ καὶ πάνυ σκληροῦ, στοιχήσαντες διαίτῃ, μὴ τῇ ποιότητι μόνον ἀποταξάμενοι τῶν ἡδέων, ἀλλὰ, τῷ πλειόντι τῆς ἐγκρατείας, καὶ πρὸς τὴν ποσότητα τὸ φιλότιμον ἑαυτῶν παρατείναντες. Τοσοῦτον γὰρ καὶ αὐτῶν τῶν εὐτελῶν καὶ ἀναγκαιοτάτων μετελάμβανον βρωμάτων, ὅσον ἀποζῆν μόνον. Οἱ μὲν γὰρ αὐτῶν, ὅλας τὰς τῆς ἑβδομάδος ἡμέρας ἄσιτοι διατελοῦντες, τῇ κυριακῇ τροφῆς μετελάμβανον· οἱ δὲ δὶς τῆς ἑβδο-

(1) Greg. Naz. Or. xvi, p. 247, de mendicis : ἡλίῳ καὶ κόνει, ἔστι δ' ὅτε καὶ ὄμβροις καὶ κρυμοῖς ἀγρίοις καὶ ταραχαῖς ἀνέμων ταλαιπωρούμενοι.

μάδος ταύτης μεμνημένοι (1)· ἄλλοι δὲ παρὰ μίαν, ἢ καὶ καθ᾽ ἑσπέραν, ἐσιτοῦντο ὅσον μόνον τροφῆς ἀπογεύεσθαι. »

« Εὐχαῖς τε καὶ ἀγρυπνίαις μικροῦ πρὸς τὸν τῶν Ἀγγέλων παρημιλλήθησαν βίον, χαίρειν εἰπόντες χρυσίου καὶ ἀργυρίου τῇ κτήσει παντάπασι, πράσεις τε καὶ ἀγοραςίας ἐπιλαθόμενοι εἶναι ὅλως ἐν ἀνθρώποις. »

« Φθόνος δὲ καὶ ἔπαρσις, οἱ μάλιστα τοῖς ἀγαθοῖς ἔργοις ἀκολουθεῖν εἰωθότες, οὐκ ἔσχον χώραν ἐν αὐτοῖς. Οὐδὲ γὰρ ὁ ἐλάττων ἐν τοῖς τῆς ἀσκήσεως ἱδρῶσι κατὰ τοῦ μᾶλλον διαλάμποντος βασκανίας λογισμὸν ὅλως ἐν ἑαυτῷ ὑπεδέχετο· οὐδ᾽ αὖ πάλιν τὸν μεγάλα κατορθοῦντα κατὰ τῶν ἀσθενεστέρων πρὸς οἴησιν ἐπῆρεν ἡ ἀλαζονεία ἢ ἐξουθενεῖν τὸν πλησίον, ἢ ἐγκαυχᾶσθαι τῇ ἀσκήσει, καὶ μεγαλοφρονεῖν ἐπὶ τοῖς κατορθώμασιν, ἀπατήσασα. Ὁ γὰρ τὸ πλέον ἔχων εἰς ἀρετὴν, οὐ πόνοις ἰδίοις, ἀλλὰ Θεοῦ δυνάμει, τὸ πᾶν ἐπιγράφων, ταπεινόφρονι γνώμῃ ἔπειθεν ἑαυτὸν μηδὲν ὅλως ἐργάζεσθαι, ἀλλὰ καὶ πλειόνων ὀφειλέτην εἶναι, καθά φησιν ὁ Κύριος· « Ὅταν (2) ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, » λέγετε ὅτι, ἀχρεῖοι δοῦλοί ἐσμεν, ὅτι ὃ ὠφείλομεν » ποιῆσαι πεποιήκαμεν. » Οἱ δὲ πάλιν οὐδὲ ποιῆσαί ποτε τὰ διατεταγμένα ἔπειθον ἑαυτοὺς, ἀλλὰ πλείονα εἶναι τῶν ἤδη κατωρθωμένων τὰ ἐλλείποντα. Καὶ ὁ ἐλαττούμενος πάλιν ἐν τῇ ἀσκήσει, διὰ συν-

(1) Loquutio veterrimæ illi similis et notissimæ, Νιόβη ἐμνήσατο σίτου. Il. Ω, 129 : μεμνημένος οὔτε τι σίτου, Οὔτ᾽ εὐνῆς · et 216 : οὔτε φόβου μεμνημένον, οὔτ᾽ ἀλεωρῆς. Vide Heyn. ad Il. B, 686, οὐ πολέμοιο ἐμνώοντο : quæ contulerim cum Theocriteis xxv, 243 : ἄφαρ δὲ μάχης ἐμνήσατο.

(2) Luc. xvii, 10.

ματικὴν ἴσως ἀσθένειαν, ἐξευτέλιζε ταλανίζων ἑαυτὸν, ῥαθυμίᾳ γνώμης, οὐχὶ φύσεως ἀσθενείᾳ, τὸ ὑστέρημα λογιζόμενος. Οὕτως οὖν ἄλλος ἄλλου καὶ πάντες ἁπάντων ἦσαν μετεωρότεροι. »

« Κενοδοξίας δὲ πάθος ἢ ἀνθρωπαρεσκείας ποῦ ἐν ἐκείνοις; οἵτινες, τὴν οἰκουμένην φυγόντες, διὰ τοῦτο οἰκοῦσι τὴν ἔρημον, οὐκ ἀνθρώποις, ἀλλὰ Θεῷ τὰ κατορθώματα δεικνύναι βουλόμενοι, παρ' οὗ καὶ τῶν κατορθωμάτων τὰς ἀμοιβὰς ἐλπίζουσι· καλῶς ἐπιστάμενοι ὅτι αἱ διὰ κενοδοξίαν ἐπιτελούμεναι ἀσκήσεις ἄμισθοι· δι' ἔπαινον γὰρ ἀνθρώπων (1), καὶ οὐ διὰ τὸν Θεὸν γίνονται· ὅθεν καὶ διπλῶς οἱ τοιοῦτοι ἀδικοῦνται, τὸ σῶμα κατατήκοντες καὶ μισθὸν μὴ λαμβάνοντες. Οἱ δὲ τῆς ἄνω δόξης ὀρεγόμενοι καὶ πρὸς ταύτην ἐπειγόμενοι, πάσης τῆς ἐπιγείου καὶ ἀνθρωπίνης κατεφρόνησαν. »

« Ἔχουσι δὲ τὰς οἰκήσεις οἱ μὲν ἐν παντελεῖ ἀναχωρήσει καὶ μονίᾳ τὸν ἀγῶνα διανύοντες, μακρύναντες ἑαυτοὺς τῆς τῶν ἀνθρώπων συναυλίας παρ' ὅλον αὐτῶν τὸν τῆς ζωῆς χρόνον καὶ Θεῷ πλησιάσαντες· οἱ δὲ, πόῤῥωθεν ἀλλήλων τὰς οἰκήσεις πηξάμενοι, ταῖς κυριακαῖς εἰς ἐκκλησίαν μίαν φοιτῶσι, καὶ τῶν θείων μυστηρίων κοινωνοῦσι, τῆς ἀναιμάκτου φημὶ θυσίας τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ Χριστοῦ, ἃ τοῖς πιστοῖς εἰς ἄφεσιν ἁμαρτιῶν, φωτισμόν τε καὶ ἁγιασμὸν ψυχῆς καὶ σώματος, ὁ Κύριος ἐδωρήσατο· καὶ, ἑστιῶντες ἀλλήλους γυμνασίᾳ τῶν θείων λόγων καὶ ταῖς ἠθικαῖς παραινέσεσι, τούς τε κρυπτοὺς τῶν ἀντιπάλων δημοσιεύοντες πολέμους, ὥστε μὴ ἁλῶναι τούτοις τινὰ τῆς πάλης ἀγνοοῦντα

(1) **Lemma metricum in A** : Ἀνθρωπαρέσκων ἐστιν ὧδε σκόπει βίον.

τὴν μέθοδον, οἴκαδε πάλιν ἕκαστος ἐπανέρχονται, τὸ τῆς ἀρετῆς μέλι τοῖς σίμβλοις τῶν καρδιῶν φιλοτίμως ἐναποτιθέντες, καὶ γεωργοῦντες καρπὸν γλυκύτατον καὶ τῆς ἐπουρανίου τραπέζης ἐπάξιον. »

« Ἄλλοι δὲ κοινοβιακὸν μετέρχονται βίον· οἵτινες, πλήθη πολυάνθρωπα ἐπὶ τὸ αὐτὸ ἀθροισθέντες, ὑφ' ἑνὶ ταξιάρχῃ καὶ προεστῶτι, τῷ πάντων διαφορωτάτῳ, ἑαυτοὺς ἔταξαν, πᾶν θέλημα ἑαυτῶν μαχαίρᾳ τῆς ὑπακοῆς ἀποσφάξαντες· καὶ δούλους ὠνητοὺς ἑαυτοὺς ἑκουσίως λογισάμενοι, οὐκ ἔτι ἑαυτοῖς ζῶσιν, ἀλλ' ᾧ (1) διὰ τὸν τοῦ Χριστοῦ πόθον ἑαυτοὺς καθυπέταξαν· οἰκειότερον δὲ μᾶλλον εἰπεῖν, ζῶσιν οὐκ ἔτι ἑαυτοῖς, ζῇ δὲ ἐν αὐτοῖς ὁ Χριστὸς, ᾧ ἠκολούθησαν πάντα ἀπαρνησάμενοι. Τοῦτο γάρ ἐστιν ἀναχώρησις, κόσμου ἑκούσιον μῖσος, καὶ ἄρνησις φύσεως πόθῳ τῶν ὑπὲρ φύσιν. »

« Οὗτοι τοίνυν ὡς Ἄγγελοι ἐπὶ τῆς γῆς πολιτεύονται, ψαλμοὺς καὶ ὕμνους ὁμοθυμαδὸν τῷ Κυρίῳ ᾄδοντες, καὶ ὁμολογηταὶ τοῖς ἄθλοις τῆς ὑπακοῆς χρηματίζοντες· ἐφ' οἷς καὶ τὸ δεσποτικὸν πληροῦται λόγιον. Φησὶ γάρ· « Ὅπου (2) εἰσὶ δύο ἢ τρεῖς συν-
» ηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐ-
» τῶν. » Οὐκ εἰς τοῦτο τὸ μέτρον τὴν ἐπὶ τῷ ὀνόματι αὐτοῦ συναγωγὴν περικλείσας, ἀλλὰ διὰ τῶν δύο ἢ τριῶν ἀδιόριστον τὸν ἀριθμὸν δηλώσας. Εἴτε γὰρ ὀλίγοι, εἴτε πολλοὶ διὰ τὸ ἅγιον αὐτοῦ συναχθῶσιν ὄνομα, αὐτῷ διαπύρῳ λατρεύοντες πόθῳ, ἐκεῖ παρεῖναι τοῦτον πιστεύομεν ἐν μέσῳ τῶν αὐτοῦ δούλων. »

« Τούτοις τοῖς τύποις καὶ ταῖς τοιαύταις ἀγωγαῖς

(1) Glossa ad marginem in A : τῷ καθηγεμόνι.

(2) Matth. XVIII, 20.

οἱ γῆϊνοι καὶ χοϊκοὶ τὸν βίον ἐζήλωσαν τῶν οὐρανίων, ἐν νηστείαις καὶ εὐχαῖς καὶ ἀγρυπνίαις, ἐν δάκρυσι θερμοῖς καὶ ἀμετεωρίστῳ πένθει, ἐν ξενιτείᾳ καὶ μνήμῃ θανάτου, ἐν πρᾳότητι καὶ ἀοργησίᾳ, ἐν σιωπῇ χειλέων, ἐν ἀκτημοσύνῃ καὶ πτωχείᾳ, ἐν ἁγνείᾳ καὶ σωφροσύνῃ, ἐν ταπεινόφρονι γνώμῃ καὶ ἡσυχίᾳ, ἐν ἀγάπῃ τελείᾳ πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον, τὸν παρόντα ἐκτελέσαντες βίον καὶ Ἄγγελοι τοῖς τρόποις γενόμενοι. Ὅθεν Θεὸς θαύμασι καὶ σημείοις καὶ ποικίλαις δυνάμεσιν αὐτοὺς κατεκόσμησε, καὶ τὸν φθόγγον τῆς θαυμαστῆς αὐτῶν πολιτείας εἰς τὰ πέρατα διηχεῖσθαι τῆς οἰκουμένης (1) πεποίηκε. Καὶ εἴπερ σοι τὸν βίον ἑνὸς αὐτῶν ἐπὶ στόματος φέρων κατὰ μέρος διηγήσομαι, ὃς καὶ ἀρχηγὸς γεγενῆσθαι τῆς κατὰ μοναχοὺς πολιτείας λέγεται (Ἀντώνιος δὲ ὄνομα αὐτῷ), γνώσῃ πάντως ἐκ τοῦ ἑνὸς δένδρου τῶν ὁμογενῶν καὶ ὁμοειδῶν καρπῶν τὴν γλυκύτητα, καὶ οἵαν ἐκεῖνος ἔθετο τῆς ἀσκήσεως ὑποβάθραν, οἵαν δὲ τὴν ὀροφὴν ἐπήξατο, καὶ ὁποίων ἠξιώθη παρὰ τοῦ Σωτῆρος τυχεῖν χαρισμάτων. Πολλοὶ δὲ καὶ ἄλλοι μετ' ἐκεῖνον τὸν ἴσον ἀγωνισάμενοι ἀγῶνα τῶν ὁμοίων ἔτυχον στεφάνων τε καὶ γερῶν. »

« Μακάριοι οὗτοι καὶ τρισμακάριοι, οἱ τὸν Θεὸν ἀγαπήσαντες, καὶ διὰ τὴν ἀγάπην αὐτοῦ καταφρονήσαντες πάντων. Ἐδάκρυσαν γὰρ πενθοῦντες ἡμέρας καὶ νυκτὸς, ἵνα τῆς ἀλήκτου τύχωσι παρακλήσεως· ἐταπείνωσαν ἑαυτοὺς ἑκουσίως, ἵν' ἐκεῖ ὑψωθῶσι (2)· κατέτηξαν τὰς ἑαυτῶν σάρκας πείνῃ τε καὶ δίψῃ καὶ

(1) Conf. p. 101, n. 2.

(2) Matth. XXIII, 12 : ὅστις ταπεινώσει ἑαυτὸν ὑψωθήσεται. Cf. Luc. XIV, 11 ; XVIII, 14.

ἀγρυπνίᾳ, ἵν' ἐκεῖ διαδέξηται αὐτοὺς ἡ τρυφὴ καὶ ἀγαλλίασις τοῦ παραδείσου· σκήνωμα γεγόνασι τοῦ Ἁγίου Πνεύματος τῇ καθαρότητι τῆς καρδίας, καθὼς γέγραπται· « Ἐνοικήσω (1) ἐν αὐτοῖς καὶ ἐμπεριπα- » τήσω »· ἐσταύρωσαν ἑαυτοὺς τῷ κόσμῳ (2), ἵν' ἐκ δεξιῶν (3) τοῦ σταυρωθέντος σταθῶσι· περιεζώσαντο τὰς ὀσφύας αὐτῶν ἐν ἀληθείᾳ (4), καὶ ἑτοίμους ἔσχον ἀεὶ τὰς λαμπάδας, προσδοκῶντες τὴν ἔλευσιν τοῦ ἀθανάτου νυμφίου (5). Νοεροὺς γὰρ κτησάμενοι ὀφθαλμοὺς, προεώρων διηνεκῶς τὴν φρικτὴν ὥραν ἐκείνην, τήν τε θεωρίαν τῶν μελλόντων ἀγαθῶν καὶ τῆς αἰωνίου κολάσεως ἀχώριστον τῆς ἑαυτῶν ἔσχον καρδίας· καὶ ἐσπούδασαν καμεῖν, ἵνα τῆς ἀϊδίου δόξης μὴ ἀποτύχωσι. Γεγόνασιν ἀπαθεῖς ὥσπερ Ἄγγελοι (6)· καὶ νῦν μετ' ἐκείνων χορεύουσιν, ὧν καὶ τὸν βίον ἐμιμήσαντο. Μακάριοι οὗτοι καὶ τρισμακάριοι, ὅτι ἀπλανέσι τοῖς τοῦ νοὸς ὀφθαλμοῖς κατενόησαν τὴν τῶν παρόντων ματαιότητα, καὶ τῆς ἀνθρωπίνης εὐπραγίας τὸ ἄστατον καὶ ἀνώμαλον (7), καὶ, ταύτην ἀπαρνησάμενοι, τὰ αἰώνια ἑαυτοῖς ἐθησαύρισαν ἀγαθὰ (8), καὶ τῆς μηδέποτε διαπιπτούσης μήτε θανάτῳ διακοπτομένης ἐπελάβοντο ζωῆς (9). »

« Τούτους οὖν τοὺς θαυμασίους καὶ ἁγίους ἄνδρας καὶ ἡμεῖς οἱ εὐτελεῖς καὶ ἀνάξιοι μιμεῖσθαι σπουδά-

(1) II Epist. ad Cor. VI, 16.
(2) Conf. p. 10, n. 2.
(3) Conf. p. 71.
(4) Epist. ad Ephes. VI, 14: στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ.
(5) Respectu ad parabolam de qua cf. p. 73.
(6) Jo. Chrys. Eclog. p. 254: Ἀγγέλους τοὺς ἀνθρώπους ἐποίησε (ὁ σταυρός). Cf. pp. 5, n. 4; 106, 107.
(7) Gregor. Naz. Orat. XVI, pag. 251: διὰ τὸ τῆς ἀνθρωπίνης εὐπραγίας ἄστατον καὶ ἀνώμαλον.
(8) Matth. VI, 20. Cf. p. 91.
(9) Conf. p. 60, n. 3.

ζομεν, οὐκ ἐφικνούμεθα δὲ τῷ ὕψει τῆς οὐρανοπολίτου αὐτῶν διαγωγῆς· ἀλλὰ, κατὰ τὸ ἐνὸν τῆς ἀσθενοῦς ἡμῶν καὶ ταλαιπώρου δυνάμεως, τὸν βίον αὐτῶν χαρακτηρίζομεν καὶ τὸ σχῆμα περιβεβλήμεθα, κἂν τῶν ἔργων διαμαρτάνωμεν. Πρόξενον γὰρ ἀναμαρτησίας τὸ θεῖον ἐπάγγελμα τοῦτο, καὶ συνεργὸν τῆς ἐκ τοῦ θείου βαπτίσματος δοθείσης ἡμῖν ἀφθαρσίας ἐπιστάμεθα. Καὶ, τοῖς λόγοις ἑπόμενοι τῶν μακαρίων ἐκείνων, πάνυ καταγινώσκομεν τῶν φθαρτῶν τούτων καὶ ἐπικήρων τοῦ βίου πραγμάτων; ἐν οἷς οὐδέν ἐστιν εὑρεῖν βέβαιον, οὐδὲ ὁμαλὸν, οὐδὲ ἐπὶ τῶν αὐτῶν ἱστάμενον (1)· ἀλλὰ « ματαιότης ἐστὶ τὰ πάντα καὶ » προαίρεσις πνεύματος (2) », πολλὰς ἐν ἀτόμῳ φέροντα τὰς μεταβολάς (3)· ὀνείρων γὰρ καὶ σκιᾶς, καὶ αὔρας κατὰ τὸν ἀέρα πνεούσης, εἰσὶν ἀσθενέστερα· μικρὰ καὶ πρὸς ὀλίγον ἡ χάρις, καὶ οὐδὲ χάρις· ἀλλὰ πλάνη τις καὶ ἀπάτη τῆς τοῦ κόσμου κακίας, ὅνπερ μὴ ἀγαπᾷν ὅλως, μισεῖν δὲ μᾶλλον ἐκ καρδίας δεδιδάγμεθα. »

« Καὶ ἔστι γε κατὰ ἀλήθειαν μισητὸς οὗτος καὶ ἀπευκταῖος· ὅσα γὰρ δωρεῖται τοῖς φίλοις αὐτοῦ (4), μετ' ὀργῆς αὖθις αὐτὰ ἀφαρπάζει, γυμνοὺς δὲ παντὸς ἀγαθοῦ καὶ αἰσχύνην ἠμφιεσμένους, φορτία τε περικειμένους βαρέα, τῇ αἰωνίᾳ παραπέμψει θλίψει·

(1) Gregorius Nazianz. Oratione XVI, pag. 250 : φύσει μὲν γὰρ οὐδὲν τῶν ἀνθρωπίνων βέβαιον, οὐδὲ ὁμαλὸν, ... οὐδὲ ἐπὶ τῶν αὐτῶν ἱστάμενον.

(2) Eccles. I, 14.

(3) Greg. Naz. p. 251 : κύκλος τις τῶν ἡμετέρων περιτρέχει πραγμάτων, ἄλλοτε ἄλλας ἐπὶ μιᾶς ἡμέρας πολλάκις, ἔστι δ' ὅτε καὶ ὥρας, φέρων μεταβολάς.

(4) Scholium in A : σημείωσαι ὅσα δεινὰ ὁ κόσμος τοῖς αὐτὸν ἀγαπῶσι παρέχει.

οὓς δ' αὖ πάλιν ὑψοῖ τῇ ἐσχάτῃ θᾶττον ταπεινοῖ ταλαιπωρίᾳ, ὑποποδίους αὐτοὺς τιθεὶς καὶ ἐπίχαρμα πάντων τῶν ἐχθρῶν αὐτῶν. Τοιαῦται οὖν αἱ χάριτες αὐτοῦ· τοιαῦτα τὰ δωρήματα αὐτοῦ. Ἐχθρὸς γάρ ἐστι τῶν φίλων αὐτοῦ, καὶ ἐπίβουλος πάντων τῶν ποιούντων αὐτοῦ τὰ θελήματα, καὶ καταράσσων δεινῶς τοὺς ἐπερειδομένους ἐπ' αὐτὸν, καὶ σκευωρίζων τοὺς ἐπ' αὐτῷ (1) πεποιθότας. Συνθήκας τίθησι μετὰ τῶν ἀφρόνων καὶ ἐπαγγελίας ψευδεῖς, ἵνα μόνον αὐτοὺς ἐπισπάσηται· ἐκείνων δὲ ἀγνωμονησάντων, ἀγνώμων αὐτὸς καὶ ψευδὴς διαδείκνυται (2), μηδὲν ὧν συνέθετο ἀποπληρῶν. Σήμερον γὰρ βρώμασιν ἡδέσι (3) τὸν φάρυγγα αὐτῶν καταλεάνας, κατάβρωμα τοῖς ἐχθροῖς ὅλους αὐτοὺς αὔριον τίθησι. Σήμερον βασιλέα τινὰ δείκνυσι, καὶ αὔριον δουλείᾳ τινὶ πονηρᾷ παραδίδωσι· σήμερον μυρίοις εὐθηνούμενον ἀγαθοῖς,

(1) C, ἐπ' αὐτόν. Cf. De syntaxi tom. II, pag. 386, vv. 904, 905.

(2) A, δείκνυται. Præpositionum in compositis omissionem sæpe jam notavi; et rursus notetur. Isaacius Porphyr. De præterm. p. 265 : ὅπως οἱ τῇ παρούσῃ βίβλῳ προστυγχάνοντες, καὶ μὴ πλείω πονῆσαι βουλόμενοι, εἰς τὴν τῶν ἐκπεθέντων (imo ἐκτεθέντων, ut est in codice 817) νυνὶ παρ' ἡμῶν ἐκ διαφόρων βιβλίων συνάθροισιν ἔχοιεν ὄψιν... Idem codex, προσεντυγχάνοντες. Mihi quidem ἐντυγχάνοντες plus placeret, quum solenne sit de lectione ἐντυγχάνειν βίβλῳ, illustratum ad Eunap. pag. 126. Isaacius ibid. p. 260 : τοῖς ἀκροωμένοις καὶ ἐντυχοῦσι τῇ παρούσῃ βίβλῳ. Allatium valde demiror, qui vertit « possessione operis fortunatis », nec vidit scribendum ἐντυχοῦσι, quod nitide et bene mihi codex exhibuit.

(3) Pag. 23, 23, quum esset ἡδέοις in A C, εἰδέσι in B, ex hac scriptura mala meliorem feci ἡδέσι. Nunc et in ἡδέοις A C consentiunt, nec quæram quid sit in B. Prior locus huic medebitur. Sic δριμέσι ac δριμέοις permutata vide t. III, p. 425, n. 2. Reiskius, in talibus librariis barbare balbutientibus nimium tribuens, putidas aberrationes pro manu auctorum fere habuit, quem vide ad Constant. p. 223 D 1, ubi et nonnulla non miscenda miscuit.

αὔριον προσαίτην καὶ οἰκοτρίβων οἰκότριβα (1). Σήμερον στέφανον δόξης αὐτοῦ τῇ κορυφῇ ἐπιτίθησιν· αὔριον τὸ πρόσωπον τῇ γῇ καταράσσει. Σήμερον κοσμεῖ τὸν τράχηλον αὐτοῦ λαμπραῖς ἀξιωμάτων τιμαῖς· αὔριον ταπεινοῖ σιδηροῖς κλοιοῖς (2) δεσμούμενον. Ποθητὸν πρὸς μικρὸν τοῖς πᾶσι τοῦτον ἐργάζεται, μισητὸν δὲ μετ' ὀλίγον ἰσχυρῶς καὶ ἐβδελυγμένον. Σήμερον εὐφραίνει, καὶ αὔριον θρήνοις αὐτὸν καὶ κοπετοῖς κατατήκει. Ὁποῖον δὲ τούτων καὶ τὸ τέλος ἐπιτίθησιν ἄκουσον· οἰκήτορας γεέννης τοὺς ἠγαπηκότας αὐτὸν ἐλεεινῶς ἀπεργάζεται. Τοιαύτην ἔχει γνώμην ἀεὶ, τοιαύτην πρόθεσιν ἀτεχνῶς (3). Οὔτε τοὺς παρελθόντας θρηνεῖ, οὔτε τοὺς καταλειφθέντας οἰκτείρει. Ἐκείνους γὰρ δεινῶς ἀπατήσας καὶ τοῖς ἄρχουσιν αὐτοῦ κατακλείσας, πρὸς τούτους αὖθις τὰ τῆς ἐπιστήμης μετενεγκεῖν (4) πειρᾶται, μὴ θέλων τινὰ τῶν χαλεπῶν αὐτοῦ ἐκφυγεῖν παγίδων. »

« Τοὺς μὲν οὖν τούτῳ δουλεύοντας ἀπηνεῖ καὶ πονηρῷ δεσπότῃ τοῦ ἀγαθοῦ καὶ φιλανθρώπου φρενοβλαβῶς ἑαυτοὺς μακρύναντας, εἰς τὰ παρόντα δὲ κεχηνότας πράγματα καὶ τούτοις προστετηκότας, μηδόλως τῶν μελλόντων λαμβάνοντας ἔννοιαν, καὶ

(1) Videtur excidisse verbum, ni et huc δείκνυσι trahatur, quod quo minus commode fiat, interjectum παραδίδωσι impedit.

(2) C, σιδηροῖς χειροπέδαις. Melius κλοιοῖς, quum sit κλοιὸς ὁ ἐπιτραχήλιος δεσμός: vide not. ad Nicetam Eugen. p. 301; Jacob. ad Luciani Tox. c. 29, p. 104; Reisk. ad Constant. Cerim. p. 229 Nieb.; Matthæi. Animadv. in Jo. Chrysost. a. 1795, p. 30. Sirachides vi, 24: εἰσένεγκον τοὺς πόδας σου εἰς τὰς πέδας αὐτῆς καὶ εἰς τὸν κλοιὸν αὐτῆς τὸν τράχηλόν σου. Proverb. Salom. i, 9: στέφανον γὰρ χαρίτων δέξῃ σῇ κορυφῇ καὶ κλοιὸν χρύσεον περὶ σῷ τραχήλῳ.

(3) C, τοιαύτης ἔχει γνώμης ἀεὶ, τοιαύτης προθέσεως, omisso adverbio ἀτεχνῶς.

(4) A, μετενέγκαι.

εἰς μὲν τὰς σωματικὰς ἀπολαύσεις ἀδιαλείπτως ἐπειγομένους, τὰς δὲ ψυχὰς ἐῶντας λιμῷ κατατήκεσθαι καὶ μυρίοις ταλαιπωρεῖσθαι κακοῖς, ὁμοίους εἶναι δοκῶ ἀνδρὶ φεύγοντι ἀπὸ προσώπου μαινομένου μονοκέρωτος, ὃς, μὴ φέρων τὸν ἦχον τῆς αὐτοῦ βοῆς καὶ τὸν φοβερὸν αὐτοῦ μυκηθμὸν, ἀλλ' ἰσχυρῶς ἀποδιδράσκων τοῦ μὴ γενέσθαι τούτου κατάβρωμα, ἐν τῷ τρέχειν αὐτὸν ὀξέως μεγάλῳ τινὶ περιπέπτωκε βόθρῳ· ἐν δὲ τῷ ἐμπίπτειν αὐτῷ (1), τὰς χεῖρας ἐκτείνας, καὶ φυτοῦ τινὸς δραξάμενος, κραταιῶς τοῦτο κατέσχε, καὶ ἐπὶ βάσεώς τινος τοὺς πόδας στηρίξας, ἔδοξεν ἐν εἰρήνῃ λοιπὸν εἶναι καὶ ἀσφαλείᾳ. Βλέψας δὲ ὁρᾷ δύο μῦας, λευκὸν μὲν τὸν ἕνα, μέλανα δὲ τὸν ἕτερον, διεσθίοντας ἀπαύστως τὴν ῥίζαν τοῦ φυτοῦ, οὗ ἦν ἐξηρτημένος, καὶ ὅσον οὔπω ἐγγίζοντας ταύτην ἐκτεμεῖν. Κατανοήσας δὲ τὸν πυθμένα τοῦ βόθρου, δράκοντα εἶδε φοβερὸν τῇ θέᾳ, πῦρ πνέοντα καὶ δριμύτατα βλοσυροῦντα, τὸ στόμα τε δεινῶς περιχάσκοντα καὶ καταπιεῖν αὐτὸν ἐπειγόμενον. Ἀτενίσας δὲ αὖθις τῇ βάσει ἐκείνῃ, ἐφ' ᾗ τοὺς πόδας εἶχεν ἐρηρεισμένους, τέσσαρας εἶδε κεφαλὰς ἀσπίδων τοῦ τοίχου προβεβληκυίας, ἐφ' οὗ ἐπεστήρικτο. Ἀναβλέψας δὲ τοὺς ὀφθαλμοὺς, ὁρᾷ ἐκ τῶν κλάδων τοῦ φυτοῦ ἐκείνου μικρὸν ἀποστάζον μέλι. Ἐάσας οὖν διασκέψασθαι περὶ τῶν περιεχουσῶν αὐτῷ συμφορῶν,

(1) A, ex additione recentiore ἐν αὐτῷ. C, ἐπ' αὐτῷ. Sæpe confusæ sunt illæ præpositiones. Lysias Epit. pag. 272, 4, Aug.: τὰς ἐπὶ τῷ πολέμῳ τύχας κοινὰς ἁπάντων ἀνθρώπων νομίζοντες. Cod. 3017, ἐν τῷ πολ. Quam diversitatem judicet Lebæus, qui ad edendam eam orationem, libris criticis et Lysiacæ dictionis plena cognitione instructus, nunc ipsum accingitur.

ὅπως ἔξωθεν μὲν ὁ μονόκερως δεινῶς ἐκμανεὶς ζητεῖ τοῦτον καταφαγεῖν, κάτωθεν δὲ ὁ πικρὸς δράκων κέχηνε καταπιεῖν, τὸ δὲ φυτὸν ὃ περιεδέδρακτο ὅσον οὔπω ἐκκόπτεσθαι ἔμελλε, τούς τε πόδας ἐπ' ὀλισθηρᾷ καὶ ἀπίστῳ βάσει ἐπεστήρικτο· τῶν τοσούτων οὖν καὶ τοιούτων φρικτῶν θεαμάτων ἀλογίστως ἐπιλαθόμενος, ὅλῳ νοῒ μέλιτος ἐκείνου τοῦ μικροῦ γέγονε τῆς ἡδύτητος ἐκκρεμής.

« Αὕτη ἡ ὁμοίωσις τῶν τῇ ἀπάτῃ τοῦ παρόντος προστετηκότων βίου, ἥσπερ τὴν σαφήνειαν αὐτίκα λέξω σοι. Ὁ μὲν μονόκερως τύπος ἂν εἴη τοῦ θανάτου, τοῦ διώκοντος ἀεὶ καὶ καταλαβεῖν ἐπειγομένου τὸ Ἀδαμιαῖον γένος· ὁ δὲ βόθρος ὁ κόσμος ἐστὶ πλήρης ὑπάρχων παντοίων κακῶν καὶ θανατηφόρων παγίδων· τὸ φυτὸν δὲ τὸ ὑπὸ τῶν δύο μυῶν ἀπαύστως συγκοπτόμενον, ὃ περιεδέδρακτο, ὁ δίαυλος ὑπάρχει τῆς ἑκάστου ζωῆς, ὁ δαπανώμενος καὶ ἀναλισκόμενος διὰ τῶν ὡρῶν τοῦ ἡμερονυκτίου καὶ τῇ ἐκτομῇ κατὰ μικρὸν προσεγγίζων· αἱ δὲ τέσσαρες ἀσπίδες τὴν ἐπὶ τεσσάρων σφαλερῶν καὶ ἀστάτων στοιχείων σύστασιν τοῦ ἀνθρωπείου σώματος αἰνίττονται, ὧν ἀτακτούντων καὶ ταραττομένων ἡ τοῦ σώματος καταλύεται σύστασις. Πρὸς τούτοις καὶ ὁ πυρώδης ἐκεῖνος καὶ ἀπηνὴς δράκων τὴν φοβερὰν εἰκονίζει τοῦ ᾅδου γαστέρα, τὴν μαιμάσσουσαν ὑποδέξασθαι τοὺς τὰ παρόντα τερπνὰ τῶν μελλόντων ἀγαθῶν προκρίνοντας. Ὁ δὲ τοῦ μέλιτος σταλαγμὸς τὴν γλυκύτητα ἐμφαίνει τῶν τοῦ κόσμου ἡδέων, δι' ἧς ἐκεῖνος ἀπατῶν τοὺς ἑαυτοῦ φίλους, οὐκ ἐᾷ τῆς σφῶν προνοήσασθαι σωτηρίας. »

Ταύτην ὁ Ἰωάσαφ λίαν ἀποδεξάμενος τὴν παραβολὴν, ἔφη· « Ὡς ἀληθὴς ὁ λόγος οὗτος καὶ πάνυ ἁρμοδιώτατος! Μὴ οὖν ὀκνήσῃς τοιούτους ἀεί μοι τύπους ὑποδεικνύειν, ἵνα γνῶ ἀκριβῶς ὁποῖος ὑπάρχει ὁ καθ' ἡμᾶς βίος, καὶ τίνων τοῖς ἑαυτοῦ φίλοις πρόξενος γίνεται. »

Ὁ δὲ γέρων εἶπεν· « Ὅμοιοι αὖθις εἰσὶν οἱ ἐρασθέντες τῶν τοῦ βίου τερπνῶν καὶ τῇ τούτου γλυκανθέντες ἡδύτητι, τῶν μελλόντων τε καὶ μὴ σαλευομένων τὰ ῥευστὰ καὶ ἀσθενῆ προτιμήσαντες, ἀνθρώπῳ τινὶ τρεῖς ἐσχηκότι φίλους, ὧν τοὺς μὲν δύο περιπαθῶς ἐτίμα, καὶ σφοδρῶς τῆς αὐτῶν ἀγάπης ἀντείχετο, μέχρι θανάτου ὑπὲρ αὐτῶν ἀγωνιζόμενος καὶ προκινδυνεύειν αἱρούμενος· πρὸς δὲ τὸν τρίτον πολλῇ ἐφέρετο καταφρονήσει, μήτε τιμῆς, μήτε τῆς προσηκούσης αὐτὸν πώποτε ἀξιώσας ἀγάπης, ἀλλ' ἢ μικράν τινα καὶ οὐδαμινὴν εἰς αὐτὸν προσποιούμενος φιλίαν. Καταλαμβάνουσιν οὖν ἐν μιᾷ φοβεροί τινες καὶ ἐξαίσιοι στρατιῶται, σπεύδοντες ταχύτητι πολλῇ πρὸς τὸν βασιλέα τοῦτον ἀγαγεῖν, λόγον ἀποδώσοντα ὑπὲρ ὀφειλῆς μυρίων ταλάντων. Στενοχωρούμενος δὲ, ἐκεῖνος ἐζήτει βοηθὸν, τὸν συναντιλαβέσθαι αὐτῷ ἐν τῷ φρικτῷ τοῦ βασιλέως λογοθεσίῳ δυνάμενον. »

« Δραμὼν οὖν πρὸς τὸν πρῶτον αὐτοῦ καὶ πάντων γνησιώτατον φίλον, λέγει· « Οἶδας, ὦ φίλε, ὡς ἀεὶ » ἐθέμην τὴν ψυχήν μου ὑπὲρ σοῦ (1)· νυνὶ δὲ χρῄζω » βοηθείας ἐν τῇ ἡμέρᾳ ταύτῃ τῆς κατεχούσης με » ἀνάγκης. Πόσων οὖν ἐπαγγέλλῃ συναντιλαβέσθαι μοι

(1) Joann. XIII, 37 : τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω.

» νῦν; καὶ τίς ἡ παρὰ σοῦ προσγινομένη μοι ἐλπὶς, » προσφιλέστατε; »

« Ἀποκριθεὶς οὖν ἐκεῖνος ἔφη· « Οὐκ εἰμί σου φί» λος, ἄνθρωπε· οὐκ ἐπίσταμαι τίς εἶ. Ἄλλους γὰρ » ἔχω προσφιλεῖς, μεθ' ὧν δεῖ με σήμερον εὐφραί» νεσθαι, καὶ φίλους αὐτοὺς εἰς τὸ ἑξῆς κτήσασθαι. » Παρέχω δέ σοι ἰδοὺ ῥάκια δύο, τοῦ ἔχειν σε ταῦτα » ἐν τῇ ὁδῷ ᾗ πορεύῃ, ἅτινα οὐδέν σε τὸ παράπαν » ὠφελήσουσι. Καὶ μηδεμίαν ἄλλην παρ' ἐμοῦ προσ» δοκήσῃς ἐλπίδα. »

« Τούτων ἀκούσας ἐκεῖνος καὶ ἀπογνοὺς ἣν ἐξ αὐτοῦ βοήθειαν ἤλπιζε, πρὸς τὸν ἕτερον πορεύεται φίλον, καὶ φησί· « Μέμνησαι, ὦ ἑταῖρε, ὅσης ἀπήλαυσας » παρ' ἐμοῦ τιμῆς καὶ εὐγνωμοσύνης· σήμερον δὲ, » θλίψει περιπεσὼν καὶ συμφορᾷ μεγίστῃ, χρήζω » συνεργοῦ. Πόσον οὖν ἰσχύεις μοι συγκοπιάσαι; ἐξ » αὐτῆς γνώρισόν μοι. »

« Ὁ δὲ φησίν· « Οὐ σχολάζω σήμερον συναγω» νίσασθαί σοι· μερίμναις γὰρ κἀγὼ καὶ περιστάσεσι » περιπεσὼν, ἐν θλίψει εἰμί. Μικρὸν δ' ὅμως συν» οδεύσω σοι, κἂν μηδὲν ὠφελήσω σε· καὶ, θᾶττον » ὑποστρέψας οἴκαδε, ταῖς ἰδίαις ἔσομαι ἀσχολού» μενος μερίμναις. »

« Κεναῖς οὖν κἀκεῖθεν ὑποστρέψας χερσὶν ὁ ἄνθρωπος καὶ πάντοθεν ἀπορούμενος, ἐταλάνιζεν ἑαυτὸν τῆς ματαίας ἐλπίδος τῶν ἀγνωμόνων αὐτοῦ φίλων, καὶ τῶν ἀνονήτων (1) ταλαιπωριῶν ὧν ὑπὲρ τῆς ἐκείνων ἀγάπης ὑπέστη.

(1) A, ἀνοήτων. Pag. 22, 4, fuit prius ἀνόητος in A; sed, inserto altero ny, est nunc ἀνόνητος. Illa adjectiva confusa fuisse ostendi

« Ἀπέρχεται λοιπὸν πρὸς τὸν τρίτον φίλον αὐτοῦ,
ὃν οὐδέποτε ἐθεράπευσεν, οὐδὲ κοινωνὸν τῆς ἑαυτοῦ εὐ-
φροσύνης προσεκαλέσατο· καὶ φησὶ πρὸς αὐτὸν κατ-
ησχυμμένῳ τε καὶ κατηφιῶντι τῷ προσώπῳ· « Οὐκ
» ἔχω στόμα διᾶραι πρὸς σὲ, γινώσκων ἀκριβῶς ὅτι οὐ
» μέμνησαί μου πώποτε εὐεργετήσαντός σε, ἢ προσ-
» φιλῶς διατεθέντος σοι. Ἀλλ' ἐπεὶ συμφορά με
» κατέλαβε χαλεπωτάτη, οὐδαμόθεν δὲ τῶν λοι-
» πῶν μου φίλων εὗρον σωτηρίας ἐλπίδα, παρεγενό-
» μην πρὸς σὲ, δυσωπῶν, εἰ ἔστι σοι ἰσχὺς, μικράν
» τινα βοήθειαν παρασχεῖν μοι. Μὴ οὖν ἀπαγορεύσῃς,
» μηνίσας (1) μου τῆς ἀγνωμοσύνης. »

« Ὁ δέ φησιν ἱλαρῷ καὶ χαρίεντι προσώπῳ· « Ναὶ δὴ
» φίλον ἐμὸν γνησιώτατον ὁμολογῶ σε ὑπάρχειν· καὶ, τῆς
» μικρᾶς ἐκείνης μεμνημένος σοῦ εὐποιΐας, σὺν τόκῳ σή-
» μερον ἀποδώσω σοι. Μὴ φοβοῦ τοίνυν, μηδὲ δέδιθι·
» ἐγὼ σοῦ γὰρ προπορεύσομαι, ἐγὼ δυσωπήσω ὑπὲρ σοῦ
» τὸν βασιλέα, καὶ οὐ μὴ παραδῶ σε εἰς χεῖρας ἐχθρῶν
» σοῦ. Θάρσει οὖν, προσφιλέστατε, καὶ μὴ λυποῦ. »

« Τότε κατανυγεὶς ἐκεῖνος ἔλεγε μετὰ δακρύων·
« Οἴμοι! τί πρῶτον θρηνήσω, καὶ τί κλαύσομαι
» πρῶτον; τῆς ματαίας μου καταγνώσομαι προσ-
» παθείας εἰς τοὺς ἀμνήμονας καὶ ἀχαρίστους καὶ
» ψευδεῖς φίλους ἐκείνους; ἢ τὴν φρενοβλαβῆ τα-

t. I, p. 451. Vide Lobeck. ad hæc Aj. 757 : Τὰ γὰρ περισσὰ κἀνόνητα σώματα Πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις Ἔφασχ' ὁ μάντις, ὅστις ἀνθρώπου φύσιν Βλαστὼν, ἔπειτα μὴ κατ' ἄνθρωπον φρονεῖ. Ibi ferme prætulerim ἀνόητα, propter ultima, μὴ κατ' ἄνθρωπον φρονεῖ. Atque statim Ajax ἄνους κἀφρόνως ἀμειψάμενος εὑρίσκεται. Nec satis commode ἀνόνητος Ajax diceretur, qui de Græcis tam egregie fuerat meritus. Conf. et v. 1239, ubi οἱ εὐρύνωποι φῶτες et οἱ φρονοῦντες opponuntur.

(1) Glossa in A : ὀργισθεὶς, μνησικακήσας.

» λανίσω ἀγνωμοσύνην, ἥνπερ τῷ ἀληθεῖ τούτῳ καὶ » γνησίῳ ἐνεδειξάμην φίλῳ; »

Ὁ δὲ Ἰωάσαφ, καὶ τοῦτον μετὰ θαύματος δεξάμενος τὸν λόγον, τὴν σαφήνειαν ἐζήτει. Καὶ φησὶν ὁ Βαρλαάμ· « Ὁ πρῶτος φίλος ἂν εἴη ἡ τοῦ πλούτου περιουσία καὶ ὁ τῆς φιλοχρηματίας ἔρως, ἐφ᾽ ᾧ μυρίοις ὁ ἄνθρωπος περιπίπτει κινδύνοις, καὶ πολλὰς ὑπομένει ταλαιπωρίας· ἐλθούσης δὲ τῆς τελευταίας τοῦ θανάτου προθεσμίας, οὐδὲν ἐκ πάντων ἐκείνων, εἰ μὴ τὰ πρὸς κηδείαν ἀνόνητα ῥάκια, λαμβάνει. Δεύτερος δὲ φίλος κέκληται γυνή τε καὶ τέκνα, καὶ οἱ λοιποὶ συγγενεῖς τε καὶ οἰκεῖοι, ὧν τῇ προσπαθείᾳ κεκολλημένοι δυσαποσπάστως ἔχομεν, αὐτῆς τῆς ψυχῆς καὶ τοῦ σώματος ἕνεκεν τῆς αὐτῶν ὑπερορῶντες ἀγάπης· οὐδεμιᾶς δέ τις ἐξ αὐτῶν ἀπώνατο ὠφελείας τῇ ὥρᾳ τοῦ θανάτου· ἀλλ᾽ ἢ μόνον μέχρι τοῦ μνήματος συνοδεύουσιν αὐτῷ παρεπόμενοι, εἶτ᾽, εὐθὺς ἐπαναστραφέντες, τῶν ἰδίων ἔχονται μεριμνῶν καὶ περιστάσεων, οὐκ ἔλαττον λήθῃ τὴν μνήμην, ἢ τὸ σῶμα τοῦ ποτὲ προσφιλοῦς καλύψαντες τάφῳ. Ὁ δ᾽ αὖ τρίτος φίλος ὁ παρεωραμένος καὶ φορτικὸς, ὁ μὴ προσιτὸς, ἀλλὰ φευκτὸς καὶ οἷον ἀποτρόπαιος, ὁ τῶν ἀρίστων ἔργων χορὸς καθέστηκεν, οἷον πίστις, ἐλπὶς, ἀγάπη, ἐλεημοσύνη, φιλανθρωπία, καὶ ὁ λοιπὸς τῶν ἀρετῶν ὅμιλος, ὁ δυνάμενος προπορεύεσθαι ἡμῶν ἐξερχομένων τοῦ σώματος, ὑπὲρ ἡμῶν τε δυσωπῆσαι τὸν Κύριον, καὶ τῶν ἐχθρῶν ἡμᾶς λυτρούμενος καὶ δεινῶν φορολόγων, τῶν λογοθέσιον ἡμῖν πικρὸν ἐν τῷ ἀέρι κινούντων, καὶ χειρώσασθαι πικρῶς ζητούντων. Οὗτός ἐστιν ὁ εὐγνώμων φίλος καὶ ἀγαθὸς, ὁ

καὶ τὴν μικρὰν ἡμῶν εὐεργεσίαν ἐπὶ μνήμης φέρων καὶ σὺν τόκῳ ἡμῖν πᾶσαν ἀποδιδούς. »

Αὖθις οὖν ὁ Ἰωάσαφ· « Εὖ σοι γένοιτο παρὰ Κυρίου τοῦ Θεοῦ, ὦ σοφώτατε τῶν ἀνθρώπων! εὔφρανας γάρ μου τὴν ψυχὴν τοῖς καλλαλλήλοις σου καὶ ἀρίστοις ῥήμασι. Τοιγαροῦν ἀνατύπωσόν μοι καὶ ἔτι εἰκόνα τῆς ματαιότητος τοῦ κόσμου, καὶ πῶς ἂν τις ἐν εἰρήνῃ καὶ ἀσφαλείᾳ τοῦτον διέλθοι. »

Ἀναλαβὼν δὲ τὸν λόγον ὁ Βαρλαὰμ ἔφη· « Ἄκουσον καὶ τούτου δὴ τοῦ παραδείγματος ὁμοίωσιν. Πόλιν τινὰ μεμάθηκα μεγάλην, ἧς οἱ πολῖται τοιαύτην ἐσχήκεσαν ἔκπαλαι συνήθειαν, τὸ ἐπιλαμβάνεσθαι ξένου τινὸς καὶ ἀγνώστου ἀνδρὸς, μηδὲν τῶν νόμων τῆς πόλεως καὶ παραδόσεων ὅλως ἐπισταμένου, καὶ τοῦτον βασιλέα καθιστᾶν ἑαυτοῖς, πάσης ἀπολαύοντα ἐξουσίας καὶ τῶν αὐτοῦ θελημάτων ἀκωλύτως ἐχόμενον, ἄχρι συμπληρώσεως ἐνιαυσιαίου χρόνου. Εἶτ', ἐξαίφνης ἐν πάσῃ αὐτοῦ τυγχάνοντος ἀμεριμνίᾳ, τρυφῶντός τε καὶ σπαταλῶντος ἀδεῶς, καὶ συνδιαιωνίζειν αὐτῷ τὴν βασιλείαν εἰσαεὶ δοκοῦντος, ἐπεγειρόμενοι κατ' αὐτοῦ, καὶ τὴν βασιλικὴν ἀφελόμενοι στολὴν, γυμνόν τε ἀνὰ πᾶσαν θριαμβεύσαντες τὴν πόλιν, ἐξόριστον ἔπεμπον εἰς μακρὰν ἀπῳκισμένην καὶ μεγάλην τινὰ νῆσον, ἐν ᾗ, μήτε διατροφῆς εὐπορῶν μήτε ἐνδυμάτων, ἐν λιμῷ καὶ γυμνότητι δεινῶς κατετρύχετο, τῆς παρ' ἐλπίδα δοθείσης αὐτῷ τρυφῆς καὶ θυμηδίας εἰς λύπην αὖθις καὶ παρ' ἐλπίδα πᾶσαν καὶ προσδοκίαν μεταμειφθείσης. »

« Κατὰ τὸ παρακολουθῆσαν τοίνυν ἔθος τῶν πολιτῶν ἐκείνων, προεχειρίσθη τις ἀνὴρ εἰς τὴν βασι-

λείαν συνέσει πολλῇ τὸν λογισμὸν κατάκομον (1) ἔχων, ὃς αὐτίκα μὴ συναρπασθεὶς τῇ ἐξαίφνης αὐτῷ προσπεσούσῃ εὐθηνίᾳ, μηδὲ τῶν προβεβασιλευκότων καὶ ἀθλίως ἐκβληθέντων τὴν ἀμεριμνίαν ζηλώσας, ἐμμέριμνον εἶχε καὶ ἐναγώνιον τὴν ψυχὴν πῶς ἂν τὰ κατ' αὐτὸν εὖ διάθοιτο. Τῇ συχνῇ δὲ μελέτῃ ἀκριβωσάμενος, ἔγνω διά τινος σοφωτάτου συμβούλου τὴν συνήθειαν τῶν πολιτῶν, καὶ τὸν τόπον τῆς διηνεκοῦς ἐξορίας· ὅπως τε χρὴ ἑαυτὸν ἀσφαλίσασθαι ἀπλανῶς ἐδιδάχθη. Ταῦτ' οὖν ὡς ἔγνω, καὶ ὅτι δεῖ αὐτὸν ὅσον οὔπω ἐκείνην καταλαμβάνειν τὴν νῆσον, τὴν δ' ἐπίκλητον ταύτην καὶ ἀλλοτρίαν βασιλείαν ἀλλοτρίοις αὖθις καταλιμπάνειν, ἀνοίξας τοὺς θησαυροὺς αὐτοῦ ὧνπερ τέως ἀνειμένην εἶχε καὶ ἀκώλυτον τὴν χρῆσιν, καὶ λαβὼν χρημάτων πλῆθος, χρυσοῦ τε καὶ ἀργύρου καὶ λίθων τιμίων ἁδρότατον ὄγκον, πιστοτάτοις παραδοὺς οἰκέταις, εἰς ἐκείνην προέπεμψεν, εἰς ἣν ἔμελλεν ἀπάγεσθαι, νῆσον. Συντελεσθέντος δὲ τοῦ ἐμπροθέσμου ἐνιαυτοῦ, στασιάσαντες οἱ πολῖται γυμνὸν αὐτὸν, ὡς καὶ τοὺς πρὸ αὐτοῦ, τῇ ἐξορίᾳ παρέπεμψαν. Οἱ μὲν οὖν λοιποὶ ἀνόητοι καὶ πρόσκαιροι βασιλεῖς δεινῶς ἐλίμωττον· ὁ δὲ, τὸν πλοῦτον

(1) Constantinus Man. Chron. pag. 109 : χάρισι κατάκομος. Jam Noster p. 29, 18, πάσῃ συνέσει κατάκομον λογισμὸν dixit. Isaac. Porphyrogen. De præterm., narrato Achillis ac Priami de Polyxenæ nuptiis colloquio, quod Paridis perfidia rupit, ἐντεῦθεν, ait p. 284, δι' ἀληθείας τῆς φονικῆς ταύτης αὐτῶν συνελεύσεως, ὁ Πρίαμος καὶ διὰ ταῦτα ὁ γέρων ὁ ἄθλιος ἐντὸς εἰσῆλθε πάλιν τοῦ ἄστεως τῇ λύπῃ κατάκομος. Pro δι' ἀληθείας est διαληθείσας in cod. 817; unde διαλυθείσης, quod est sententiæ aptissimum, faciam, idque facile. Nam η et υ permutat iotacismus, quod jam fuit a me sæpissime monitum, et terminatio σης alio loco ejusdem codicis abiit in σας, ubi, pro bene edito πυρσωθείσης p. 302, librarius scripsit male πυρσωθείσας.

περιαποθέμενος ἐκεῖνον, εὐθηνίᾳ διηνεκεῖ συζῶν καὶ τρυφὴν ἀδάπανον ἔχων, φόβον τε παντάπασιν ἀποσεισάμενος τῶν ἀτάκτων καὶ πονηρῶν πολιτῶν, τῆς σοφωτάτης ἑαυτὸν ἐμακάριζεν εὐβουλίας. »

« Πόλιν οὖν νόει μοι τὸν μάταιον τοῦτον καὶ ἀπατεῶνα κόσμον, πολίτας δὲ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τῶν δαιμόνων, τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου (1), τοὺς δελεάζοντας ἡμᾶς τῷ λείῳ τῆς ἡδονῆς, καὶ ὡς περὶ ἀφθάρτων ὑποτιθεμένους διανοεῖσθαι τῶν φθαρτῶν καὶ ἐπικήρων, ὡς ἅτε συνδιαιωνιζούσης ἡμῖν καὶ ἀθάνατα τῆς τούτων συνυπαρχούσης ἀπολαύσεως. Οὕτως οὖν ἀπατηθέντων ἡμῶν καὶ μηδεμίαν περὶ τῶν μονίμων ἐκείνων καὶ αἰωνίων βουλευσαμένων, μήτε τι ταμιευσαμένων ἑαυτοῖς εἰς τὸν ἐκεῖθεν βίον, αἰφνίδιος ἡμῖν ἐφίσταται ὄλεθρος ὁ τοῦ θανάτου. Τότε δὴ τότε γυμνοὺς ἡμᾶς τῶν ἐντεῦθεν οἱ πονηροὶ καὶ πικροὶ δεξάμενοι πολῖται τοῦ σκότους, ὡς ἐκείνοις τὸν ἅπαντα προσαναλώσαντας χρόνον, ἀπάγουσιν « εἰς γῆν σκοτεινὴν καὶ γνοφεράν, εἰς γῆν σκότους » αἰωνίου, οὗ οὐκ ἔστι φέγγος, οὐδὲ ὁρᾶν ζωὴν βρο» τῶν (2). » Σύμβουλον δὲ ἀγαθόν, τὸν τἀληθῆ πάντα γνωρίσαντα καὶ τὰ σωτήρια διδάξαντα ἐπιτηδεύματα τῷ συνετῷ καὶ σοφωτάτῳ βασιλεῖ, τὴν ἐμὴν ὑπολάμβανε εὐτελῆ χθαμαλότητα, ὃς τὴν ἀγαθὴν ὁδὸν καὶ ἀπλανῆ ὑποδεῖξαί σοι ἥκω, τοῖς αἰωνίοις μὲν καὶ ἀτελευτήτοις ἐνάγων κἀκεῖσε πάντα συμβουλεύων ἀποθέσθαι, ἀπάγων δὲ τοῦ πλάνου κόσμου

(1) Epist. ad Ephes. VI, 12: ὅτι ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου.

(2) Job. X, 22.

τούτου, ὅνπερ κἀγὼ δυστυχῶς ἐφίλουν, καὶ τῶν αὐτοῦ ἀντειχόμην τερπνῶν τε καὶ ἀπολαυστικῶν.»

«Κατανοήσας δὲ τοῖς ἀπλανέσι τοῦ νοὸς ὀφθαλμοῖς πῶς ἐν τούτοις πᾶς ὁ τῶν ἀνθρώπων καταστρέφεται βίος, τῶν μὲν παραγινομένων, τῶν δὲ ἀπαιρόντων, καὶ μηδενὸς ἔχοντος τὸ στάσιμόν τε καὶ βέβαιον, μήτε τῶν πλουτούντων ἐν τῷ πλούτῳ, μήτε τῶν δυνατῶν ἐν τῇ ἰσχύϊ, μήτε τῶν σοφῶν ἐν τῇ σοφίᾳ, μηδ' αὖ τῶν εὐημερούντων ἐν τῇ εὐημερίᾳ, μήτε τῶν τρυφώντων ἐν τῇ σπατάλῃ, μήτε τῶν ἀσφαλῶς δοκούντων βιοῦν ἐν τῇ ματαίᾳ αὐτῶν καὶ ἀδρανεστάτῃ ἀσφαλείᾳ, μήτε ἐν ἄλλῳ τινὶ τῶν ἐνταῦθα ἐπαινουμένων, ἀλλ' ἔοικε τὸ πρᾶγμα χειμάῤῥων παρόδῳ ἀμετρήτῳ θαλάσσης ἐμπιπτόντων βυθῷ (ῥευστὰ γὰρ (1) οὕτως εἰσὶ τὰ παρόντα πάντα καὶ πρόσκαιρα), συνῆκα ὡς τὰ τοιαῦτα μάταια σύμπαντα καὶ ὄνησις αὐτῶν οὐδεμία, ἀλλ', ὥσπερ τὰ πρότερον πάντα λήθῃ κέκρυπται, εἴτε δόξαν εἴποις, εἴτε βασιλείαν, εἴτε ἀξιωμάτων λαμπρότητας, εἴτε δυναστείας ὄγκον, εἴτε τυράννων θρασύτητα, εἴτε τι τῶν τοιούτων, οὕτως καὶ τὰ ἐνεστῶτα εἰς τοὺς ἑξῆς καὶ μετέπειτα χρόνους ἀμαυρωθήσεται. Ὧνπερ κἀγὼ εἷς ὑπάρχων τῇ συνήθει πάντως ἀλλοιώσει ὑποπεσοῦμαι, καὶ καθὼς οἱ πρὸ ἐμοῦ δι' αἰῶνος τέρπεσθαι τοῖς παροῦσιν οὐ συνεχωρήθησαν, οὕτως ἔσται καὶ ἐπ' ἐμοί. Κατεῖδον γὰρ οἷα τοὺς ἀνθρώπους ὁ τύραννος οὗτος καὶ ταραχώδης κατεργάζεται κόσμος, μετατιθεὶς αὐτοὺς ἐντεῦθεν κἀκεῖθεν,

(1) Gregorius Naz. Orat. XVI, pag. 251 : τὰ μὲν γάρ ἐστι ῥευστὰ καὶ πρόσκαιρα.

οὓς μὲν ἐκ πλούτου πρὸς πενίαν, οὓς δὲ ἐκ πενίας εἰς δόξαν, τούτους μὲν ὑπεξάγων τοῦ βίου, ἄλλους δὲ αὖθις ἀντεισάγων, τινὰς μὲν σοφοὺς καὶ συνετοὺς ἀποδοκιμάζων, ἀτίμους τε καὶ εὐτελεῖς τοὺς τιμίους καὶ περιφανεῖς ἐργαζόμενος, ἄλλους δὲ ἀσόφους τε καὶ ἀσυνέτους ἐπὶ θρόνου καθίζων δόξης (1), τιμίους τε τοὺς ἀτίμους καὶ ἀφανεῖς πᾶσι δεικνύων. Καὶ ἔστιν ἰδεῖν τὸ τῶν ἀνθρώπων γένος μηδόλως καλὰ πρόσωπον τῆς αὐτοῦ ἀπηνοῦς τυραννίδος ἔχον στάσιν· ἀλλ', ὡς ὅταν περιστερὰ, φεύγουσα ἀετὸν εἴτε ἱέρακα, τόπους ἐκ τόπων ἀμείβῃ, νῦν μὲν τούτῳ τῷ δένδρῳ, αὖθις ἐκείνῳ τῷ θάμνῳ, εἶτ' εὐθὺς τρώγλαις τῶν πετρῶν καὶ παντοίαις ἀκάνθαις ἑαυτὴν προσαράσσουσα, καὶ οὐδαμοῦ εὑρίσκουσα προσφύγιον ἀσφαλὲς, ἐν σάλῳ καὶ ταλαντώσει ταλαιπωρεῖται διηνεκεῖ, οὕτως εἰσὶν οἱ τοῖς παροῦσιν ἐπτοημένοι, ὑφ' ὁρμῆς μὲν ἀλογίστου ἀθλίως πονοῦντες, μηδόλως δέ τι ἔχοντες βέβαιον ἢ ἀσφαλὲς, μήτ' ἐπιστάμενοι εἰς ὁποῖον καταντῶσι τέλος, καὶ ποῦ τούτους ὁ μάταιος ἄγει βίος, ᾧ καθυπέταξαν ἑαυτοὺς λίαν δυστυχῶς καὶ ἀθλίως, πονηρὰ μὲν ἑλόμενοι ἀντὶ ἀγαθῶν, μετελθόντες δὲ κακίαν ἀντὶ χρηστότητος, ἢ τίς ὁ τὰς ψυχρὰς τῶν πολλῶν καὶ μοχθηρῶν αὐτῶν καμάτων διαδεξάμενος ἐπικαρπίας, εἴτε οἰκεῖος, εἴτε ἀλλότριος· καὶ πολλάκις οὐδὲ φίλος ὅλως ἢ γνωστὸς, ἀλλ' ἐχθρὸς καὶ πολέμιος. »

« Ταῦτα πάντα καὶ τὰ τούτοις ἑπόμενα διακρίνας ἐν τῷ τῆς ψυχῆς κριτηρίῳ, ἐμίσησα τὸν σύμπαντά μου βίον τὸν ἐν τοῖς ματαίοις ἀναλωθέντα, ὃν διήγαγον τοῖς περὶ γῆν πόνοις προστετηκώς. »

(1) Matth. xxv, 31 : καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ.

« Ἀποβαλλομένῳ δέ μοι τῆς ψυχῆς τὴν τούτων προσπάθειαν καὶ ἀποῤῥίψαντι κατέφανη τὰ τῷ ὄντι ἀγαθὰ, τὸ φοβεῖσθαι τὸν Θεὸν καὶ ποιεῖν αὐτοῦ τὸ θέλημα. Τοῦτο γὰρ ἔγνων πάντων τῶν ἀγαθῶν κεφάλαιον ὑπάρχειν· τοῦτο καὶ ἀρχὴ σοφίας λέγεται (1) καὶ σοφία τετελειωμένη· ζωὴ γάρ ἐστιν ἄλυπος καὶ ἀνεπηρέαστος τοῖς ἀντεχομένοις αὐτῆς, καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτὴν ὡς ἐπὶ Κύριον ἀσφαλής. Ἐπιστήσας οὖν μου τὸν λογισμὸν τῇ ἀπλανεστάτῃ ὁδῷ τῶν ἐντολῶν τοῦ Κυρίου (2), καὶ γνοὺς ἀκριβῶς μηδὲν ἐν αὐτῇ σκολιὸν ἢ στραγγαλιῶδες (3) ὑπάρχειν, μήτε φαράγγων καὶ σκοπέλων, ἀκανθῶν τε καὶ τριβόλων (4) πεπληρωμένην, ἀλλ' ὅλην λείαν καθεστηκέναι καὶ ὁμαλὴν, τέρπουσαν μὲν τοὺς ὀφθαλμοὺς τῶν αὐτὴν ὁδευόντων ταῖς φανοτάταις θεωρίαις, ὡραΐζουσαν δὲ τοὺς πόδας, καὶ ὑποδύουσαν τὴν ἑτοιμασίαν τοῦ εὐαγγελίου τῆς εἰρήνης (5) τοῦ ἀσφαλῶς τε καὶ συντόμως βαδίζειν· ἥνπερ (6) πάντων δικαίως προέκρινα, καὶ οἰκοδομεῖν ἠρξάμην τὴν πεσοῦσάν μου τῆς ψυχῆς καὶ φθαρεῖσαν οἰκίαν. »

« Οὕτως μου τὰ κατ' ἐμαυτὸν διατιθεμένου καὶ τὸ σφαλερὸν τοῦ νοὸς ἐπανορθοῦντος, ῥημάτων ἀκήκοα σοφοῦ τινὸς διδασκάλου τοιαῦτά μοι ἐμβοῶντος· « Ἐξέλθετε » ἔφη « πάντες οἱ ποθοῦντες σωθῆναι· ἀπο-

(1) Ps. cx, 10 : *ἀρχὴ σοφίας φόβος Κυρίου*. Confer t. II, p. 15, n. 2.

(2) Psalm. cxviii, 32 : *ὁδὸν ἐντολῶν σου ἔδραμον.*

(3) Prov. viii, 8 : *μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἑαυτοῖς σκολιὸν, οὐδὲ στραγγαλιῶδες.*

(4) Cf. tom. III, p. 181, n. 4.

(5) Respectu ad Isai. LII, 7 : *ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς πόδες εὐαγγελιζομένου ἀκοὴν εἰρήνης!* Inde Epist. ad Rom. x, 15 : *ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά!*

(6) Vide Addenda.

» χωρίσθητε τῆς ματαιότητος τοῦ κόσμου· παράγει
» γὰρ τὸ σχῆμα αὐτοῦ (1) μικρὸν ὅσον, καὶ ἰδοὺ οὐκ
» ἔσται. Ἐξέλθετε ἀμεταστρεπτὶ, μὴ προῖκα δὲ καὶ
» ἀμισθὶ, ἀλλ' ἐφόδια φερόμενοι ζωῆς αἰωνίου· μα-
» κρὰν γὰρ μέλλετε βαδίζειν ὁδὸν, πολλῶν ἔχουσαν
» χρείαν τῶν ἐντεῦθεν ἐφοδίων. Καὶ καταλαμβάνετε
» τὸν αἰώνιον τόπον χώρας ἔχοντα δύο, πολλὰς ἐν
» ἑαυταῖς μονὰς ἐχούσας, ὧν τὴν μὲν μίαν ἡτοίμασεν
» ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν καὶ τὰς αὐτοῦ φυλάτ-
» τουσιν ἐντολὰς, παντοίων οὖσαν ἀγαθῶν πεπλη-
» ρωμένην, ἥσπερ οἱ ἀξιωθέντες ἐν ἀφθαρσίᾳ ζήσονται
» διηνεκεῖ, τῆς ἀνωλέθρου ἀπολαύοντες ἀθανασίας,
» ἔνθα « ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός (2) »;
» ἡ δὲ δευτέρα, σκότους οὖσα μεστὴ καὶ θλίψεως καὶ
» ὀδύνης, τῷ Διαβόλῳ ἡτοίμασται καὶ τοῖς Ἀγγέλοις
» αὐτοῦ (3), ἐν ᾗ βληθήσονται καὶ οἱ δι' ἔργων πονηρῶν
» ἑαυτοῖς ταύτην προξενήσαντες, οἱ τῶν ἀφθάρτων
» καὶ αἰωνίων τὰ παρόντα ἀνταλλαξάμενοι καὶ ὅλους
» ἑαυτοὺς κατάβρωμα τοῦ αἰωνίου πυρὸς ποιησάμενοι.»

« Ταύτης ἐγὼ τῆς φωνῆς ἀκούσας καὶ τὸ ἀψευδὲς αὐτῆς ἐπιγνοὺς, ἐκεῖνο καταλαβεῖν τὸ κατάλυμα ἔργον ἐθέμην, τὸ πάσης μὲν ἀπηλλαγμένον ὀδύνης τε καὶ λύπης, τοσαύτης δὲ ἀσφαλείας καὶ τοιούτων ἀγαθῶν πλῆρες ὑπάρχον, ὧν ἡ γνῶσις νυνὶ μὲν ἐκ μέρους ἐστὶν ἐν ἐμοὶ, νηπίῳ τε ὄντι τὴν πνευματικὴν ἡλικίαν, καὶ ὡς δι' ἐσόπτρων καὶ αἰνιγμάτων τὰ ἐκεῖθεν

(1) I Epist. ad Cor. VII, 31 : παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. I Epistola Joann. II, 17 : ὁ κόσμος παράγεται.

(2) Isai. XXXV, 10.

(3) Matth. XXV, 41 : τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ Διαβόλῳ καὶ τοῖς Ἀγγέλοις αὐτοῦ.

βλέποντι (1)· ὅτε δὲ ἔλθῃ τὸ τέλειον, καὶ ἐπιγνώσομαι πρόσωπον πρὸς πρόσωπον, τότε τὸ ἐκ μέρους καταργηθήσεται (2). « Εὐχαριστῶ τοίνυν τῷ Θεῷ διὰ » Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν (3)· ὁ γὰρ νόμος (4) » τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέ- » ρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανά- » του », καὶ διήνοιξέ μου τοὺς ὀφθαλμοὺς ἀπλανῶς κατιδεῖν ὅτι « τὸ φρόνημα (5) τῆς σαρκὸς θάνατος, » τὸ δὲ φρόνημα τοῦ πνεύματος ζωὴ καὶ εἰρήνη. »

« Καὶ καθάπερ οὖν ἐγὼ, τῶν παρόντων ἐπιγνοὺς τὴν ματαιότητα, τέλειον αὐτὰ ἐμίσησα μῖσος (6), οὕτω δὴ καὶ σὲ γινώσκειν περὶ τούτων συμβουλεύω, ἵνα ὡς ἀλλοτρίοις διατεθῇς αὐτοῖς καὶ θᾶττον παρερχομένοις, ἀφελόμενος δ' ἐντεῦθεν πάντα, θησαυρίσῃς σεαυτῷ ἐν τῷ ἀφθάρτῳ αἰῶνι θησαυρὸν ἀσύλητον, πλοῦτον ἀδαπάνητον, ἔνθα σε δεῖ ἀνυπερθέτως πορευθῆναι, ἵνα, ὅταν ἀπέλθῃς, οὐχ ὑστερούμενος ἔσῃ, ἀλλὰ πλούτῳ βρίθων (7), καθάπερ σοι τὴν τούτων ἀνεθέμην ἀνωτέρω καταλληλοτάτην εἰκόνα. »

Λέγει δὲ ὁ Ἰωάσαφ τῷ γέροντι· « Πῶς οὖν δυνή-

(1) Gregorius Naz. Orat. xvi, p. 251 : *δόξης θεωρίαν, νῦν μὲν τὴν ἐν ἐσόπτροις τε καὶ αἰνίγμασι, τότε δὲ τὴν τελεωτέραν τε καὶ καθαρωτέραν*. Respexit uterque I Epist. ad Cor. : cf. nota seq.

(2) I Epist. ad Cor. XIII, 9, 10, 11, 12 : *ἐκ μέρους γὰρ γινώσκομεν.... ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται..... ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν...... βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον· ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην*.

(3) Epist. ad Rom. VII, 25.

(4) Ibid. VIII, 2.

(5) Ibid. VIII, 6.

(6) Cf. p. 86, n. 6.

(7) Soph. Aj. 129 : *Μηδ' ὄγκον ἄρῃς μηδέν' εἴ τινος πλέον Ἢ χειρὶ βρίθεις ἢ μακροῦ πλούτου βάρει*. Glossator in cod. 2812 A : *βρίθεις] μεγάλην ἰσχὺν ἔχεις· τὸ γὰρ βρίθειν ἐπὶ μεγάλου καὶ βαρέος*. Idem

σομαι θησαυροὺς χρημάτων καὶ πλούτου ἐκεῖσε προπέμπειν, ὡς ἂν ἄσυλον αὐτῶν καὶ ἀνώλεθρον τὴν ἀπόλαυσιν ἀπελθὼν εὕρω; πῶς δὲ δείξω τὸ πρὸς τὰ παρόντα μου μῖσος, καὶ τῶν αἰωνίων ἀνθέξομαι; μάλα σαφήνισόν μοι. »

Καὶ φησὶν ὁ Βαρλαάμ· « Ἡ μὲν τοῦ πλούτου τούτου πρὸς τὸν αἰώνιον τόπον προπομπὴ ταῖς χερσὶ γίνεται τῶν πενήτων. Φησὶ γάρ τις τῶν προφητῶν, Δανιὴλ ὁ σοφώτατος, τῷ βασιλεῖ Βαβυλῶνος· « Διὰ » τοῦτο (1), βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι· καὶ » τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι καὶ » τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων. » Λέγει δὲ καὶ ὁ Σωτήρ· « Ποιήσατε (2) ἑαυτοῖς φίλους ἐκ τοῦ » μαμωνᾶ τῆς ἀδικίας, ἵν', ὅταν ἐκλίπητε, δέξων» ται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. » Καὶ πολὺν ἄνω τε καὶ κάτω λόγον (3) ὁ Δεσπότης τῆς ἐλεημοσύνης καὶ μεταδόσεως τῶν πενήτων ποιεῖται, καθὼς ἐν τῷ εὐαγγελίῳ μανθάνομεν. »

« Οὕτως μὲν οὖν ἀσφαλέστατα λίαν ἐκεῖσε προπέμψεις πάντα ταῖς τῶν δεομένων χερσίν· ὅσα γὰρ εἰς τούτους ποιήσεις, ἑαυτῷ ὁ Δεσπότης οἰκειούμενος (4) πολυπλασίως σε ἀνταμείψεται· νικᾷ γὰρ

liber habet βάθει, quod neutiquam prætulerim. Ceterum erat illa varietas jam ex aliis codicibus nota. Liceat ex eodem libro, non bono, novam eamque bonam, imo optimam, lectionem proferre. Editiones sic exhibent v. 36 : πάλαι φύλαξ ἔβην Τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ. Notus est tragicorum dorismus in κυναγὸς, estque κυναγία in Hippolyto 108 : πρῶτον ἐκ κυναγίας Τράπεζα πλήρης. Unde in Ajacis loco κυνηγία Elmsleio, ad Bacch. 339, displicebat. Poterunt jam critici Sophocli restituere κυναγίᾳ ex hujus codicis auctoritate.

(1) Dan. IV, 24.

(2) Luc. XVI, 9.

(3) Luc. XI, 41, XII, 33, XIX, 8; Matth. XIX, 21.

(4) Matth. XXV, 40 : ἐφ' ὅσον

ἀεὶ ταῖς τῶν δωρεῶν ἀντιδόσεσι τοὺς ἀγαπῶντας αὐτόν. Τούτῳ μὲν οὖν τῷ τρόπῳ τέως τοὺς θησαυροὺς τοῦ σκότους τοῦ αἰῶνος τούτου (1) συλήσας, ὦ τεταλαιπώρηκας πολὺν ἤδη χρόνον ἐκδουλεύων, καλῶς ἐκ τούτων πρὸς τὸ μέλλον ἐφοδιασθήσῃ, καὶ τοῦ ἀλλοτρίου ἀφελόμενος σεαυτῷ πάντα προαποθήσῃ, διὰ τῶν ῥευστῶν τούτων καὶ προσκαίρων (2) τὰ ἑστῶτα καὶ μένοντα ἐξωνησάμενος· ἔπειτα, τοῦ Θεοῦ συνεργοῦντός σοι, κατανοήσεις τὸ ἄστατον τοῦ κόσμου καὶ ἀνώμαλον (3), καὶ, χαίρειν πᾶσιν εἰπὼν, πρὸς τὸ μέλλον μεθορμισθήσῃ, παραδραμὼν μὲν τὰ παρατρέχοντα, τοῖς ἐλπιζομένοις δὲ καὶ ἱσταμένοις προστεθήσῃ, καὶ τὸ σκότος μὲν ἀπολιπὼν σὺν τῇ σκιᾷ τοῦ θανάτου (4), μισήσας δὲ τὸν κόσμον καὶ κοσμοκράτορα, καὶ τὴν φθειρομένην σάρκα ἐχθρὰν ἑαυτῷ λογισάμενος, τῷ φωτὶ προσδράμῃς τῷ ἀπροσίτῳ (5), καὶ, τὸν σταυρὸν ἐπ' ὤμων ἄρας, ἀκολουθήσεις αὐτῷ (6) ἀμεταστρεπτὶ, ἵνα καὶ σὺν αὐτῷ δοξασθῇς καὶ τῆς οὐκ ἔτι μεταπιπτούσης ζωῆς οὐδὲ ἀπατηλῆς ἀναδειχθῇς κληρονόμος. »

Ὁ δὲ Ἰωάσαφ « Τὸ πάντων οὖν » φησίν, « ὑπεριδεῖν καὶ ἐπίπονον οὕτως ἀναλαβέσθαι βίον, καθάπερ εἴρηκας ἀνωτέρω, παράδοσίς ἐστιν ἀρχαία ἐκ τῆς τῶν Ἀποστόλων κατιοῦσα διδαχῆς; ἢ ἔναγχος ὑμῖν ἐπινενόηται τῇ τοῦ νοὸς ὑμῶν ἐπιστήμῃ, ὡς κρεῖττον ἐκλεξαμένοις τοῦτο; »

ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.

(1) Cf. p. 13, n. 3; p. 120, 7.

(2) Conf. p. 121, n.

(3) Conf. p. 109, n. 1.

(4) Junxit et Jer. XIII, 16: ἐκεῖ σκιὰ θανάτου καὶ τεθήσονται εἰς σκότος.

(5) Conf. p. 44, n. 2.

(6) Conf. Marc. VIII, 34; mox p. 128, 9.

Πρὸς ὃν ὁ γέρων ἔφη· « Οὐ νόμον προσφάτως εἰσενεχθέντα διδάσκω σε (μὴ γένοιτο!), ἀλλ' ἔκπαλαι δοθέντα ἡμῖν. Εἶπεν γὰρ ὁ Κύριος πλουσίῳ τινὶ ἐπερωτήσαντι αὐτόν, « Τί ποιήσας (1) ζωὴν αἰώνιον » κληρονομήσω »; καὶ καυχωμένῳ πάντα φυλάξαι τὰ γεγραμμένα ἐν τῷ νόμῳ· « Ἕν σοι » φησίν (2), « ὑστερεῖ· ὕπαγε, ὅσα ἔχεις πώλησον καὶ δὸς πτωχοῖς, » καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς· καὶ δεῦρο ἀκολούθει » μοι, ἄρας τὸν σταυρόν. Ὁ δὲ (3) ταῦτα ἀκούσας πε» ρίλυπος ἐγένετο· ἦν γὰρ πλούσιος σφόδρα. Ἰδὼν » δὲ αὐτὸν ὁ Ἰησοῦς περίλυπον γενόμενον, εἶπε· Πῶς » δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰσελεύσονται » εἰς τὴν βασιλείαν τοῦ Θεοῦ! εὐκοπώτερον γάρ ἐστι » κάμηλον (4) διὰ τρυμαλιᾶς ῥαφίδος διελθεῖν, ἢ » πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. »

« Ταύτης οὖν τῆς ἐντολῆς πάντες ἀκούσαντες οἱ ἅγιοι ἀποχωρισθῆναι πάντη τῆς τοιαύτης τοῦ πλούτου δυσκολίας ἐφρόντισαν· καὶ πάντα σκορπίσαντες, καὶ διὰ τῆς τῶν πενήτων διαδόσεως πλοῦτον ἑαυτοῖς αἰώνιον προαποθέμενοι, ἦραν τὸν σταυρὸν καὶ τῷ Χριστῷ ἠκολούθησαν, οἱ μὲν μαρτυρικῶς, καθὰ δὴ καὶ εἶπόν σοι, τελειωθέντες, οἱ δὲ ἀσκητικῶς ἀγωνισάμενοι, καὶ μηδὲν ἐκείνων ἀπολιπόντες τῇ ἀγωγῇ τῆς ἀληθινῆς ταύτης φιλοσοφίας. »

« Ἐντολὴν οὖν ταύτην εἶναι γίνωσκε Χριστοῦ τοῦ

(1) Luc. XVIII, 18.
(2) Marc. X, 21.
(3) Luc. XVIII, 23.
(4) Habent AC κάμηλον. Billyus vertit *un chable*. Vel in cod. suo κάμιλον reperiebat, vel faciebat cum iis qui sic pro κάμηλον legendum suadent et rudentem esse κάμιλον monstrant. Quæ lectio, etsi probabilitate quadam non careat, vulgatæ tamen neutiquam est præferenda.

βασιλέως ἡμῶν καὶ Θεοῦ, ἀπάγουσαν ἡμᾶς τῶν φθαρτῶν καὶ τῶν ἀϊδίων μετόχους ἐργαζομένην. »

« Παλαιᾶς οὖν » φησὶν ὁ Ἰωάσαφ, « καὶ οὕτως ἀναγκαίας οὔσης τῆς τοιαύτης φιλοσοφίας, πῶς οὐ πολλοὶ ζηλοῦσι σήμερον τουτονὶ τὸν βίον; »

Ὁ δὲ γέρων ἔφη· « Πολλοὶ μὲν ἐζήλωσαν καὶ ζηλοῦσιν, οἱ πλεῖστοι δὲ ὀκνοῦσι καὶ ἀναδύονται. Ὀλίγοι γάρ, καθά φησιν ὁ Κύριος, οἱ τῆς στενῆς ὁδοῦ καὶ τεθλιμμένης ὁδοιπόροι (1), τῆς ἀνειμένης δὲ καὶ πλατείας οἱ πλείους (2). Οἱ γὰρ καθάπαξ ὑπὸ φιλοχρηματίας καὶ τῶν τῆς φιληδονίας κακῶν ἁλόντες, τῇ κενῇ δὲ καὶ ματαίᾳ προστετηκότες δόξῃ, δυσαποσπάστως αὐτῶν ἔχουσιν, ὡς ἅτε δούλους ἑαυτοὺς ἑκουσίως ἀπεμπολήσαντες ἀλλοτρίῳ δεσπότῃ, καὶ ἀπ' ἐναντίας ἱστάμενοι τῷ ταῦτα ἐπιτάττοντι Θεῷ, καὶ δέσμιοι αὐτῷ κατεχόμενοι. Ψυχὴ γὰρ καθάπαξ ἀπογνοῦσα τῆς οἰκείας σωτηρίας, τὰς ἡνίας αὐτῆς ἐνδοῦσα ταῖς ἀλόγοις ἐπιθυμίαις, πανταχοῦ περιφέρεται. Διὰ τοῦτο ὀλοφυρόμενος ὁ Προφήτης τὴν περικεχυμένην ἄνοιαν ταῖς τοιαύταις ψυχαῖς, καὶ τῆς ἐπικειμένης αὐταῖς ἀχλύος τὴν παχύτητα θρηνῶν, ἔλεγεν· « Υἱοὶ (3) ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἱνατί » ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος » ; Ὅτῳ τις καὶ τῶν ἡμετέρων σοφῶν διδασκάλων, θεολογικώτατος ἀνὴρ (4), συνᾴδων, καί τινα παρ' ἑαυτοῦ προστιθείς, ἐκβοᾷ πᾶσιν ὡς ἐξ ἀπόπτου τινὸς καὶ

(1) Matth. VII, 13: στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν· καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.

(2) Matth. VII, 12: πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς.

(3) Psalm. IV, 2.

(4) Greg. Naz. Or. IX, p. 151.

ὑψηλοτάτης περιωπῆς (1)· « Υἱοὶ ἀνθρώπων, ἕως
» πότε βαρυκάρδιοι; ἱνατί ἀγαπᾶτε ματαιότητα
» καὶ ζητεῖτε ψεῦδος; μέγα τι τὸν ἐνταῦθα βίον καὶ
» τὴν τρυφὴν καὶ τὸ μικρὸν δοξάριον καὶ τὴν ταπεινὴν
» δυναστείαν καὶ τὴν ψευδομένην εὐημερίαν ὑπολαμ-
» βάνοντες, ἃ μὴ τῶν ἐχόντων μᾶλλον ἐστὶν ἢ τῶν
» ἐλπισάντων, οὐδὲ τούτων μᾶλλον ἢ τῶν οὐδὲ προσ-
» δοκησάντων, ὥσπερ χοῦς ὑπὸ λαίλαπος ἄλλοτε
» εἰς ἄλλους ῥιπιζόμενα καὶ μεταῤῥιπτούμενα, ἢ
» ὥσπερ καπνὸς διαῤῥέοντα, καὶ ὡς ὄναρ παίζοντα,
» καὶ ὡς σκιὰ μὴ κρατούμενα, οὔτε ἀπόντα δυσέλ-
» πιστα τοῖς οὐ κεκτημένοις, οὔτε παρόντα πιστὰ
» τοῖς ἔχουσιν. »

« Οὕτως οὖν τοῦ Σωτῆρος ἐντελλομένου, τῶν προφητῶν τε καὶ Ἀποστόλων κηρυττόντων, καὶ τῶν ἁγίων πάντων ἔργῳ τε καὶ λόγῳ εἰς τὴν τῆς ἀρετῆς συνωθούντων ἡμᾶς ἀπλανεστάτην ὁδὸν, κἂν ὀλίγοι οἱ ταύτην ὁδεύοντες, πλείους δὲ οἱ τὴν εὐρύχωρον καὶ πρὸς ἀπώλειαν ἄγουσαν προκρίνοντες, οὐκ ἐκ τούτου ἡ πολιτεία τῆς ἐνθέου ταύτης κατασμικρυνθήσεται φιλοσοφίας, ἀλλὰ, καθάπερ ὁ ἥλιος, εἰς φαῦσιν πᾶσιν ἀνατέλλων, ἀφθόνως αὐτοῦ τὰς ἀκτῖνας προπέμπει πάντας φωτίζεσθαι προτρεπόμενος, οὕτω καὶ ἡ ἀληθὴς φιλοσοφία τοὺς αὐτῆς ἐραστὰς ἡλίου δίκην φωταγωγεῖ καὶ περιθάλπει καὶ λαμπροὺς ἀποδείκνυσιν. Εἰ δέ τινες, μύσαντες τοὺς ὀφθαλμοὺς, κατιδεῖν αὐτοῦ τὸ φέγγος οὐ θελήσουσιν, οὔτε μεμπτέος παρὰ τοῦτο ὁ ἥλιος, οὔτε τοῖς λοιποῖς παροπτέος, οὔτε μὴν ἡ δόξα τῆς αὐτοῦ λαμπρότητος διὰ τῆς ἐκείνων ἀτιμασθήσεται ἀβελ-

(1) De loquutione Hasius vid. ad Leonem Diac. p. 213.

τηρίας· ἀλλ' ἐκεῖνοι μὲν τοῦ φωτὸς ἑαυτοὺς ἀποστερήσαντες, ὡς τυφλοὶ ψηλαφήσουσι τοῖχον, πολλοῖς δὲ ἐμπεσοῦνται βόθροις, καὶ πολλαῖς ἐκκεντηθήσονται τὰς ὄψεις ἀκάνθαις, ὁ δὲ ἥλιος ἐπὶ τῆς ἰδίας ἱστάμενος λαμπρότητος φωτιεῖ τοὺς ἀνακεκαλυμμένῳ προσώπῳ τὸ φέγγος αὐτοῦ κατοπτριζομένους (1). Τὸν αὐτὸν δὴ τρόπον καὶ τὸ τοῦ Χριστοῦ φῶς φαίνει μὲν πᾶσι πλουσίως, μεταδιδὸν ἡμῖν τῆς αὐτοῦ λαμπηδόνος· μετέχει δὲ ἕκαστος καθ' ὅσον ἐφέσεως ἔχει καὶ προθυμίας· οὔτε γὰρ ἀποστερεῖ τινὰ τῶν βουλομένων αὐτῷ ἐνατενίζειν ὁ ἥλιος τῆς δικαιοσύνης (2), οὔτε μὴν βιάζεται τοὺς ἑκουσίως τὸ σκότος ἐκλεγομένους· ἀλλὰ τῇ ἰδίᾳ ἕκαστος ἐφεῖται αὐτεξουσίῳ προαιρέσει, ἕως ἐν τῷ παρόντι βίῳ ἐστί. »

Τοῦ δὲ Ἰωάσαφ πυθομένου τί τὸ αὐτεξούσιον καὶ τί προαίρεσις, φησὶν ὁ γέρων· « Αὐτεξουσιότης (3) μέν ἐστι ψυχῆς λογικῆς θέλησις, ἀκωλύτως κινουμένη πρὸς ὅπερ ἂν βούλοιτο, εἴτε ἀρετὴν εἴτε κακίαν, οὕτως ὑπὸ τοῦ δημιουργοῦ γενομένης. Αὐτεξουσιότης αὖθις ἐστὶ νοερᾶς ψυχῆς κίνησις αὐτοκρατής. Προαίρεσις δέ ἐστιν ὄρεξις βουλευτικὴ τῶν ἐφ' ἡμῖν, ἢ βούλευσις ὀρεκτικὴ τῶν ἐφ' ἡμῖν· τοῦ γὰρ προκριθέντος ἐκ τῆς βουλῆς ἐφιέμεθα προαιρούμενοι. Βουλὴ δέ ἐστιν ὄρεξις ζητητικὴ περὶ τῶν ἐφ' ἡμῖν πρακτικῶν γινομένη· βουλεύεται γάρ τις, εἰ ὤφειλε μετελθεῖν τὸ πρᾶγμα ἢ οὔ. Εἶτα κρίνει τὸ κρεῖττον, καὶ γίνεται κρίσις. Εἶτα διατίθεται καὶ ἀγαπᾷ τὸ ἐκ τῆς βουλῆς κριθὲν, καὶ λέγεται γνώμη· ἐὰν γὰρ κρίνῃ, καὶ μὴ δια-

(1) Conf. p. 61, n. 2.

(2) Malach. IV, 2.

(3) Lemma metricum in A : Τὴν τοῦ Βαρλαὰμ φιλοσοφίαν ὅρα.

οὓς μὲν ἐκ πλούτου πρὸς πενίαν, οὓς δὲ ἐκ πενίας εἰς δόξαν, τούτους μὲν ὑπεξάγων τοῦ βίου, ἄλλους δὲ αὖθις ἀντεισάγων, τινὰς μὲν σοφοὺς καὶ συνετοὺς ἀποδοκιμάζων, ἀτίμους τε καὶ εὐτελεῖς τοὺς τιμίους καὶ περιφανεῖς ἐργαζόμενος, ἄλλους δὲ ἀσόφους τε καὶ ἀσυνέτους ἐπὶ θρόνου καθίζων δόξης (1), τιμίους τε τοὺς ἀτίμους καὶ ἀφανεῖς πᾶσι δεικνύων. Καὶ ἔστιν ἰδεῖν τὸ τῶν ἀνθρώπων γένος μηδόλως κατὰ πρόσωπον τῆς αὐτοῦ ἀπηνοῦς τυραννίδος ἔχον στάσιν· ἀλλ', ὡς ὅταν περιστερὰ, φεύγουσα ἀετὸν εἴτε ἱέρακα, τόπους ἐκ τόπων ἀμείβῃ, νῦν μὲν τούτῳ τῷ δένδρῳ, αὖθις ἐκείνῳ τῷ θάμνῳ, εἶτ' εὐθὺς τρώγλαις τῶν πετρῶν καὶ παντοίαις ἀκάνθαις ἑαυτὴν προσαράσσουσα, καὶ οὐδαμοῦ εὑρίσκουσα πρόσφυγιον ἀσφαλὲς, ἐν σάλῳ καὶ ταλαντώσει ταλαιπωρεῖται διηνεκεῖ, οὕτως εἰσὶν οἱ τοῖς παροῦσιν ἐπτοημένοι, ὑφ' ὁρμῆς μὲν ἀλογίστου ἀθλίως πονοῦντες, μηδόλως δέ τι ἔχοντες βέβαιον ἢ ἀσφαλὲς, μήτ' ἐπιστάμενοι εἰς ὁποῖον καταντῶσι τέλος, καὶ ποῦ τούτους ὁ μάταιος ἄγει βίος, ᾧ καθυπέταξαν ἑαυτοὺς λίαν δυστυχῶς καὶ ἀθλίως, πονηρὰ μὲν ἑλόμενοι ἀντὶ ἀγαθῶν, μετελθόντες δὲ κακίαν ἀντὶ χρηστότητος, ἢ τίς ὁ τὰς ψυχρὰς τῶν πολλῶν καὶ μοχθηρῶν αὐτῶν καμάτων διαδεξάμενος ἐπικαρπίας, εἴτε οἰκεῖος, εἴτε ἀλλότριος· καὶ πολλάκις οὐδὲ φίλος ὅλως ἢ γνωστὸς, ἀλλ' ἐχθρὸς καὶ πολέμιος. »

« Ταῦτα πάντα καὶ τὰ τούτοις ἑπόμενα διακρίνας ἐν τῷ τῆς ψυχῆς κριτηρίῳ, ἐμίσησα τὸν σύμπαντά μου βίον τὸν ἐν τοῖς ματαίοις ἀναλωθέντα, ὃν διήγαγον τοῖς περὶ γῆν πόνοις προστετηκώς. »

(1) Matth. xxv, 31 : καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ.

« Ἀποβαλλομένῳ δέ μοι τῆς ψυχῆς τὴν τούτων προσπάθειαν καὶ ἀποῤῥίψαντι κατέφανη τὰ τῷ ὄντι ἀγαθὰ, τὸ φοβεῖσθαι τὸν Θεὸν καὶ ποιεῖν αὐτοῦ τὸ θέλημα. Τοῦτο γὰρ ἔγνων πάντων τῶν ἀγαθῶν κεφάλαιον ὑπάρχειν· τοῦτο καὶ ἀρχὴ σοφίας λέγεται (1) καὶ σοφία τετελειωμένη· ζωὴ γάρ ἐστιν ἄλυπος καὶ ἀνεπηρέαστος τοῖς ἀντεχομένοις αὐτῆς, καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτὴν ὡς ἐπὶ Κύριον ἀσφαλής. Ἐπιστήσας οὖν μου τὸν λογισμὸν τῇ ἀπλανεστάτῃ ὁδῷ τῶν ἐντολῶν τοῦ Κυρίου (2), καὶ γνοὺς ἀκριβῶς μηδὲν ἐν αὐτῇ σκολιὸν ἢ στραγγαλιῶδες (3) ὑπάρχειν, μήτε φαράγγων καὶ σκοπέλων, ἀκανθῶν τε καὶ τριβόλων (4) πεπληρωμένην, ἀλλ' ὅλην λείαν καθεστηκέναι καὶ ὁμαλὴν, τέρπουσαν μὲν τοὺς ὀφθαλμοὺς τῶν αὐτὴν ὁδευόντων ταῖς φανοτάταις θεωρίαις, ὡραΐζουσαν δὲ τοὺς πόδας, καὶ ὑποδύουσαν τὴν ἑτοιμασίαν τοῦ εὐαγγελίου τῆς εἰρήνης (5) τοῦ ἀσφαλῶς τε καὶ συντόμως βαδίζειν· ἥνπερ (6) πάντων δικαίως προέκρινα, καὶ οἰκοδομεῖν ἠρξάμην τὴν πεσοῦσάν μου τῆς ψυχῆς καὶ φθαρεῖσαν οἰκίαν. »

« Οὕτως μου τὰ κατ' ἐμαυτὸν διατιθεμένου καὶ τὸ σφαλερὸν τοῦ νοὸς ἐπανορθοῦντος, ῥημάτων ἀκήκοα σοφοῦ τινὸς διδασκάλου τοιαῦτά μοι ἐμβοῶντος· « Ἐξέλθετε » ἔφη « πάντες οἱ ποθοῦντες σωθῆναι· ἀπο-

(1) Ps. cx, 10 : ἀρχὴ σοφίας φόβος Κυρίου. Confer t. ii, p. 15, n. 2.

(2) Psalm. cxviii, 32 : ὁδὸν ἐντολῶν σου ἔδραμον.

(3) Prov. viii, 8 : μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιὸν, οὐδὲ στραγγαλιῶδες.

(4) Cf. tom. iii, p. 181, n. 4.

(5) Respectu ad Isai. lii, 7 : ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς πόδες εὐαγγελιζομένου ἀκοὴν εἰρήνης! Inde Epist. ad Rom. x, 15 : ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά!

(6) Vide Addenda.

» χωρίσθητε τῆς ματαιότητος τοῦ κόσμου· παράγει
» γὰρ τὸ σχῆμα αὐτοῦ (1) μικρὸν ὅσον, καὶ ἰδοὺ οὐκ
» ἔσται. Ἐξέλθετε ἀμεταστρεπτὶ, μὴ προῖκα δὲ καὶ
» ἀμισθὶ, ἀλλ' ἐφόδια φερόμενοι ζωῆς αἰωνίου· μα-
» κρὰν γὰρ μέλλετε βαδίζειν ὁδὸν, πολλῶν ἔχουσαν
» χρείαν τῶν ἐντεῦθεν ἐφοδίων. Καὶ καταλαμβάνετε
» τὸν αἰώνιον τόπον χώρας ἔχοντα δύο, πολλὰς ἐν
» ἑαυταῖς μονὰς ἐχούσας, ὧν τὴν μὲν μίαν ἡτοίμασεν
» ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν καὶ τὰς αὐτοῦ φυλάτ-
» τουσιν ἐντολὰς, παντοίων οὖσαν ἀγαθῶν πεπλη-
» ρωμένην, ἥσπερ οἱ ἀξιωθέντες ἐν ἀφθαρσίᾳ ζήσονται
» διηνεκεῖ, τῆς ἀνωλέθρου ἀπολαύοντες ἀθανασίας,
» ἔνθα « ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός (2) » ;
» ἡ δὲ δευτέρα, σκότους οὖσα μεστὴ καὶ θλίψεως καὶ
» ὀδύνης, τῷ Διαβόλῳ ἡτοίμασται καὶ τοῖς Ἀγγέλοις
» αὐτοῦ (3), ἐν ᾗ βληθήσονται καὶ οἱ δι' ἔργων πονηρῶν
» ἑαυτοῖς ταύτην προξενήσαντες, οἱ τῶν ἀφθάρτων
» καὶ αἰωνίων τὰ παρόντα ἀνταλλαξάμενοι καὶ ὅλους
» ἑαυτοὺς κατάβρωμα τοῦ αἰωνίου πυρὸς ποιησάμενοι. »

« Ταύτης ἐγὼ τῆς φωνῆς ἀκούσας καὶ τὸ ἀψευδὲς αὐτῆς ἐπιγνοὺς, ἐκεῖνο καταλαβεῖν τὸ κατάλυμα ἔργον ἐθέμην, τὸ πάσης μὲν ἀπηλλαγμένον ὀδύνης τε καὶ λύπης, τοσαύτης δὲ ἀσφαλείας καὶ τοιούτων ἀγαθῶν πλῆρες ὑπάρχον, ὧν ἡ γνῶσις νυνὶ μὲν ἐκ μέρους ἐστὶν ἐν ἐμοὶ, νηπίῳ τε ὄντι τὴν πνευματικὴν ἡλικίαν, καὶ ὡς δι' ἐσόπτρων καὶ αἰνιγμάτων τὰ ἐκεῖθεν

(1) I Epist. ad Cor. VII, 31 : *παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου.* I Epistola Joann. II, 17 : *ὁ κόσμος παράγεται.*

(2) Isai. XXXV, 10.

(3) Matth. XXV, 41 : *τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ Διαβόλῳ καὶ τοῖς Ἀγγέλοις αὐτοῦ.*

βλέποντι (1)· ὅτε δὲ ἔλθῃ τὸ τέλειον, καὶ ἐπιγνώσομαι πρόσωπον πρὸς πρόσωπον, τότε τὸ ἐκ μέρους καταργηθήσεται (2). « Εὐχαριστῶ τοίνυν τῷ Θεῷ διὰ » Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν (3)· ὁ γὰρ νόμος (4) » τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέ- » ρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανά- » του », καὶ διήνοιξέ μου τοὺς ὀφθαλμοὺς ἀπλανῶς κατιδεῖν ὅτι « τὸ φρόνημα (5) τῆς σαρκὸς θάνατος, » τὸ δὲ φρόνημα τοῦ πνεύματος ζωὴ καὶ εἰρήνη. »

« Καὶ καθάπερ οὖν ἐγὼ, τῶν παρόντων ἐπιγνοὺς τὴν ματαιότητα, τέλειον αὐτὰ ἐμίσησα μῖσος (6), οὕτω δὴ καὶ σὲ γινώσκειν περὶ τούτων συμβουλεύω, ἵνα ὡς ἀλλοτρίοις διατεθῇς αὐτοῖς καὶ θᾶττον παρερχομένοις, ἀφελόμενος δι' ἐντεῦθεν πάντα, θησαυρίσῃς σεαυτῷ ἐν τῷ ἀφθάρτῳ αἰῶνι θησαυρὸν ἀσύλητον, πλοῦτον ἀδαπάνητον, ἔνθα σε δεῖ ἀνυπερθέτως πορευθῆναι, ἵνα, ὅταν ἀπέλθῃς, οὐχ ὑστερούμενος ἔσῃ, ἀλλὰ πλούτῳ βρίθων (7), καθάπερ σοι τὴν τούτων ἀνεθέμην ἀνωτέρω καταλληλοτάτην εἰκόνα. »

Λέγει δὲ ὁ Ἰωάσαφ τῷ γέροντι· « Πῶς οὖν δυνή-

(1) Gregorius Naz. Orat. XVI, p. 251 : *δόξης θεωρίαν, νῦν μὲν τὴν ἐν ἐσόπτροις τε καὶ αἰνίγμασι, τότε δὲ τὴν τελεωτέραν τε καὶ καθαρωτέραν*. Respexit uterque I Epist. ad Cor. : cf. nota seq.

(2) I Epist. ad Cor. XIII, 9, 10, 11, 12 : *ἐκ μέρους γὰρ γινώσκομεν.... ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται..... ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν...... βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον· ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην*.

(3) Epist. ad Rom. VII, 25.

(4) Ibid. VIII, 2.

(5) Ibid. VIII, 6.

(6) Cf. p. 86, n. 6.

(7) Soph. Aj. 129 : *Μηδ' ὄγκον ἄρῃς μηδέν' εἴ τινος πλέον Ἢ χειρὶ βρίθεις ἢ μακροῦ πλούτου βάθει*. Glossator in cod. 2812 A : *βρίθεις*] *μεγάλην ἰσχὺν ἔχεις· τὸ γὰρ βρίθειν ἐπὶ μεγάλου καὶ βαρέος*. Idem

σομαι θησαυροὺς χρημάτων καὶ πλούτου ἐκεῖσε προπέμπειν, ὡς ἂν ἄσυλον αὐτῶν καὶ ἀνώλεθρον τὴν ἀπόλαυσιν ἀπελθὼν εὕρω; πῶς δὲ δείξω τὸ πρὸς τὰ παρόντα μου μῖσος, καὶ τῶν αἰωνίων ἀνθέξομαι; μάλα σαφήνισόν μοι. »

Καί φησιν ὁ Βαρλαάμ· « Ἡ μὲν τοῦ πλούτου τούτου πρὸς τὸν αἰώνιον τόπον προπομπὴ ταῖς χερσὶ γίνεται τῶν πενήτων. Φησὶ γάρ τις τῶν προφητῶν, Δανιὴλ ὁ σοφώτατος, τῷ βασιλεῖ Βαβυλῶνος· « Διὰ » τοῦτο (1), βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι· καὶ » τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι καὶ » τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων. » Λέγει δὲ καὶ ὁ Σωτήρ· « Ποιήσατε (2) ἑαυτοῖς φίλους ἐκ τοῦ » μαμωνᾶ τῆς ἀδικίας, ἵν', ὅταν ἐκλίπητε, δέξων- » ται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. » Καὶ πολὺν ἄνω τε καὶ κάτω λόγον (3) ὁ Δεσπότης τῆς ἐλεημοσύνης καὶ μεταδόσεως τῶν πενήτων ποιεῖται, καθὼς ἐν τῷ εὐαγγελίῳ μανθάνομεν. »

« Οὕτως μὲν οὖν ἀσφαλέστατα λίαν ἐκεῖσε προπέμψεις πάντα ταῖς τῶν δεομένων χερσίν· ὅσα γὰρ εἰς τούτους ποιήσεις, ἑαυτῷ ὁ Δεσπότης οἰκειούμενος (4) πολυπλασίως σε ἀνταμείψεται· νικᾷ γὰρ

liber habet βάθει, quod neutiquam prætulerim. Ceterum erat illa varietas jam ex aliis codicibus nota. Liceat ex eodem libro, non bono, novam eamque bonam, imo optimam, lectionem proferre. Editiones sic exhibent v. 36 : πάλαι φύλαξ ἔβην Τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ. Notus est tragicorum dorismus in κυναγός, estque κυναγία in Hippolyto 108 : τερπνὸν ἐκ κυναγίας Τράπεζα πλήρης. Unde in Ajacis loco κυνηγίᾳ Elmsleio, ad Bacch. 339, displicebat. Poterunt jam critici Sophocli restituere κυναγίᾳ ex hujus codicis auctoritate.

(1) Dan. IV, 24.

(2) Luc. XVI, 9.

(3) Luc. XI, 41, XII, 33, XIX, 8; Matth. XIX, 21.

(4) Matth. XXV, 40 : ἐφ' ὅσον

ἀεὶ ταῖς τῶν δωρεῶν ἀντιδόσεσι τοὺς ἀγαπῶντας αὐτόν. Τούτῳ μὲν οὖν τῷ τρόπῳ τέως τοὺς θησαυροὺς τοῦ σκότους τοῦ αἰῶνος τούτου (1) συλήσας, ᾧ τεταλαιπώρηκας πολὺν ἤδη χρόνον ἐκδουλεύων, καλῶς ἐκ τούτων πρὸς τὸ μέλλον ἐφοδιασθήσῃ, καὶ τοῦ ἀλλοτρίου ἀφελόμενος σεαυτῷ πάντα προαποθήσῃ, διὰ τῶν ῥευστῶν τούτων καὶ προσκαίρων (2) τὰ ἑστῶτα καὶ μένοντα ἐξωνησάμενος· ἔπειτα, τοῦ Θεοῦ συνεργοῦντός σοι, κατανοήσεις τὸ ἄστατον τοῦ κόσμου καὶ ἀνώμαλον (3), καὶ, χαίρειν πᾶσιν εἰπὼν, πρὸς τὸ μέλλον μεθορμισθήσῃ, παραδραμὼν μὲν τὰ παρατρέχοντα, τοῖς ἐλπιζομένοις δὲ καὶ ἱσταμένοις προστεθήσῃ, καὶ τὸ σκότος μὲν ἀπολιπὼν σὺν τῇ σκιᾷ τοῦ θανάτου (4), μισήσας δὲ τὸν κόσμον καὶ κοσμοκράτορα, καὶ τὴν φθειρομένην σάρκα ἐχθρὰν ἑαυτῷ λογισάμενος, τῷ φωτὶ προσδράμῃς τῷ ἀπροσίτῳ (5), καὶ, τὸν σταυρὸν ἐπ' ὤμων ἄρας, ἀκολουθήσεις αὐτῷ (6) ἀμεταστρεπτὶ, ἵνα καὶ σὺν αὐτῷ δοξασθῇς καὶ τῆς οὐκ ἔτι μεταπιπτούσης ζωῆς οὐδὲ ἀπατηλῆς ἀναδειχθῇς κληρονόμος. »

Ὁ δὲ Ἰωάσαφ « Τὸ πάντων οὖν » φησίν, « ὑπεριδεῖν καὶ ἐπίπονον οὕτως ἀναλαβέσθαι βίον, καθάπερ εἴρηκας ἀνωτέρω, παράδοσίς ἐστιν ἀρχαία ἐκ τῆς τῶν Ἀποστόλων κατιοῦσα διδαχῆς; ἢ ἔναγχος ὑμῖν ἐπινενόηται τῇ τοῦ νοὸς ὑμῶν ἐπιστήμῃ, ὡς κρεῖττον ἐκλεξαμένοις τοῦτο; »

ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.

(1) Cf. p. 13, n. 3; p. 120, 7.

(2) Conf. p. 121, n.

(3) Conf. p. 109, n. 1.

(4) Junxit et Jer. XIII, 16: ἐκεῖ σκιὰ θανάτου καὶ τεθήσονται εἰς σκότος.

(5) Conf. p. 44, n. 2.

(6) Conf. Marc. VIII, 34; mox p. 128, 9.

Πρὸς ὃν ὁ γέρων ἔφη· « Οὐ νόμον προσφάτως εἰσενεχθέντα διδάσκω σε (μὴ γένοιτο!), ἀλλ' ἔκπαλαι δοθέντα ἡμῖν. Εἶπεν γὰρ ὁ Κύριος πλουσίῳ τινὶ ἐπερωτήσαντι αὐτόν, « Τί ποιήσας (1) ζωὴν αἰώνιον » κληρονομήσω »; καὶ καυχωμένῳ πάντα φυλάξαι τὰ γεγραμμένα ἐν τῷ νόμῳ· « Ἕν σοι » φησίν (2), « ὑστερεῖ· ὕπαγε, ὅσα ἔχεις πώλησον καὶ δὸς πτωχοῖς, » καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς· καὶ δεῦρο ἀκολούθει » μοι, ἄρας τὸν σταυρόν. Ὁ δὲ (3) ταῦτα ἀκούσας πε» ρίλυπος ἐγένετο· ἦν γὰρ πλούσιος σφόδρα. Ἰδὼν » δὲ αὐτὸν ὁ Ἰησοῦς περίλυπον γενόμενον, εἶπε· Πῶς » δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰσελεύσονται » εἰς τὴν βασιλείαν τοῦ Θεοῦ! εὐκοπώτερον γάρ ἐστι » κάμηλον (4) διὰ τρυμαλιᾶς ῥαφίδος διελθεῖν, ἢ » πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. »

« Ταύτης οὖν τῆς ἐντολῆς πάντες ἀκούσαντες οἱ ἅγιοι ἀποχωρισθῆναι πάντη τῆς τοιαύτης τοῦ πλούτου δυσκολίας ἐφρόντισαν· καὶ πάντα σκορπίσαντες, καὶ διὰ τῆς τῶν πενήτων διαδόσεως πλοῦτον ἑαυτοῖς αἰώνιον προαποθέμενοι, ἦραν τὸν σταυρὸν καὶ τῷ Χριστῷ ἠκολούθησαν, οἱ μὲν μαρτυρικῶς, καθὰ δὴ καὶ εἶπόν σοι, τελειωθέντες, οἱ δὲ ἀσκητικῶς ἀγωνισάμενοι, καὶ μηδὲν ἐκείνων ἀπολιπόντες τῇ ἀγωγῇ τῆς ἀληθινῆς ταύτης φιλοσοφίας. »

« Ἐντολὴν οὖν ταύτην εἶναι γίνωσκε Χριστοῦ τοῦ

(1) Luc. XVIII, 18.
(2) Marc. X, 21.
(3) Luc. XVIII, 23.
(4) Habent AC κάμηλον. Billyus vertit *un chable*. Vel in cod. suo κάμιλον reperiebat, vel faciebat cum iis qui sic pro κάμηλον legendum suadent et rudentem esse κάμιλον monstrant. Quæ lectio, etsi probabilitate quadam non careat, vulgatæ tamen neutiquam est præferenda.

βασιλέως ἡμῶν καὶ Θεοῦ, ἀπάγουσαν ἡμᾶς τῶν φθαρτῶν καὶ τῶν ἀϊδίων μετόχους ἐργαζομένην. »

« Παλαιᾶς οὖν » φησὶν ὁ Ἰωάσαφ, « καὶ οὕτως ἀναγκαίας οὔσης τῆς τοιαύτης φιλοσοφίας, πῶς οὐ πολλοὶ ζηλοῦσι σήμερον τουτονὶ τὸν βίον; »

Ὁ δὲ γέρων ἔφη· « Πολλοὶ μὲν ἐζήλωσαν καὶ ζηλοῦσιν, οἱ πλεῖστοι δὲ ὀκνοῦσι καὶ ἀναδύονται. Ὀλίγοι γάρ, καθά φησιν ὁ Κύριος, οἱ τῆς στενῆς ὁδοῦ καὶ τεθλιμμένης ὁδοιπόροι (1), τῆς ἀνειμένης δὲ καὶ πλατείας οἱ πλείους (2). Οἱ γὰρ καθάπαξ ὑπὸ φιλοχρηματίας καὶ τῶν τῆς φιληδονίας κακῶν ἁλόντες, τῇ κενῇ δὲ καὶ ματαίᾳ προσιετηκότες δόξῃ, δυσαποσπάστως αὐτῶν ἔχουσιν, ὡς ἅτε δούλους ἑαυτοὺς ἑκουσίως ἀπεμπολήσαντες ἀλλοτρίῳ δεσπότῃ, καὶ ἀπ' ἐναντίας ἱστάμενοι τῷ ταῦτα ἐπιτάττοντι Θεῷ, καὶ δέσμιοι αὐτῷ κατεχόμενοι. Ψυχὴ γὰρ καθάπαξ ἀπογνοῦσα τῆς οἰκείας σωτηρίας, τὰς ἡνίας αὐτῆς ἐνδοῦσα ταῖς ἀλόγοις ἐπιθυμίαις, πανταχοῦ περιφέρεται. Διὰ τοῦτο ὀλοφυρόμενος ὁ Προφήτης τὴν περικεχυμένην ἄνοιαν ταῖς τοιαύταις ψυχαῖς, καὶ τῆς ἐπικειμένης αὐταῖς ἀχλύος τὴν παχύτητα θρηνῶν, ἔλεγεν· « Υἱοὶ (3) ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἱνατί » ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος »; Ὅτῳ τις καὶ τῶν ἡμετέρων σοφῶν διδασκάλων, θεολογικώτατος ἀνὴρ (4), συνᾴδων, καί τινα παρ' ἑαυτοῦ προστιθεὶς, ἐκβοᾷ πᾶσιν ὡς ἐξ ἀπόπτου τινὸς καὶ

(1) Matth. VII, 13: στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν· καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.

(2) Matth. VII, 13: πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς.

(3) Psalm. IV, 2.

(4) Greg. Naz. Or. IX, p. 151.

ὑψηλοτάτης περιωπῆς (1)· « Υἱοὶ ἀνθρώπων, ἕως
» πότε βαρυκάρδιοι; ἱνατί ἀγαπᾶτε ματαιότητα
» καὶ ζητεῖτε ψεῦδος; μέγα τι τὸν ἐνταῦθα βίον καὶ
» τὴν τρυφὴν καὶ τὸ μικρὸν δοξάριον καὶ τὴν ταπεινὴν
» δυναστείαν καὶ τὴν ψευδομένην εὐημερίαν ὑπολαμ-
» βάνοντες, ἃ μὴ τῶν ἐχόντων μᾶλλον ἐστὶν ἢ τῶν
» ἐλπισάντων, οὐδὲ τούτων μᾶλλον ἢ τῶν οὐδὲ προσ-
» δοκησάντων, ὥσπερ χοῦς ὑπὸ λαίλαπος ἄλλοτε
» εἰς ἄλλους ῥιπιζόμενα καὶ μεταῤῥιπτούμενα, ἢ
» ὥσπερ καπνὸς διαῤῥέοντα, καὶ ὡς ὄναρ παίζοντα,
» καὶ ὡς σκιὰ μὴ κρατούμενα, οὔτε ἀπόντα δυσέλ-
» πιστα τοῖς οὐ κεκτημένοις, οὔτε παρόντα πιστὰ
» τοῖς ἔχουσιν. »

« Οὕτως οὖν τοῦ Σωτῆρος ἐντελλομένου, τῶν προφητῶν τε καὶ Ἀποστόλων κηρυττόντων, καὶ τῶν ἁγίων πάντων ἔργῳ τε καὶ λόγῳ εἰς τὴν τῆς ἀρετῆς συνωθούντων ἡμᾶς ἀπλανεστάτην ὁδὸν, κἂν ὀλίγοι οἱ ταύτην ὁδεύοντες, πλείους δὲ οἱ τὴν εὐρύχωρον καὶ πρὸς ἀπώλειαν ἄγουσαν προκρίνοντες, οὐκ ἐκ τούτου ἡ πολιτεία τῆς ἐνθέου ταύτης καὶ τὰ σμικρυνθήσεται φιλοσοφίας, ἀλλὰ, καθάπερ ὁ ἥλιος, εἰς φαῦσιν πᾶσιν ἀνατέλλων, ἀφθόνως αὐτοῦ τὰς ἀκτῖνας προπέμπει πάντας φωτίζεσθαι προτρεπόμενος, οὕτω καὶ ἡ ἀληθὴς φιλοσοφία τοὺς αὐτῆς ἐραστὰς ἡλίου δίκην φωταγωγεῖ καὶ περιθάλπει καὶ λαμπροὺς ἀποδείκνυσιν. Εἰ δέ τινες, μύσαντες τοὺς ὀφθαλμοὺς, κατιδεῖν αὐτοῦ τὸ φέγγος οὐ θελήσουσιν, οὔτε μεμπτέος παρὰ τοῦτο ὁ ἥλιος, οὔτε τοῖς λοιποῖς παροπτέος, οὔτε μὴν ἡ δόξα τῆς αὐτοῦ λαμπρότητος διὰ τῆς ἐκείνων ἀτιμασθήσεται ἀβελ-

(1) De loquutione Hasius vid. ad Leonem Diac. p. 213.

τηρίας· ἀλλ' ἐκεῖνοι μὲν τοῦ φωτὸς ἑαυτοὺς ἀποστερήσαντες, ὡς τυφλοὶ ψηλαφήσουσι τοῖχον, πολλοῖς δὲ ἐμπεσοῦνται βόθροις, καὶ πολλαῖς ἐκκεντηθήσονται τὰς ὄψεις ἀκάνθαις, ὁ δὲ ἥλιος ἐπὶ τῆς ἰδίας ἱστάμενος λαμπρότητος φωτιεῖ τοὺς ἀνακεκαλυμμένῳ προσώπῳ τὸ φέγγος αὐτοῦ κατοπτριζομένους (1). Τὸν αὐτὸν δὴ τρόπον καὶ τὸ τοῦ Χριστοῦ φῶς φαίνει μὲν πᾶσι πλουσίως, μεταδιδὸν ἡμῖν τῆς αὐτοῦ λαμπηδόνος· μετέχει δὲ ἕκαστος καθ' ὅσον ἐφέσεως ἔχει καὶ προθυμίας· οὔτε γὰρ ἀποστερεῖ τινὰ τῶν βουλομένων αὐτῷ ἐνατενίζειν ὁ ἥλιος τῆς δικαιοσύνης (2), οὔτε μὴν βιάζεται τοὺς ἑκουσίως τὸ σκότος ἐκλεγομένους· ἀλλὰ τῇ ἰδίᾳ ἕκαστος ἐφεῖται αὐτεξουσίῳ προαιρέσει, ἕως ἐν τῷ παρόντι βίῳ ἐστί. »

Τοῦ δὲ Ἰωάσαφ πυθομένου τί τὸ αὐτεξούσιον καὶ τί προαίρεσις, φησὶν ὁ γέρων· « Αὐτεξουσιότης (3) μέν ἐστι ψυχῆς λογικῆς θέλησις, ἀκωλύτως κινουμένη πρὸς ὅπερ ἂν βούλοιτο, εἴτε ἀρετὴν εἴτε κακίαν, οὕτως ὑπὸ τοῦ δημιουργοῦ γενομένης. Αὐτεξουσιότης αὖθις ἐστὶ νοερᾶς ψυχῆς κίνησις αὐτοκρατής. Προαίρεσις δέ ἐστιν ὄρεξις βουλευτικὴ τῶν ἐφ' ἡμῖν, ἢ βούλευσις ὀρεκτικὴ τῶν ἐφ' ἡμῖν· τοῦ γὰρ προκριθέντος ἐκ τῆς βουλῆς ἐφιέμεθα προαιρούμενοι. Βουλὴ δέ ἐστιν ὄρεξις ζητητικὴ περὶ τῶν ἐφ' ἡμῖν πρακτικῶν γινομένη· βουλεύεται γάρ τις, εἰ ὤφειλε μετελθεῖν τὸ πρᾶγμα ἢ οὔ. Εἶτα κρίνει τὸ κρεῖττον, καὶ γίνεται κρίσις. Εἶτα διατίθεται καὶ ἀγαπᾷ τὸ ἐκ τῆς βουλῆς κριθὲν, καὶ λέγεται γνώμη· ἐὰν γὰρ κρίνῃ, καὶ μὴ δια-

(1) Conf. p. 61, n. 2.
(2) Malach. IV, 2.
(3) Lemma metricum in A : Τὴν τοῦ Βαρλαὰμ φιλοσοφίαν ὅρα.

τεθῇ πρὸς τὸ κριθὲν, ἤγουν ἀγαπήσῃ αὐτὸ, οὐ λέγεται γνώμη. Εἶτα μετὰ τὴν διάθεσιν, γίνεται προαίρεσις, ἤγουν ἐπιλογή· προαίρεσις γάρ ἐστι δύο προκειμένων τὸ ἓν αἱρεῖσθαι, καὶ ἐκλέγεσθαι τοῦτο πρὸ τοῦ ἑτέρου. Καὶ τοῦτο φανερὸν, ὅτι βουλή ἐστι μετ' ἐπικρίσεως ἡ προαίρεσις, καὶ ἐξ αὐτῆς τῆς ἐτυμολογίας· προαιρετὸν γάρ ἐστι τὸ ἕτερον πρὸ τοῦ ἑτέρου αἱρετόν (1)· οὐδεὶς δὲ προκρίνει τι μὴ βουλευσάμενος, οὐδὲ προαιρεῖται μὴ προκρίνας. Ἐπειδὴ γὰρ οὐ πάντα τὰ δόξαντα ἡμῖν εὖ ἔχειν εἰς ἔργον ἀγαγεῖν προθυμούμεθα, τότε προαίρεσις, καὶ προαιρετὸν γίνεται τὸ προκριθὲν ἐκ τῆς βουλῆς, ὅταν προσλάβῃ τὴν ὄρεξιν. Καὶ οὕτω συνάγεται προαίρεσιν εἶναι ὄρεξιν βουλευτικὴν τῶν ἐφ' ἡμῖν· τοῦ γὰρ προκριθέντος ἐκ τῆς βουλῆς ἐφιέμεθα προαιρούμενοι. Πᾶσα γὰρ βουλὴ πράξεως ἕνεκα καὶ διὰ πρᾶξιν· καὶ οὕτω πάσης μὲν προαιρέσεως βουλὴ ἡγεῖται, πάσης δὲ πράξεως προαίρεσις. Διὰ τοῦτο οὐ μόνον αἱ πράξεις, ἀλλὰ καὶ τὰ κατὰ διάνοιαν, ἅτινα τὰς προαιρέσεις παριστῶσι, καὶ στεφάνους καὶ κολάσεις προξενοῦσιν. Ἀρχὴ γὰρ ἁμαρτίας καὶ δικαιοπραγίας προαίρεσίς ἐστιν ἐν τοῖς ἐφ' ἡμῖν καταγομένη· ὧν γὰρ αἱ ἐνέργειαι ἐφ' ἡμῖν, τούτων καὶ αἱ πράξεις αἱ κατὰ τὴν ἐνέργειαν ἐφ' ἡμῖν· ἐφ' ἡμῖν δὲ αἱ κατὰ τὴν ἀρετὴν ἐνέργειαι, ἐφ' ἡμῖν ἄρα καὶ αἱ ἀρεταί· κυρίως γὰρ ἐφ' ἡμῖν ἐστι τὰ ψυχικὰ πάντα καὶ περὶ ὧν βουλευόμεθα. Οὕτως αὐτεξουσίως

(1) Æneas Gaz. Theophrasto, p. 30 : νοῦς ἀγαθὸς ἀλόγῳ σώματι χρώμενος, αὐτοκράτωρ δὲ γινόμενος, κατ' ἐξουσίαν ἄνω καὶ κάτω μεταχωρεῖ, ἕτερον αἱρούμενος προτέρου· τοῦτο γὰρ ἡ ἀνθρώπου προαίρεσις. Non προτέρου, sed πρὸ ἑτέρου commode exhibet codex 461.

βουλευομένων τῶν ἀνθρώπων καὶ αὐτεξουσίως προαιρουμένων, καθ' ὅσον ἂν τις προαιρῆται, κατὰ τοσοῦτον καὶ μετέχει τοῦ θείου φωτὸς καὶ προκόπτει ἐν τοῖς τῆς φιλοσοφίας ἐπιτηδεύμασι· διαφοραὶ γὰρ προαιρέσεως εἰσί. Καὶ καθάπερ τινὲς πηγαὶ ὑδάτων ἐκ τῶν τῆς γῆς λαγόνων αναπεμπόμεναι, αἱ μὲν ἐπιπολαίως τῆς γῆς ἐκβλύζουσιν, αἱ δὲ μικρόν τι βαθύτερον, αἱ δὲ λίαν βαθέως, τούτων δὲ τῶν ὑδάτων τὰ μὲν προσεχῶς ἐκβλύζοντα καὶ τῇ γεύσει γλυκέα, τὰ δὲ βαθέως ἐξερχόμενα καὶ ἁλμυρίζοντα ἢ θεαφίζοντα (1), καὶ τὰ μὲν ἀφθόνως ἐκδιδόμενα, τὰ δὲ κατὰ μικρὸν στάζοντα: οὕτως καὶ ἐπὶ τῶν προαιρέσεων νόει, τὰς μὲν ταχείας εἶναι καὶ λίαν θερμοτάτας, τὰς δὲ νωθρὰς καὶ ψυχρὰς, καὶ τὰς μὲν ὅλως ἐπὶ τὰ καλὰ τὴν ῥοπὴν κεκτημένας, τὰς δὲ πρὸς τὸ ἐναντίον πάσῃ δυνάμει ἀποκλινούσας. Κατὰ γοῦν τὰς αὐτῶν διαθέσεις, καὶ αἱ πρὸς τὰς πράξεις ἀκολουθοῦσιν ὁρμαί. »

Λέγει δὲ ὁ Ἰωάσαφ πρὸς τὸν γέροντα· « Εἰσὶν οὖν καὶ ἕτεροί τινες (2) νῦν οἱ κατὰ ταῦτα κηρύττοντες ὥσπερ σύ; ἢ μόνος εἶ σήμερον ὁ ταῦτα διδάσκων, καὶ οὕτως μισητὸν τὸν παρόντα βίον διηγούμενος; »

(1) C, εἴπη ἀφανίζοντα. Mox C, σταλάζοντα. Participio στάζοντα mihi loci Sophoclei, Ajacis initio, memoria renovatur : Ἄρτι γὰρ ἀνὴρ εἴσω τυγχάνει, κάρα στάζων ἱδρῶτι. In quo qui voluere jungi τυγχάνει κάρα στάζων, ob constantem hujus verbi ac participii societatem, jam satis fuerunt verbis ex Electra refutati, Νῦν δ' ἀγχοῦ τυγχάνει, aliisque exemplis parilibus. Quibus et reponendum videtur, multo magis ad rem facere atque esse opportunius si moneatur Ulysses de recente Ajacis in tentorium reditu, addita capitis sudore diffluentis descriptione, quam si id illi tantum significetur Ajacis caput jam sudare.

(2) A, ἄλλοι τινές.

Ὁ δὲ ἀποκριθεὶς εἶπεν· «Ἐν τῇ καθ' ὑμᾶς δυστυχεστάτῃ χώρᾳ ταύτῃ οὐδένα γινώσκω. Ἡ γὰρ τοῦ σοῦ πατρὸς τυραννὶς μυρίοις τούτους θανάτοις περιέβαλε, καὶ ἔργον ἔθετο μὴ τὸ σύνολον ἀκούεσθαι ἐν ὑμῖν τὸ τῆς θεογνωσίας κήρυγμα. Ἐν πάσαις δὲ ταῖς λοιπαῖς γλώσσαις ᾄδεται ταῦτα καὶ δοξάζεται, οἷς μὲν ὀρθοτάτῳ λόγῳ, ἄλλοις δὲ διεστραμμένως, τοῦ πολεμίου τῶν ἡμετέρων ψυχῶν ἐκκλίνειν αὐτοὺς τῆς εὐθείας ποιησαμένου καὶ ἀλλοτρίαις καταμερισαμένου δόξαις, καὶ ῥήσεις τινὰς τῶν γραφῶν ἄλλως καὶ οὐ κατὰ τὸν ἐγκείμενον νοῦν μεθερμηνεύειν διδάξαντος. Μία δέ ἐστιν ἡ ἀλήθεια, ἡ κηρυχθεῖσα διὰ τῶν ἐνδόξων Ἀποστόλων καὶ τῶν θεοφόρων πατέρων, καὶ ἐν τῇ καθολικῇ ἐκκλησίᾳ τῇ ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης ἡλίου φαιδρότερον διαλάμπουσα, ἧσπερ ἐγὼ κήρυξ καὶ διδάσκαλος ἀπεστάλην σοι.»

Εἶπε δὲ ὁ Ἰωάσαφ πρὸς αὐτόν· «Οὐδὲν οὖν τούτων ὁ ἐμὸς μεμάθηκε πατήρ;»

Καὶ φησὶν ὁ γέρων· «Τρανῶς μὲν καὶ προσηκόντως οὐδὲν μεμάθηκε· βύων γὰρ τὰς αἰσθήσεις, τὸ ἀγαθὸν ἑκὼν οὐ προσδέχεται, πρὸς τὸ κακὸν αὐτοπροαιρέτως τὴν ῥοπὴν κεκτημένος.» «Ἀλλ' ἤθελον» φησὶν ὁ Ἰωάσαφ, «κἀκεῖνον ταῦτα μυηθῆναι.»

Ὁ δὲ γέρων «Τὰ παρὰ ἀνθρώποις» εἶπεν, «ἀδύνατα, παρὰ τῷ Θεῷ πάντα δυνατά ἐστι (1). Τί γὰρ οἶδας εἰ σὺ σώσεις τὸν πατέρα σου, καὶ τρόπῳ θαυμασίῳ γεννήτωρ τοῦ σοῦ χρηματίσεις γεννήτορος (2);»

(1) Marc. x, 27: παρὰ ἀνθρώποις ἀδύνατον, ἀλλ' οὐ παρὰ τῷ Θεῷ· πάντα γὰρ δυνατά ἐστι παρὰ τῷ Θεῷ. Cf. similia apud Matth. xix, 26.

(2) Lemma metricum in A: Τὴν τοῦ Βαρλαὰμ προφητείαν νῦν ἴδε.

« Ἀκήκοα γὰρ βασιλέα τινὰ γεγονέναι πάνυ καλῶς τὴν ἑαυτοῦ οἰκονομοῦντα βασιλείαν, πρᾴως τε καὶ ἠπίως τῷ ὑπ' αὐτὸν κεχρημένον λαῷ, ἐν τούτῳ δὲ μόνῳ σφαλλόμενον, τῷ μὴ πλουτεῖν τὸν τῆς θεογνωσίας φωτισμὸν, ἀλλὰ τῇ πλάνῃ τῶν εἰδώλων κατέχεσθαι. Εἶχε δέ τινα σύμβουλον ἀγαθὸν καὶ παντοίως κεκοσμημένον τῇ τε πρὸς τὸν Θεὸν εὐσεβείᾳ καὶ τῇ λοιπῇ πάσῃ ἐναρέτῳ σοφίᾳ· ὃς, ἀχθόμενος καὶ δυσχεραίνων ἐπὶ τῇ πλάνῃ τοῦ βασιλέως καὶ βουλόμενος αὐτὸν περὶ τούτου ἐλέγξαι, ἀνεχαιτίζετο τῆς ὁρμῆς, δεδοικὼς μὴ κακῶν πρόξενος ἑαυτῷ τε καὶ τοῖς αὐτοῦ ἑταίροις γένοιτο καὶ τὴν γινομένην δι' αὐτοῦ πολλῶν ὠφέλειαν περικόψειεν. Ἐζήτει δὲ ὅμως καιρὸν εὔθετον τοῦ ἑλκῦσαι αὐτὸν πρὸς τὸ ἀγαθόν.

Φησὶν οὖν ἐν μιᾷ νυκτὶ πρὸς αὐτὸν ὁ βασιλεύς· « Δεῦρο δὴ, ἐξέλθωμεν καὶ ἐμπεριπατήσωμεν τὴν πό» λιν, εἴ πού τι τῶν ὠφελούντων (1) ὀψόμεθα. » Ἐμπεριπατούντων δὲ αὐτῶν τὴν πόλιν, εἶδον φωτὸς αὐγὴν ἀπό τινος τρυμαλιᾶς λάμπουσαν· καὶ, ταύτῃ τοὺς ὀφθαλμοὺς ἐπιβαλόντες, βλέπουσιν ὑπόγειόν τι ἀντρῶδες οἴκημα, ἐν ᾧ προύκαθέζετο ἀνὴρ ἐσχάτῃ συζῶν πενίᾳ καὶ εὐτελῆ τινα περικείμενος ῥάκια. Παρίστατο δὲ ἡ γυνὴ αὐτοῦ οἶνον κιρνῶσα (2). Τοῦ δὲ ἀνδρὸς τὴν κύλικα ἐπὶ χεῖρας λαβόντος, λιγυρὸν ᾄδουσα μέλος ἐκείνη, τέρψιν αὐτῷ ἐνεποίει ὀρχουμένη, καὶ τὸν ἄνδρα ἐγκωμίοις καταθέλγουσα. Οἱ περὶ τὸν βασιλέα τοίνυν, ἐπὶ ὥραν ἱκανὴν ταῦτα κατανοοῦντες, ἐθαύμαζον ὅτι, τοιαύτῃ πιεζόμενοι πενίᾳ ὡς μήτε οἴκου εὐπορεῖν μήτ' ἐσθῆτος, οὕτως εὐθύμως τὸν βίον διῆγον. Καὶ

(1) C, ὀφειλομένων. (2) A sine οἶνον.

φησὶν ὁ βασιλεὺς τῷ πρωτοσυμβούλῳ (1) αὐτοῦ·
« Ὢ τοῦ θαύματος, φίλε, ὅτι ἐμοί τε καὶ σοὶ οὐδὲ
» οὕτως ὁ καθ' ἡμᾶς ποτὲ ἤρεσε βίος, τοσαύτῃ δόξῃ
» καὶ τρυφῇ περ (2) διαλάμπων, ὡς ἡ εὐτελὴς αὕτη
» καὶ ταλαίπωρος ζωὴ τούτους δὴ τοὺς ἀνοήτους τέρπει,
» καὶ ἡδύνει λεῖος αὐτοῖς καὶ προσηνὴς ὁ τραχὺς
» οὗτος καὶ ἀπευκταῖος βίος καταφαινόμενος! »

« Εὐκαίρου δὲ δραξάμενος ὁ πρωτοσύμβουλος ὥρας, ἔφη· « Ἀλλὰ σοί γε, βασιλεῦ, πῶς ἡ τούτων φαί-
» νεται βιοτή » ; « Πάντων » φησὶν ὁ βασιλεύς,
« ὧν πώποτε ἑώρακα ἀηδεστάτη καὶ δυστυχεστάτη,
» βδελυκτή τε καὶ ἀποτρόπαιος. » Τότε λέγει πρὸς αὐτὸν ὁ πρωτοσύμβουλος· « Οὕτως οὖν, εὖ ἴσθι, βα-
» σιλεῦ, καὶ πολλῷ χαλεπώτερος ὁ καθ' ἡμᾶς λε-
» λόγισται βίος τοῖς ἐπόπταις καὶ μύσταις τῆς ἀϊδίου
» δόξης ἐκείνης καὶ τῶν πάντα νοῦν ὑπερβαινόντων
» ἀγαθῶν· αἵ τε χρυσῷ καταστίλβουσαι οἰκίαι καὶ
» τὰ λαμπρὰ ταῦτα ἐνδύματα, καὶ ἡ λοιπὴ τοῦ
» βίου τούτου τρυφὴ, σκυβάλων τε καὶ ἀμαρῶν εἰσὶν
» ἀηδέστερα τοῖς ὀφθαλμοῖς τῶν εἰδότων τὰ ἀνεκ-
» διήγητα κάλλη τῶν ἐν οὐρανοῖς ἀχειροτεύκτων
» σκηνωμάτων (3), τῆς θεοϋφάντου τε στολῆς καὶ
» τῶν ἀφθάρτων διαδημάτων, ἃ ἡτοίμασεν ὁ Θεὸς
» τοῖς ἀγαπῶσιν αὐτὸν (4), ὁ πάντων δημιουργὸς καὶ

(1) Joannes Hier. Vita Joann. Damasc. p. 245 : ὁ δὲ τῶν Σαρακηνῶν ἀρχηγὸς, τὸν Ἰωάννην εἰσκαλεσάμενος, προεχειρίζετο πρωτοσύμβουλον. Videtur nomen πρωτοσυμβούλου respondere summæ apud Arabes dignitati, quæ est *Emiralomaraï*. Adi Reisk. ad Constant. Porphyrog. Cerim. p. 806 ed. N.

(2) In C est e correctione recentiore καίπερ. Sed περ alibi sic adhibetur : cf. p. 138, 12; 140, 6.

(3) Conf. p. 17, n. 1.

(4) Jacob. 1, 12 : λήψεται στέφανον, ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν.

» κύριος. Ὃν τρόπον γὰρ ἀνοηταίνειν ἡμῖν οὗτοι ἐλο-
» γίσθησαν, πολλῷ πλέον ἡμεῖς, οἱ τῷ κόσμῳ περι-
» πλανώμενοι καὶ αὐταρεσκοῦντες ἐν τῇ ψευδομένῃ
» ταύτῃ δόξῃ καὶ ἀνοήτῳ τρυφῇ, θρήνων ἐσμὲν ἄξιοι
» καὶ δακρύων ἐν ὀφθαλμοῖς τῶν γευσαμένων τῆς
» γλυκύτητος τῶν ἀγαθῶν ἐκείνων. »

« Ὁ δὲ βασιλεὺς τούτων ἀκούσας, καὶ ἐννεὸς ὥσπερ γενόμενος, ἔφη· « Τίνες οὖν ἐκεῖνοι εἰσὶν οἱ κρείττονα » τῆς καθ' ἡμᾶς κεκληρωμένοι ζωήν »; « Πάντες » φησὶν ὁ πρωτοσύμβουλος, « οἱ τὰ αἰώνια προτιμήσαντες » τῶν προσκαίρων. » Αὖθις οὖν τοῦ βασιλέως μαθεῖν ζητοῦντος τίνα τὰ αἰώνια, φησὶν ὁ ἀνήρ· « Βασι-
» λεία (1) ἀδιάδοχος, καὶ ζωὴ μὴ ὑποκειμένη θανάτῳ,
» καὶ πλοῦτος μηδέποτε ὑφορώμενος πενίαν, χαρά
» τε καὶ εὐφροσύνη πάσης ἀμέτοχος λύπης καὶ ἀχθη-
» δόνος, καὶ εἰρήνη διηνεκὴς ἐλευθέρα πάσης ἔχθρας
» καὶ φιλονεικίας. Τούτων οἱ καταξιωθέντες ἀπολαύειν,
» μακάριοι, καὶ τοῦτο πολλάκις (2) · ἄλυπον γὰρ
» καὶ ἄμοχθον ζήσουσιν εἰς αἰῶνας ζωήν, πάντων
» τῶν ἡδέων καὶ τερπνῶν τῆς τοῦ Θεοῦ βασιλείας
» ἀμογητὶ ἀπολαύοντες, καὶ τῷ Χριστῷ ἀτελεύτητα
» συμβασιλεύοντες. » Καὶ « Τίς ἄξιος τούτων ἐπιτυ-
» χεῖν »; εἰπόντος τοῦ βασιλέως, ἐκεῖνος ἀπεκρί-
νατο· « Πάντες οἱ τῆς ἐκεῖσε ἀπαγούσης ὁδοῦ δρα-
» ξάμενοι· ἀκώλυτος γὰρ ἡ εἴσοδος τοῖς θελήσασι
» μόνον (3). » Ὁ δὲ βασιλεὺς « Καὶ τίς » φησίν, « ἡ
» ἐκεῖσε φέρουσα τρίβος »; Πρὸς ὃν ἔφη ὁ λαμπρὸς

(1) Lemma est metricum in codice A : Τίνα τὰ αἰώνια ἀγαθὰ ὅρα.

(2) A, καὶ τρὶς τ. καὶ πολλακίς · e correctione.

(3) Conf. p. 141, 13.

τὴν ψυχὴν ἐκεῖνος· « Τὸ γινώσκειν τὸν μόνον ἀληθινὸν
» Θεὸν, καὶ Ἰησοῦν Χριστὸν (1) τὸν μονογενῆ αὐτοῦ
» υἱὸν, καὶ τὸ Ἅγιον καὶ ζωοποιὸν Πνεῦμα. »

« Ὁ τοίνυν βασιλεὺς, τῆς ἀλουργίδος σύνεσιν ἔχων
ἀξίαν (2), ἔφη πρὸς αὐτόν· « Καὶ τί τὸ κωλῦσάν σε
» μέχρι τοῦ νῦν μὴ γνωρίσαι μοι περὶ τούτων; οὐκ
» ἀναβολῆς γὰρ καὶ ὑπερθέσεως ἄξιά μοι δοκεῖ ὑπ-
» άρχειν ταῦτα, εἴ γε ἀληθῆ τυγχάνει· εἰ δὲ ἀμφί-
» βολά ἐστιν, ἐμπόνως δεῖ ζητῆσαι μέχρις ὅτου τὸ
» ἀναμφίλεκτον εὕρωμι. » « Οὐκ ἀμελείᾳ » φησὶν
ὁ ἀνήρ, « ἢ ῥαθυμίᾳ συνεχόμενος, περὶ τούτων ὤκνησά
» σοι γνωρίσαι, ἀληθῆ περ ὄντα καὶ πάντη ἀναμφί-
» λεκτα, ἀλλὰ τὸ ὑπερέχον αἰδούμενος τῆς σῆς δόξης,
» μή ποτε ὀχληρότερός σοι φανείην. Εἰ οὖν προστάσσεις
» τῷ σῷ οἰκέτῃ ὑπομιμνήσκειν σοι εἰς τὸ ἑξῆς περὶ
» τούτων, τῷ σῷ ἔσομαι καθυπηρετῶν προστάγ-
» ματι. » « Ναί », φησὶν ὁ βασιλεύς· « μὴ καθ'
» ἡμέραν μόνον, ἀλλὰ καὶ ἐφ' ἑκάστης ὥρας τὴν
» τούτων μνήμην διηνεκῶς ἀνακαίνιζε· οὐκ ἀμελῶς
» γὰρ χρὴ τούτοις προσέχειν, ἀλλὰ καὶ λίαν θερμῶς
» καὶ σπουδαίως. »

« Ἀκηκόαμεν οὖν » φησὶν ὁ Βαρλαάμ, « εὐσεβῶς τὸν βασιλέα τοῦτον ζῆσαι τὸ ἑξῆς, καὶ, ἀκυμάντως τὸν παρόντα διανύσαντα βίον, τῆς μελλούσης μὴ ἀποτυχεῖν μακαριότητος. Εἰ τοίνυν καὶ τῷ σῷ πατρὶ τοιαῦτά τις ἐν ἐπιτηδείῳ προσυπομνήσει καιρῷ,

(1) Joann. XVII, 3 : αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.

(2) C, τοίνυν ὁ βασιλεὺς, βασιλικωτάτην ἔχων σύνεσιν : quæ fuit interpretum, Georgii Trapezuntii ac Billyi, lectio.

τάχα συνήσει καὶ γνώσεται ὅσοις συνεσχέθη κακοῖς, καὶ, τούτων ἐκκλίνας, ἐκλέξεται τὸ ἀγαθόν· ἐπεὶ τό γε νῦν ἔχον « τυφλός ἐστι, μυωπάζων (1) », τοῦ ἀληθινοῦ φωτὸς ἑαυτὸν ἀποστερήσας, αὐτομολῶν δὲ πρὸς τὸ τῆς ἀσεβείας σκότος. »

Εἶπε δὲ ὁ Ἰωάσαφ πρὸς αὐτόν· « Τὰ μὲν τοῦ ἐμοῦ πατρὸς ἄγοιτο Κύριος (2) καθὼς κελεύει· αὐτῷ γὰρ, καθὰ δὴ καὶ εἶπας (3), πάντα δυνατὰ καθέστηκε τὰ παρὰ ἀνθρώποις ἀδύνατα· ἐγὼ δὲ, διὰ τῶν σῶν ἀνυπερβλήτων ῥημάτων, τῆς τῶν παρόντων καταγνοὺς ματαιότητος, ἀποστῆναι μὲν τούτων πάντη διανενόημαι, καὶ μετὰ σοῦ τὸ λοιπὸν τῆς ζωῆς μου διανύσαι, ἵνα μὴ διὰ τῶν προσκαίρων τούτων καὶ ῥευστῶν τῆς τῶν αἰωνίων καὶ ἀφθάρτων ἐκπέσω ἀπολαύσεως. »

Πρὸς ὃν ὁ γέρων ἀπεκρίνατο· « Εἰ τοῦτο ποιήσεις, ὅμοιος ἔσῃ νεανίσκῳ τινὶ φρονιμωτάτῳ, περὶ οὗ ἀκήκοα πλουσίων γεγενῆσθαι καὶ ἐνδόξων γονέων· ᾧτινι ὁ πατὴρ μνηστευσάμενος τὴν θυγατέρα τινὸς τῶν εὐγενείᾳ καὶ πλούτῳ διαφερόντων λίαν ὡραιοτάτην, κοινολογησάμενος δὲ πρὸς τὸν παῖδα περὶ τοῦ γάμου, καὶ ὅπως ἦν αὐτῷ μελετώμενα ἀπαγγείλας, ἀκούσας ἐκεῖνος, καὶ ὡς ἀπηχές τι καὶ ἄτοπον ἀποσεισάμενος τὸ πρᾶγμα, φυγὰς ᾤχετο καταλιπὼν τὸν πατέρα. Πορευόμενος δὲ ξενίζεται ἐν οἰκίᾳ γηραιοῦ τινὸς πένητος, τοῦ καύσωνος τῆς ἡμέρας ἑαυτὸν διαναπαύων.

(1) Petr. II Epist. I, 9. Lexicon in codice 2408 : μυωπάζω, ὀφθαλμιῶ. Œcumenius ad Petri locum : μυωπάζειν δὲ τὸ τυφλώττειν εἴρηται, ἀπὸ τῶν ὑπὸ τὴν γῆν μυῶν, τυφλῶν εἰς ἅπαν διατελούντων.

(2) Malim ἄγοι ὁ K.

(3) Cf. p. 134, cum n. 1.

Ἡ δὲ θυγάτηρ τοῦ πένητος, μονογενὴς οὖσα καὶ παρθένος, καθεζομένη πρὸ τῶν θυρῶν, εἰργάζετο μὲν ταῖς χερσὶ, τῷ δὲ στόματι ἀσιγήτως τὸν Θεὸν εὐλόγει εὐχαριστοῦσα αὐτῷ ἐκ βαθέων ψυχῆς. Τῶν ταύτης δὲ ὕμνων ἀκούσας, ὁ νέος ἔφη· « Τί σοὶ, γύναι, τὸ ἐπιτήδευμα; χάριν δὲ τίνος, οὕτω περ οὖσα εὐτελὴς » καὶ πτωχὴ, ὡς ἐπί τισι μεγάλοις δωρήμασιν εὐ» χαριστεῖς, τὸν δοτῆρα ὑμνοῦσα; »

« Ἡ δὲ πρὸς αὐτὸν ἀπεκρίνατο· « Οὐκ οἶσθα ὅτι, » καθάπερ φάρμακον μικρὸν ἐκ μεγάλων νοσημάτων » πολλάκις ῥύεται τὸν ἄνθρωπον, οὕτω δὴ καὶ τὸ ἐπὶ » τοῖς μικροῖς εὐχαριστεῖν τῷ Θεῷ μεγάλων πρόξε» νον (1) γίνεται; Ἐγὼ τοίνυν, θυγάτηρ οὖσα γέροντος » πτωχοῦ, εὐχαριστῶ ἐπὶ τοῖς μικροῖς τούτοις καὶ » εὐλογῶ τὸν Θεὸν, εἰδυῖα ὡς ὁ ταῦτα δοὺς καὶ μεί» ζονα δύναται δοῦναι. Καὶ ταῦτα μὲν περὶ τῶν ἔξω» θεν καὶ οὐχ ἡμετέρων, ἐξ ὧν οὔτε τοῖς πολλὰ κε-

(1) Codd. *πρόξενος*. Jam monui nec semel de illis solœcismis quos currens fundit describentium calamus, ac corrigendis. Sic pag. 112, 22, est in A *κεφαλὰς... προβεβληκοτας*, in C *προβεβληκυίας*, quod sumsi. Sebastianus edidit in fragmento paraphraseos Lycophronicæ, *τοὺς δυσφράστους τῶν αἰνιγμάτων ὁδοὺς*, quod nuper repetiit vir doctiss. Si codex habet *τοὺς*, fuit tamen *τὰς* edendum. Supra p. 32, 14, A exhibet *συγχαίρων τοῖς προόδοις*, C meliorem ferente scripturam; sed, vel sine C, *τοῖς* mutassem, ni fuissem ipse passus aliquid. Nuper locus Dexippi e Constantini Thematibus II, 9, sic fuit a viris dd. editus : *Ἐπίδαμνον ἐς ὕστερον Δυῤῥάχιον μετονομασθεῖσαν, πόλιν τῆς Μακεδονίας μεγάλην καὶ εὐδαιμονοῦντα*. Miratus in Dexippo solœcismum, quem nec in Constantinum cadere facile putaverim, quæsivi Constantini Meursio-Lamianum textum, et oculis lætis legi, *μεγάλην καὶ εὐδαίμονα οὖσαν*. In suis ad Constantinum illum notis Reiskius librariis plus æquo tribuit. Putabat, ad pag. 352 B 10, Constantinum scripsisse *τοῖς προῤῥηθεῖσι ἀναβάθραις*, quod est librarii properantis, vel, si forte auctoris ipsius, auctoris ipsius etiam properantis ac fideliorem nacti libra-

» κτημένοις τι προσγίνεται κέρδος (ἵνα μὴ εἴπω ὅτι » καὶ ζημία πολλάκις), οὔτε τοῖς ἐλάττονα λαβοῦσιν » ἐπέρχεται βλάβη, τὴν αὐτὴν ἀμφοτέρων ὁδευόντων » ὁδὸν καὶ πρὸς τὸ αὐτὸ ἐπειγομένων τέλος· ἐν δὲ » τοῖς ἀγαθωτάτοις καὶ καιριωτάτοις πολλῶν ἀπή- » λαυσα καὶ μεγίστων τοῦ δεσπότου μου δωρημάτων, » οὐ μενοῦν ἐχόντων ἀριθμὸν ἢ εἰκασμῷ ὑποπιπτόντων. » Κατ' εἰκόνα γὰρ Θεοῦ γεγένημαι καὶ τῆς αὐτοῦ » γνώσεως ἠξίωμαι, καὶ λόγῳ παρὰ πάντα τὰ ζῶα » κεκόσμημαι, καὶ ἐκ θανάτου πρὸς τὴν ζωὴν ἀνακέκλη- » μαι « διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν (1) », καὶ » τῶν αὐτοῦ μετέχειν μυστηρίων ἐξουσίαν ἔλαβον, » καὶ ἡ τοῦ παραδείσου θύρα ἀνέῳκται, ἀκώλυτον, » εἴπερ θελήσω, παρέχουσά μοι τὴν εἴσοδον. Τῶν » τοσούτων οὖν καὶ τοιούτων δωρημάτων, ὧν ἐπίσης » μετέχουσι πλούσιοί τε καὶ πένητες, ἀξίως εὐχαρι- » στῆσαι πάντη μοι ἀδύνατον· εἰ δὲ καὶ τὴν μικρὰν

rium, editorem quoque fideliorem. Nam tales lapsus sunt non tacite quidem corrigendi, adeo magna est nostra criticorum circa nugulas diligentia, imo superstitio, sed corrigendi omnino; atque cum scriptoribus quos edimus agendum nobis est, ut nobiscum ab aliis agi cupimus. Quæ ibi plurima cumulavit Reiskius, et quæ possent addi plurima, eo plerumque modo tractanda videntur. Velim etiam abstinuisset loco Sophocleo Œd. C. 1676, ubi Antigone ait de se ac sorore, ἰδόντε καὶ παθούσα. Eo enim in exemplo mira magis accidit mihi generum dissimilium junctura, quam ipsum masculinum genus. Est enim id solœcismi inter atticismos. Sic, in Electra 1001, Chrysothemis de se ac sorore λαβόντε ait; sic, in Antigona 567, τὼ παῖδε τώδε dicitur de Antigona et Ismene; παῖδ' ἐμὼ in Euripidis Supplicibus de duabus Adrasti filiabus, v. 151, ubi Markl.; sic Plato Phædr., ἡμῶν ἐν ἑκάστῳ δύο τινὲ ἐστὸν ἰδέα ἄρχοντε καὶ ἄγοντε· ubi Heind. p. 222. Adde Mathiæ Gr. Gr. § 436; Heyn. ad Hom. t. VII, p. 420; Ast. ad Symp. Plat., ubi τὼ θεά. Notissimum τὼ χεῖρε est.

(1) Luc. 1, 78. Cf. p. 94, 9.

» ταύτην ὑμνολογίαν οὐ προσάξω τῷ δωρησαμένῳ,
» ποίαν ἕξω ἀπολογίαν; »

« Ὁ δὲ νεώτερος τὴν πολλὴν αὐτῆς ὑπερθαυμάσας σύνεσιν, τὸν αὐτῆς προσκαλεσάμενος πατέρα, « Δός » μοι » φησί « τὴν θυγατέρα σου· ἠγάπησα γὰρ » τὴν σύνεσιν αὐτῆς καὶ εὐσέβειαν. » Ὁ δὲ γέρων ἔφη· « Οὐκ ἔξεστί σοι ταύτην λαβεῖν τὴν πένητος θυγα» τέρα, πλουσίων ὄντι γονέων. » Αὖθις δὲ ὁ νέος « Ναί », φησί· « ταύτην λήψομαι, εἴπερ οὐκ ἀπα» γορεύεις· θυγάτηρ γάρ μοι μεμνήστευται εὐγενῶν » καὶ πλουσίων, καί, ταύτην ἀποσεισάμενος, φυγῇ » ἐχρησάμην· τῆς δὲ σῆς θυγατρὸς διὰ τὴν εἰς Θεὸν » εὐσέβειαν καὶ τὴν νουνεχῆ σύνεσιν ἐρασθείς, συν» αφθῆναι αὐτῇ προτεθύμημαι. » Ὁ δὲ γέρων πρὸς αὐτὸν ἔφησεν· « Οὐ δύναμαί σοι ταύτην δοῦναι τοῦ » ἀπαγαγεῖν ἐν τῷ οἴκῳ τοῦ πατρός σου καὶ τῶν » ἐμῶν χωρίσαι ἀγκαλῶν· μονογενὴς γάρ μοι ἐστίν. » « Ἀλλ' ἐγὼ » φησὶν ὁ νεανίσκος, « παρ' ὑμῖν μενῶ, » καὶ τὴν ὑμῶν ἀναδέξομαι πολιτείαν. » Εἶτα καὶ τὴν λαμπρὰν ἀποθέμενος ἐσθῆτα, τὰ τοῦ γέροντος αἰτησάμενος περιεβάλλετο. Πολλὰ δὲ ἐκεῖνος ἐκπειράσας αὐτὸν καὶ ποικίλως τὸν αὐτοῦ δοκιμάσας λογισμόν, ὡς ἔγνω σταθερᾶς ὑπάρχειν αὐτὸν διανοίας καὶ ὡς οὐκ ἔρωτι ἀφροσύνης κατεχόμενος αἰτεῖται τὴν αὐτοῦ θυγατέρα, ἀλλ' ἔρωτι εὐσεβείας εἵλετο πενιχρῶς ζῆν, ταύτην προκρίνας τῆς αὐτοῦ δόξης καὶ εὐγενείας, κρατήσας αὐτὸν τῆς χειρός, εἰσήγαγεν εἰς τὸ ἑαυτοῦ ταμιεῖον, καὶ ὑπέδειξε πλοῦτον πολὺν ἀποκείμενον αὐτῷ καὶ χρημάτων ἀναρίθμητον ὄγκον, ὅσον οὐ τεθέατο πώποτε ὁ νεανίσκος. Καί φησι πρὸς

αὐτόν· « Τέκνον, ταῦτα πάντα σοὶ δίδωμι, ἀνθ' ὧν » ἡρετίσω τῆς ἐμῆς θυγατρὸς ἀνὴρ γενέσθαι, γενέσθαι » δὲ καὶ κληρονόμος τῆς ἐμῆς οὐσίας (1). » Ἥνπερ κληρονομίαν κατασχὼν, ἐκεῖνος πάντας ὑπερῆρε τοὺς ἐνδόξους τῆς γῆς καὶ πλουσίους. »

Εἶπε δὲ ὁ Ἰωάσαφ πρὸς τὸν Βαρλαάμ· « Προσηκόντως καὶ αὕτη τὰ κατ' ἐμὲ παρίστησιν ἡ διήγησις· ὅθεν σοι καὶ περὶ ἐμοῦ ταῦτα λελέχθαι δοκῶ. Ἀλλὰ τίς ἡ πεῖρα δι' ἧς γνῶναι ζητεῖς τὸ σταθερὸν τῆς ἐμῆς διανοίας; »

Καὶ ὁ γέρων ἔφη· « Ἐγὼ μὲν καὶ πεπείρακα ἤδη καὶ ἔγνωκα ὁποίας ὑπάρχεις ἐχέφρονος καὶ σταθερᾶς διανοίας καὶ ψυχῆς τῷ ὄντι εὐθυτάτης. Ἀλλὰ τὸ τέλος τῆς κατὰ σὲ πράξεως βεβαιώσει ταῦτα. « Τούτου (2) χάριν κάμπτω τὰ γόνατά μου » πρὸς τὸν ἐν Τριάδι δοξαζόμενον Θεὸν ἡμῶν, τὸν πάντων δημιουργὸν ὁρατῶν τε καὶ ἀοράτων, τὸν ὄντως ὄντα καὶ ἀεὶ ὄντα, μήτε ἀρχὴν ἐσχηκότα πώποτε τῆς ἐνδόξου ὑπάρξεως αὐτοῦ, μήτ' ἔχοντα τέλος, τὸν φοβερὸν καὶ παντοδύναμον, ἀγαθόν τε καὶ εὔσπλαγχνον, ἵνα φωτίσῃ τοὺς ὀφθαλμοὺς τῆς καρδίας σου, καὶ « δώῃ σοι πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν

(1) Addidi ἀνὴρ γενέσθαι, verba necessaria, quæ nec fuerunt ab interpretibus reperta. A, ἠρετίσω τῆς ἐμῆς κληρ. οὐσ., addito post ἐμῆς, a manu altera, γενέσθαι. Qui est in ἠρετίσω spiritus tenuis non est notatu dignus, eumque notabo tantum, quod nunc ipsum legerim Xenophanis versus in Karsteniana sylloge p. 41, qui melius, puto, procedent, si pro tenui ἠ scribatur asperius ἡ. Locum ponam ut legendus videtur : Ἀλλ' εἴτοι χεῖρας εἶχον βόες ἠὲ λέοντες, Ἢ γράψαι χείρεσσι καὶ ἔργα τελεῖν ἅπερ ἄνδρες, Ἵπποι μέν θ' ἵπποισι, βόες δέ τε βουσὶν ὁμοίας Καί κε θεῶν ἰδέας ἔγραφον καὶ σώματ' ἐποίουν Τοιαῦθ', οἷόνπερ καὐτοὶ δέμας εἶχον ὁμοῖον.

(2) Epist. ad Ephes. III, 14.

» ἐπιγνώσει αὐτοῦ, εἰς τὸ εἰδέναι σε τίς ἐστιν ἡ ἐλπὶς » τῆς κλήσεως αὐτοῦ, καὶ τίς ὁ πλοῦτος τῆς δόξης » τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, καὶ τί τὸ » ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς » τοὺς πιστεύοντας (1) », ἵνα μηκέτι ξένος ἔσῃ καὶ πάροικος, ἀλλὰ συμπολίτης τῶν ἁγίων καὶ οἰκεῖος Θεοῦ, ἐποικοδομημένος « ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων » καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ τοῦ κυρίου » ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρ- » μολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ (2). »

Ὁ δὲ Ἰωάσαφ, σφόδρα κατανυγεὶς τὴν καρδίαν, ἔφη· « Ταῦτα δὴ πάντα κἀγὼ ποθῶν γνῶναι, δέομαί σου· γνώρισόν μοι τόν τε πλοῦτον τῆς δόξης τοῦ Θεοῦ καὶ τὸ ὑπερβάλλον τῆς αὐτοῦ δυνάμεως. »

Εἶπε δὲ πρὸς αὐτὸν ὁ Βαρλαάμ· « Τῷ Θεῷ εὔχομαι διδάξαι σε ταῦτα, καὶ τὴν γνῶσιν τῶν τοιούτων ἐνθεῖναί σου τῇ ψυχῇ· ἐπεὶ παρὰ ἀνθρώποις τὴν αὐτοῦ λεχθῆναι δόξαν καὶ δύναμιν τὸ παράπαν ἀδύνατον, κἂν πᾶσαι αἱ τῶν νυνὶ καὶ τῶν πώποτε γενομένων ἀνθρώπων γλῶσσαι ἓν γένωνται. « Θεὸν » γὰρ, φησὶν ὁ εὐαγγελιστὴς καὶ θεολόγος (3), « οὐδεὶς ἑώρακε » πώποτε· ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ » πατρὸς, ἐκεῖνος ἐξηγήσατο. » Τοῦ δὲ ἀοράτου καὶ ὑπεραπείρου τὴν δόξαν καὶ τὴν μεγαλωσύνην τίς ἰσχύσει

(1) Epist. ad Eph. I, 16, seq.: μνείαν ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, ἵνα ὁ Θεὸς... δῴη ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ, πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν, εἰς τὸ εἰδέναι.......

(2) Epist. ad Ephes. II, 19: ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ Θεοῦ, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμ... — A, ἀκρογ. Ἰ. Χρ. — C, εἰς ναὸν ἅγιον κυρίου.

(3) Joann. I, 18.

γηγενῶν καταλαβέσθαι, εἰ μὴ ᾧ ἂν αὐτὸς ἀποκαλύψῃ καθ' ὅσον βούλεται, ὥσπερ τοῖς προφήταις αὐτοῦ καὶ Ἀποστόλοις ἀπεκάλυψεν; Ἡμεῖς δὲ ἐκ τοῦ κηρύγματος αὐτῶν καὶ ἐξ αὐτῆς τῆς τῶν πραγμάτων φύσεως, κατὰ τὸ ἐγχωροῦν ἡμῖν μανθάνομεν. Λέγει γὰρ ἡ γραφή· « Οἱ οὐρανοὶ (1) διηγοῦνται δόξαν Θεοῦ, » ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα· » καί· « τὰ ἀόρατα (2) αὐτοῦ ἀπὸ κτίσεως κόσμου » τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐ» τοῦ δύναμις καὶ θειότης. » Καθάπερ γάρ τις, οἰκίαν ἰδὼν λαμπρῶς καὶ ἐντέχνως κατεσκευασμένην ἢ σκεῦος εὐφυῶς συνηρμοσμένον, τὸν οἰκοδόμον ἢ τέκτονα εὐθὺς ἂν ἐννοήσας θαυμάσειεν, οὕτω (3) κἀγὼ, ἐκ μὴ ὄντων διαπλασθεὶς καὶ εἰς τὸ ὂν παραχθεὶς, εἰ καὶ τὸν πλάστην καὶ παροχέα θεάσασθαι οὐ δεδύνημαι, ἀλλ' ἐκ τῆς εὐαρμόστου καὶ θαυμασιωτάτης μου κατασκευῆς εἰς γνῶσιν ἦλθον τῆς αὐτοῦ σοφίας, οὐ καθ' ὅ τι ἐστὶν, ἀλλὰ καθὰ δεδύνημαι νοεῖν (4), ὅτι οὐκ αὐτομάτως παρήχθην, οὐδὲ ἀφ' ἑαυτοῦ γεγένημαι, ἀλλ' αὐτὸς ἔπλασέ με καθὼς ἠβουλήθη, πάντων μὲν προκατάρχειν τάξας τῶν κτισμάτων, τινῶν δὲ καὶ ἐλαττώσας, καὶ συντριβέντα πάλιν κρείττονι ἀνακαινίσει ἀναπλάσας, εἶτα καὶ ὑπεξάγων τῶν ἐντεῦθεν τῷ θείῳ αὐτοῦ προστάγματι καὶ πρὸς ἑτέραν μετατιθεὶς βιοτὴν ἀτελεύτητον καὶ αἰώνιον, ἐν οὐδενὶ τούτων δυναμένου μου ἀνθίστασθαι τῇ ἰσχύϊ τῆς αὐτοῦ προνοίας, μήτε τι προστιθέναι ἐμαυτῷ μήτε

(1) Psalm. XVIII, 1.

(2) Epist. ad Rom. I, 20.

(3) Lemma in A: ὅρα ἐκ τίνων εἰς τὴν τοῦ Θεοῦ γνῶσιν καὶ μεγαλειότητα ἀνάγεται ἄνθρωπος.

(4) C, καθὰ δεῖ με νοεῖν.

ὑφαιρεῖν, εἴτε καθ' ἡλικίαν (1) εἴτε κατὰ τὸ τῆς μορφῆς εἶδος, μήτε τὰ πεπαλαιωμένα μοι ἀνακαινίζειν ἐξισχύσαι, μήτε τὰ διεφθαρμένα ἐπανορθοῦν. Οὐδεὶς γὰρ τῶν ἀνθρώπων τούτων τι ἴσχυσέ ποτε κατεργάσασθαι, οὔτε βασιλεὺς, οὔτε σοφὸς, οὔτε πλούσιος, οὔτε δυνάστης, οὔτε τις ἄλλος ἀνθρώπινα μετερχόμενος ἐπιτηδεύματα· « οὐδεὶς γὰρ » φησί (2), « βασιλέων ἢ τῶν ἐν ὑπεροχαῖς ὄντων ἑτέραν ἔσχε » γενέσεως ἀρχὴν, μία δὲ πάντων εἴσοδος εἰς τὸν » βίον, ἔξοδός τε ἴση. »

« Ἐκ τούτων οὖν τῶν περὶ ἐμὲ εἰς γνῶσιν τῆς τοῦ δημιουργοῦ μεγαλουργίας χειραγωγοῦμαι· σὺν τούτοις δὲ καὶ τὴν εὐάρμοστον κατασκευὴν καὶ συντήρησιν τῆς κτίσεως ἁπάσης ἐννοῶν, ὅτι αὐτὰ μὲν καθ' ἑαυτὰ τροπῇ ὑπόκεινται πάντα καὶ ἀλλοιώσει, τὰ μὲν νοητὰ κατὰ προαίρεσιν, τήν τε ἐν τῷ καλῷ προκοπὴν καὶ τὴν ἐκ τοῦ καλοῦ ἀποφοίτησιν, τὰ δὲ αἰσθητὰ κατὰ γένεσιν καὶ φθορὰν, αὔξησίν τε καὶ μείωσιν, καὶ τὴν κατὰ ποιότητα μεταβολὴν καὶ τοπικὴν κίνησιν, καὶ ἐκ τούτων κηρύττουσι φωναῖς ἀλαλήτοις ὑπὸ τοῦ ἀκτίστου καὶ ἀτρέπτου καὶ ἀναλλοιώτου (3)

(1) Matth. VI, 27 : τίς ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; Cf. Luc. XII, 25.

(2) Sap. Salom. VII, 5, 6.

(3) Prudentius Apoth. 276 : « Non convertibilis nec demu- » tabilis unquam Est Deus. » Epitheta ea sunt sæpissime a scriptobus theologis de Deo usurpata. Vide Weitz. ad Drac. 13. Aristoteles Stobæi Eclog. I, c. 42, pag. 648 : μετὰ δὲ τὴν αἰθέριον καὶ θείαν φύσιν, ἥντινα πεπηγμένην ἀποφαίνομεν, ἔτι δὲ ἄτρεπτον καὶ ἀναλλοίωτον. Editiones Aristotelis exhibent ἀνετεροίωτον, cui epitheto Stobæus, homo christianus, puto, sibi notius epithetum ἀναλλοίωτον vel prudens substituit, vel imprudens. — Junguntur hæc epitheta et supra p. 66, 11.

γεγενῆσθαι Θεοῦ, συνέχεσθαί τε καὶ συντηρεῖσθαι καὶ ἀεὶ προνοεῖσθαι. Πῶς γὰρ ἂν (1) αἱ ἐναντίαι φύσεις εἰς ἑνὸς κόσμου συμπλήρωσιν ἀλλήλαις συνεληλύθεισαν καὶ ἀδιάλυτοι μεμενήκεισαν, εἰ μή τις παντοδύναμος δύναμις ταῦτα συνεβίβασε καὶ ἀεὶ συνετήρει ἀδιάλυτα; πῶς γὰρ ἔμεινεν ἄν τι, εἰ μὴ αὐτὸς ἠθέλησεν; ἢ τὸ μὴ κληθὲν ὑπ' αὐτοῦ πῶς ἂν διετηρήθη; φησὶν ἡ γραφή (2). Εἰ γὰρ πλοῖον ἀκυβέρνητον οὐ συνίσταται, ἀλλ' εὐκόλως καταποντίζεται, καὶ οἰκία μικρὰ οὐκ ἂν στῇ χωρὶς τοῦ προνοοῦντος, πῶς ἂν ὁ κόσμος ἐπὶ τοσούτων χρόνων συνέστη, δημιούργημα οὕτω μὲν μέγα, οὕτω δὲ καλὸν καὶ θαυμαστὸν, ἄνευ ἐνδόξου τινὸς καὶ μεγάλης καὶ θαυμαστῆς διακυβερνήσεως καὶ πανσόφου προνοίας; Ἰδοὺ γὰρ ὁ οὐρανὸς πόσον ἔχει χρόνον; καὶ οὐκ ἠμαυρώθη· τῆς γῆς ἡ δύναμις οὐκ ἠτόνησε, τοσοῦτον τίκτουσα χρόνον· αἱ πηγαὶ οὐκ ἐπέλιπον (3) ἀναβλύζειν ἐξ οὗ γεγόνασιν· ἡ θάλασσα, τοσούτους δεχομένη ποταμοὺς, οὐχ ὑπερέβη τὸ μέτρον· οἱ δρόμοι τοῦ ἡλίου καὶ τῆς σελήνης οὐκ ἠλλοίωνται· αἱ τάξεις τῆς ἡμέρας καὶ τῆς νυκτὸς οὐ μετετράπησαν. Ἐκ τούτων πάντων ἡ ἄφατος τοῦ Θεοῦ δύναμις καὶ μεγαλοπρέπεια ἡμῖν ἐμφανίζεται,

(1) C, πῶς γάρ.

(2) Sap. Salom. xi, 25 : πῶς δὲ ἔμεινεν ἄν τι, εἰ μὴ σὺ ἠθέλησας, ἢ τὸ μὴ κληθὲν ὑπὸ σοῦ διετηρήθη;

(3) A, ἀπέλιπον. Optio est fere ambigua. Facilior erit in Photii Epistola 88 : εἰ δέ σου τῶν δείπνων ἐγεγόνει κοινωνός (Melanthius helluo voracissimus), οἶμαι ἂν αὐτὸν... ἀπεύχεσθαι μηδὲ εἰς τὸ ἀρχαῖον μῆκος τὸν αὐχένα διαμένειν, ἵνα μὴ συχνὸν ἀναλίσκοι χρόνον τῆς σῆς τραπέζης καὶ τῶν σῶν ἐδεσμάτων ἀνεχόμενος. Codex 2720 bene exhibet ἐπεύχεσθαι : exhibet et ἀηδισμάτων, pro quo malim ἡδυσμάτων, ironia non illepida de homine nimis quam sobrio. Forsan quoque scripserit ἀηδυσμάτων. Liban. Epist. 363 : σὺ δὲ ἐκ Μακεδονίας ἀπέστελλες. Melius codex 3035 : ἐπέστελλες.

μαρτυρουμένη ὑπὸ προφητῶν καὶ Ἀποστόλων· ἀλλ' οὐδεὶς κατ' ἀξίαν νοῆσαι ἢ εὐφημῆσαι τὴν δόξαν αὐτοῦ δυνήσεται. Πάντα γὰρ τά τε νοητὰ καὶ ὅσα ὑπὸ τὴν αἴσθησιν ὁ θεῖος Ἀπόστολος, ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα (1), κατανοήσας εἶπεν (2)· « Ἐκ » μέρους γινώσκομεν καὶ ἐκ μέρους προφητεύομεν· » ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους κατ- » αργηθήσεται. » Διὸ καὶ, ἐκπληττόμενος τὸν ὑπερ- άπειρον πλοῦτον τῆς σοφίας αὐτοῦ καὶ γνώσεως, διαῤῥήδην ἔφησεν (3)· « Ὦ βάθους πλούτου καὶ σοφίας » καὶ γνώσεως Θεοῦ! ὡς ἀνεξερεύνητα τὰ κρίματα » αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ! » Εἰ δὲ ἐκεῖνος, ὁ μέχρι τρίτου φθάσας οὐρανοῦ καὶ ἀῤῥήτων ἀκούσας ῥημάτων (4), τοιαύτας ἀφῆκε φωνὰς, τίς τῶν κατ' ἐμὲ ὅλως αὐτοφθαλμῆσαι ταῖς ἀβύσσοις τῶν τοσούτων ἰσχύσειε μυστηρίων, καὶ εἰπεῖν τι κατὰ γνώμην, ἢ ἐνθυμηθῆναι ἀξίως τῶν λεγομένων, δυνή- σεται, εἰ μή τι αὐτὸς ὁ τῆς σοφίας χορηγὸς, ὁ τῶν ἀσόφων διορθωτὴς παράσχοι. Ἐν γὰρ τῇ χειρὶ αὐτοῦ καὶ ἡμεῖς καὶ οἱ λόγοι ἡμῶν (5), πᾶσά τε φρόνησις καὶ σύνεσις παρ' αὐτῷ καὶ συνέσεως ἐπιστήμη· καὶ αὐτὸς ἡμῖν δέδωκε τὴν τῶν ὄντων γνῶσιν ἀψευδῆ, εἰδέναι σύστασιν κόσμου καὶ ἐνέργειαν στοιχείων, ἀρχήν τε καὶ τέλος καὶ μεσότητα χρόνων, τροπῶν διαλλαγὰς καὶ μεταβολὰς καιρῶν, καὶ ὅτι πάντα μέτρῳ καὶ σταθμῷ

(1) II Ep. ad Cor. XIII, 3: δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ.

(2) I Epist. ad Cor. XIII, 9, 10.

(3) I Epist. ad Rom. XI, 33.

(4) II Ep. ad Cor. XII, 2, sqq.: οἶδα ἄνθρωπον ἐν Χριστῷ.... ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ· καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον... ὅτι... ἤκουσεν ἄῤῥητα ῥήματα.

(5) Cæcilius de deo, pag. 76: « Cui in manu sit quem esse de- » mentem velit, Quem sapere. »

διέταξε (1). Τὸ γὰρ μεγάλως ἰσχύειν αὐτῷ πάρεστι πάντοτε, καὶ κράτει βραχίονος αὐτοῦ τίς ἀντιστήσεται (2); « ὅτι ὡς ῥοπὴ ἐκ πλαστίγγων ὅλος ὁ κό- » σμος ἐναντίον αὐτοῦ, καὶ ὡς ῥανὶς δρόσου ὀρθρινῆς » κατελθοῦσα ἐπὶ γῆς· ἐλεεῖ δὲ πάντας, ὅτι πάντα » δύναται, καὶ παρορᾷ ἁμαρτήματα ἀνθρώπων εἰς » μετάνοιαν (3) »· οὐδὲν γὰρ βδελύσσεται, οὐδὲ ἀπο-στρέφεται τῶν προστρεχόντων αὐτῷ (4), ὁ μόνος ἀγαθὸς καὶ φιλόψυχος δεσπότης· εὐλογημένον εἴη τὸ ὄνομα τῆς δόξης αὐτοῦ (5) τὸ ἅγιον, καὶ ὑπερύμνητον καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας· ἀμήν. »

Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰωάσαφ· « Εἰ πάνυ πολὺν χρόνον ἐσκόπησας, σοφώτατε, πῶς ἂν ἄριστα τὴν λύσιν τῶν προβληθέντων ζητημάτων ἡμῖν σαφηνίσαις, οὐκ ἂν ἄμεινον τοῦτό μοι ποιῆσαι ἐδόκεις, ἢ τοιαῦτά μοι λέγων ὁποῖά μοι νῦν ἐξεῖπας, δημιουργὸν μὲν πάντων καὶ συνοχέα τὸν Θεὸν διδάξας, ἀκατάληπτον δὲ λογισμοῖς ἀνθρωπίνοις τὴν δόξαν τῆς μεγαλωσύνης αὐτοῦ λόγοις ἀναντιῤῥήτοις ἀποδείξας, καὶ ὅτι οὐκ ἄλλος (6) τις ἰσχύει ταύτης ἐφικέσθαι, ἀλλ' οἷς ἂν

(1) Sap. Salom. XI, 20: πάντα μέτρῳ καὶ ἀριθμῷ καὶ σταθμῷ διέταξας.— Macarius Homil. XXXIV, p. 433: τὸν πάντα πλοῦτον τῆς γῆς ἀμήχανόν τινι μετρῆσαι ἢ ἐπίστασθαι. Forsan ἐπισταθμᾶσθαι.

(2) Sap. Salomon. XI, 21: τὸ γὰρ μεγάλως ἰσχύειν πάρεστί σοι πάντοτε, καὶ κράτει βραχίονός σου τίς ἀντιστήσεται; — AC, ὑποστήσεται. In A, ἀντι a secunda manu.

(3) Ibid. XI, 22, 23.

(4) Ibid. XI, 24: ἀγαπᾷς γὰρ τὰ ὄντα πάντα, καὶ οὐδὲν βδελύσσῃ ὧν ἐποίησας.

(5) Dan. II, 20: καὶ εἶπεν (ὁ Δανιήλ)· εἴη τὸ ὄνομα τοῦ Θεοῦ εὐλογημένον ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος.

(6) C, ἄλλως, quod Billyus reperisse videtur ac vertisse. Passim ω et ο permutantur. Sophocl. Aj. 665: Δεινῶν δ' ἄημα πνευμάτων ἐκοίμισεν Στένοντα πόντον. Quæ viri d. argumenta adhibuere, δεινῶν vindicaturi, non mihi quidem fecisse

αὐτὸς, καθ' ὅσον κελεύει, ἀποκαλύψειε. Διό σου τὴν λογιωτάτην ὑπερτεθαύμακα σοφίαν. Ἀλλά μοι φράσον, μακαριώτατε, πόσων μὲν χρόνων αὐτὸς ὑπάρχεις, ἐν ποίοις δὲ τόποις τὰς διατριβὰς κέκτησαι, τίνας δὲ τοὺς συμφιλοσοφοῦντάς σοι ἔχεις. Κραταιῶς γάρ μου ἡ ψυχὴ τῆς σῆς ἐξήρτηται, καὶ οὐδαμῶς σου τὸν πάντα μου χρόνον τῆς ζωῆς χωρισθῆναι θέλω.»

Ὁ δὲ γέρων ἔφη· «Χρόνων μὲν (1) εἰμὶ, ὡς εἰκάζω, τεσσαρακονταπέντε· ἐν ἐρήμοις δὲ τῆς γῆς Σεναὰρ διάγων συναγωνιστὰς κέκτημαι τοὺς πρὸς τὸν δρόμον τῆς ἄνω πορείας συμπονοῦντας καὶ συναμιλλωμένους.»

«Πῶς» φησὶν ὁ Ἰωάσαφ, «ταῦτά μοι λέγεις; ἐπέκεινα γάρ μοι φαίνῃ τῶν ἑβδομήκοντά που ἐνιαυτῶν. Τίς οὖν ὁ λόγος σοι τῶν τεσσαρακονταπέντε βούλεται χρόνων; οὐ δοκεῖς γάρ μοι ἐν τούτῳ ἀληθεύειν.»

Εἶπε δὲ Βαρλαὰμ πρὸς αὐτόν· «Εἰ μὲν τοὺς ἀπὸ γενέσεως χρόνους μου μαθεῖν ζητεῖς, καλῶς τούτους ἀπείκασας ἐπέκεινα τῶν ἑβδομήκοντά που ὑπάρχειν· ἀλλ' ἔμοιγε οὐδόλως εἰς μέτρον ζωῆς ἐλογίσθησαν ὅσοι τῇ ματαιότητι τοῦ κόσμου δεδαπάνηντο (2). Ὅτε γὰρ ἔζων τῷ σαρκίῳ δεδουλωμένος ταῖς

satis eorum pace dixerim. Codex 2812 A ἄϋμα exhibet, unde nil lucratur poeta. E Suidæ varietate δεινὸν proficere posse mihi videor, assumta etiam in auxilium nota vocalium ει et υ permutatione; legoque δῦνον δ' ἄημα πνευμάτων, sono eodem, sensu valde dissimili, sed eo optimo.

(1) Lemma in A: ὅρα ὅσων χρόνων ἦν Βαρλαάμ, ὅτε πρὸς Ἰωάσαφ εἰσῆλθε, καὶ ἐν ποίῳ τόπῳ τὴν οἴκησιν εἶχε.

(2) Simonides Stobæi tit. 98, 59, ἐρωτηθεὶς πόσον χρόνον βιῴη, χρόνον, εἶπεν, ὀλίγον, ἔτη δὲ πολλά. Et Similis sub Hadriano præfectus, quum septem ultimos vitæ

ἁμαρτίαις, νεκρὸς ἤμην τὸν ἔσω ἄνθρωπον. Τοὺς οὖν τῆς νεκρώσεως χρόνους οὐκ ἄν ποτε ζωῆς ὀνομάσαιμι. Ἐξ ὅτου δὲ « ὁ κόσμος ἐμοὶ ἐσταύρωται, κἀγὼ τῷ » κόσμῳ (1) » καὶ, ἀποθέμενος τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης (2), οὐκ ἔτι ζῶ τῇ σαρκὶ, ἀλλὰ ζῇ ἐν ἐμοὶ ὁ Χριστὸς, ὃ δὲ ζῶ τῇ πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ, τοῦ ἀγαπήσαντός με καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ (3), τούτους εἰκότως καὶ ζωῆς χρόνους καὶ ἡμέρας σωτηρίας καλέσαιμι, οὓς περὶ τὰ τεσσαρακονταπέντε συναριθμῶν ἔτη, κατὰ λόγον σοι καὶ οὐκ ἀπὸ σκοποῦ τὴν τούτων ἐξεῖπον ἀρίθμησιν. Καὶ σὺ τοίνυν τοῦ τοιούτου ἔχου λογισμοῦ ἑκάστοτε, μηδόλως ζῆν ὑπολαμβάνων τοὺς νενεκρωμένους μὲν πρὸς πᾶσαν ἀγαθοεργίαν, ζῶντας δὲ ταῖς ἁμαρτίαις καὶ τὸ κοσμοκράτορι καθυπουργοῦντας τῶν κάτω συρομένων, ἐν ἡδοναῖς τε καὶ ἐπιθυμίαις πονηραῖς τὸν βίον δαπανῶντας· ἀλλὰ τεθανατωμένους τούτους εὖ ἴσθι τυγχάνειν καὶ νενεκρωμένους τῇ τῆς ζωῆς ἐνεργείᾳ. Τὴν γὰρ ἁμαρτίαν θάνατον τῆς ἀθανάτου ψυχῆς (4) σοφός τις (5) ἐκάλεσεν εἰκότως· φησὶ δὲ καὶ ὁ Ἀπόστολος:

annos ruri degisset, se septem tantum annos vixisse epitaphio declaravit, quod est apud Dion. Cass. LXIX, 19: Σίμιλις μὲν ἐνταῦθα κεῖται, βιοὺς μὲν ἔτη πόσα, ζήσας δὲ ἔτη ἑπτά. Vide ibi interpr.; coll. Salmasio ad Spartian. p. 19, a quo discimus annos quinquaginta vixisse Similem. Nec inutiliter admovebitur Cardonnius Miscell. Litter. Orient. t. I, p. 156.

(1) Epist. ad Gal. VI, 14.

(2) Epist. ad Ephes. IV, 22: ἀποθέσθαι ὑμᾶς... τὸν παλαιὸν ἄνθρωπον..... ἀπάτης.

(3) Epist. ad Galat. II, 20: ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός· ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ..... ἐμοῦ. Cf. Epist. ad Rom. VI, 10.

(4) Lemma metricum in A: Τῆς ψυχῆς τί θάνατος ἐνθάδε σκόπει.

(5) Basilius videlicet. Cf. sup. t. I, p. 57, n. 8. Hieronymi parilis sententia Epist. sel. II, 19,

« Ὅτε (1) δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε
» τῇ δικαιοσύνῃ· τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ'
» οἷς νῦν ἐπαισχύνεσθε; τὸ γὰρ τέλος ἐκείνων θά-
» νατος. Νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας,
» δουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν
» εἰς ἁγιασμὸν, τὸ δὲ τέλος ζωὴν αἰώνιον· τὰ γὰρ
» ὀψώνια τῆς ἁμαρτίας θάνατος, τὸ δὲ χάρισμα
» τοῦ Θεοῦ ζωὴ αἰώνιος. »

Εἶπε δὲ ὁ Ἰωάσαφ πρὸς αὐτόν· « Ἐπείπερ ἡ ἐν σαρκὶ ζωὴ οὐκ ἐν μέτρῳ ζωῆς σοι λελόγισται, οὐδὲ τὸν θάνατον τοῦτον, ὃν ὑφίστανται πάντες, θάνατόν σοι λογίζεσθαι χρή. »

Ὁ δὲ γέρων ἀπεκρίνατο· « Ἀναμφιλέκτως καὶ περὶ τούτων οὕτως ἔχω, μηδόλως τὸν πρόσκαιρον τουτονὶ θάνατον τρέμων, μήτε θάνατον αὐτὸν τοπαράπαν ἀποκαλῶν, εἴ γε τὴν ὁδὸν τῶν ἐντολῶν τοῦ Θεοῦ βαδίζοντά με (2) καταλάβῃ, διαβατήριον δὲ μᾶλλον ἐκ θανάτου πρὸς ζωὴν τὴν κρείττονα καὶ τελειοτέραν (3), καὶ ἐν Χριστῷ κρυπτομένην (4), ἥσπερ ποθοῦντες τυχεῖν, οἱ ἅγιοι πάνυ τῇ παρούσῃ ἐδυσχέραινον. Διὸ φησὶν ὁ Ἀπόστολος· « Οἴδαμεν (5) ὅτι, ἐὰν ἡ ἐπίγειος ἡμῶν
» οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ Θεοῦ
» ἔχομεν οἰκίαν ἀχειροποίητον, αἰώνιον, ἐν τοῖς οὐ-
» ρανοῖς· καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον
» ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες,
» εἴ γε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα·

p. 420 : « anima enim quæ peccaverit ipsa morietur. »

(1) Epist. ad Rom. VI, 20—23.

(2) Psalm. CXVIII, 32 : ὁδὸν ἐντολῶν σου ἔδραμον.

(3) Cf. Greg. Naz. t. I, p. 315.

(4) Epistola ad Coloss. III, 3 : ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ.

(5) II Epist. ad Cor. V, 1—4.

» καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρού-
» μενοι, ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπεν-
» δύσασθαι, ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς. »
Καὶ πάλιν· « Ταλαίπωρος (1) ἐγὼ ἄνθρωπος! τίς με
» ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; »
Καὶ αὖθις· « Ἐπιθυμῶ (2) ἀναλῦσαι καὶ σὺν Χριστῷ
» εἶναι. » Ὁ δὲ προφήτης « Πότε (3) ἥξω » φησί, « καὶ
» ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; »

« Ὅτι δὲ καὶ ἐμοὶ τῷ πάντων ἐλαχιστοτέρῳ οὐδό-λως τὸν αἰσθητὸν θάνατον δεδοικέναι δοκεῖ, ἔξεστί σοι γνῶναι τῷ, παρ' οὐδὲν θέμενόν με τὴν τοῦ σοῦ πατρὸς ἀπειλὴν (4), ἀδεῶς παραγενέσθαι πρὸς σὲ καὶ τὸν σωτή-ριόν σοι καταγγεῖλαι λόγον, ἀκριβῶς περ εἰδότα ὡς, εἰ ἔλθοι αὐτῷ εἰς γνῶσιν ταῦτα, μυρίοις με, εἰ δυ-νατὸν, καθυποβαλεῖ θανάτοις. Ἀλλ' ἔγωγε, τὸν τοῦ Θεοῦ λόγον πάντων προκρίνων καὶ αὐτοῦ ποθῶν ἐπι-τυχεῖν, οὔτε πτοοῦμαι τὸν πρόσκαιρον θάνατον, οὔτε τῆς τοιαύτης αὐτὸν προσηγορίας ἄξιον ὅλως ἀπο-καλῶ, τῇ δεσποτικῇ πειθόμενος ἐντολῇ, τῇ λεγούσῃ· « Μὴ φοβεῖσθε (5) ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, » τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε » δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπο-» λέσαι ἐν γεέννῃ. »

« Ταῦτα μὲν οὖν » φησὶν ὁ Ἰωάσαφ, « τῆς ἀληθι-νῆς ὑμῶν φιλοσοφίας τὰ κατορθώματα, ὑπεραναβε-βηκότα λίαν τὴν τῶν γηΐνων φύσιν τῶν δυσαποσπά-στως τῆς παρούσης ἐχόντων ζωῆς· καὶ μακάριοι ὑμεῖς

(1) Epist. ad Rom. VII, 24.
(2) Epist. ad Philipp. I, 23 : τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι...
(3) Psalm. XLI, 2.
(4) Conf. pagg. 20, 21, 28.
(5) Matth. X, 28.

τοιαύτης ἐχόμενοι ἀνδρειοτάτης γνώμης. Τίς δὲ σοῦ καὶ τῶν σὺν σοὶ ἐν τῇ τοιαύτῃ ἐρήμῳ ἡ διατροφὴ, πόθεν δὲ τὰ ἐνδύματα καὶ ποταπὰ, γνώρισόν μοι φιλαλήθως. »

Ὁ δὲ Βαρλαὰμ φησίν· « Ἡ μὲν διατροφὴ ἐκ τῶν εὑρισκομένων ἐστὶν ἀκροδρύων καὶ βοτανῶν ὧν ἡ ἔρημος τρέφει, δρόσῳ ποτιζομένη οὐρανίῳ καὶ τῇ προστάξει τοῦ δημιουργοῦ εἴκουσα, ἐφ' οἷς οὐδείς ἐστιν ὁ μαχόμενος ἡμῖν καὶ φιλονεικῶν (1) καὶ τὸ πλέον ζητῶν ἁρπάζειν τῷ τῆς πλεονεξίας ὅρῳ τε καὶ λόγῳ· ἀλλ' ἀφθόνως πᾶσι πρόκειται ἀνήροτος τροφὴ καὶ αὐτοσχέδιος τράπεζα. Εἰ δέ ποτε καὶ τῶν πλησιαζόντων τις πιστῶν ἀδελφῶν ἄρτου ἐνέγκοι εὐλογίαν (2), ὡς παρὰ τῆς προνοίας πεμφθέντα δεχόμεθα τοῦτον ἐπ' εὐλογίᾳ τῶν πιστῶς προσενεγκόντων. Τὰ δὲ ἐνδύματα ἀπὸ ῥακίων εἰσὶ τριχίνων καὶ μηλωταρίων (3) ἢ σεβεννίνων, πεπαλαιωμένα πάντα καὶ πολύῤῥαφα (4), πάνυ κατατρύχοντα τὸ ἀσθενὲς τοῦτο σαρκίον. Τὸ αὐτὸ γὰρ ἡμῖν ἐστι περιβόλαιον θέρους τε καὶ χει-

(1) Diogenes epistola ad Phanomachum, mihi 4ª, p. 238 : καὶ πολεμεῖται μὲν διὰ ταύτην (τὴν πενίαν) οὐδὲ εἷς, οὔτε ἐν γῇ οὔτε ἐν θαλάσσῃ. Et Crates Diogenis discipulus in ludicris de pera cynica versibus : Ἀλλὰ θύμον καὶ σκόρδα φέρει καὶ σῦκα καὶ ἄρτους, Ἐξ ὧν οὐ πολεμοῦσι πρὸς ἀλλήλους· περὶ τούτων Οὐχ ὅπλα κέκτηνται. Socrates etiam Xenophonteus Symp. III, 9, paupertatem ait esse rem ἥκιστα μὲν ἐπίφθονον, ἥκιστα δὲ περιμάχητον. Ac memini versus inter Petroniana fragmenta : « Raraque contem- » ptus prælia pannus habet. » Cf. Senec. Epist. 119.

(2) « Panis eleemosynam ; pa- » nis donum. »

(3) Herodianus Epimer. p. 85 : μηλονόμος, ὁ τὰ πρόβατα νέμων, ὅθεν καὶ τὰ δέρματα μηλωτάρια.

(4) A, σεβενίνων. Apophthegmata Patrum in Monum. Coteler. t. I, p. 491 : οἱ πατέρες ἡμῶν καὶ ὁ ἀββᾶς Παμβῶ παλαιὰ πολύῤῥαφα ἐφόρουν καὶ σεβέννια· id est, « vestes » palmeas », ut est in versione Cotelerii, qui et varietatem profert σεβέννινα.

μῶνος (1), ὅπερ οὐδόλως, ἐξ ὅτου ἐνδυσόμεθα, ἐκδύσασθαι θέμις, μέχρις ἂν παλαιωθὲν τέλεον διαφθαρῇ (2). Οὕτω γὰρ ταῖς τοῦ κρύους καὶ φλογώσεως ἀνάγκαις ταλαιπωρούμενοι τὴν τῶν μελλόντων τῆς ἀφθαρσίας ἐνδυμάτων πορίζόμεθα ἑαυτοῖς ἀμφίασιν.»

Τοῦ δὲ Ἰωάσαφ εἰπόντος· «Πόθεν δέ σου τοῦτο τὸ ἱμάτιον ὃ περιβέβλησαι»; ὁ γέρων ἔφη· «Ἐν χρήσει τοῦτο παρά τινος τῶν πιστῶν ἀδελφῶν εἴληφα, τὴν πρὸς σὲ μέλλων πορείαν ποιήσασθαι· οὐ γὰρ ἔδει με τῷ συνήθει ἐνδύματι παραγενέσθαι.»

«Καθάπερ τις ἔχων προσφιλέστατον συγγενῆ αἰχμάλωτον ἐν ἀλλοδαπεῖ ἀπαχθέντα ἔθνει, καὶ τοῦτον βουλόμενος ἐκεῖθεν ἐξαγαγεῖν, ἀποθέμενος αὐτοῦ τὴν ἐσθῆτα καὶ τὸ τῶν ὑπεναντίων ὑποδὺς προσωπεῖον τὴν ἐκείνων καταλάβοι (3) χώραν, καὶ πολυτρόπως τὸν οἰκεῖον τῆς πικρᾶς ἐλευθερώσειε τυραννίδος· τὸν αὐτὸν δὴ τρόπον κἀγὼ τὰ κατὰ σὲ μυηθείς, τοῦτο περιθέμενος τὸ σχῆμα, ἦλθον τὸν σπόρον τοῦ θείου κηρύγματος τῇ σῇ καταβαλεῖν καρδίᾳ, καὶ τῆς

(1) Eadem fuit et Diogenis circa vestitum parcitas ac paupertatis rigidæ fastus : cf. Not. Mss. t. IX, II, p. 233; Epist. Socrat. 6, ubi Allatius p. 161. Fuit ob id Socrates ab ipso laudatus Joanne Chrys. Ecl. pag. 431 : *ἑνὸς ἱματίου πλέον εἶχεν οὐδὲν, καὶ τοῦτο μόνον καὶ χειμῶνος καὶ θέρους καὶ ἐν πάσαις ταῖς ὥραις τοῦ ἔτους περιβεβλημένος ἐφαίνετο.*

(2) Leo Diac. x, 2, de Basilio patriarcha : *ἀμπεχόνῃ κεχρημένος θέρει τε καὶ χειμῶνι μιᾷ, καὶ ταύτῃ μὴ ἀπεκδυόμενος, ἕως ἂν διεῤῥύη καὶ ἄχρηστος ἐξεγένετο.* Puto *ταύτῃ* vitium esse syntaxeos librarii calamo, non Leoni, tribuendum, ac *ταύτην* scribendum.

(3) A, *καταλάβοιε*, ac prius *καταλάβοιεν*. Quæ forma nonnunquam reperitur. Dion Chrysost. Orat. x, p. 295 : *ἀνέκρινεν ὁ Διογένης τὸν ἄνθρωπον ὅ τι πράττοιεν·* inveni *πράττοιε* in codice 2958. Dion Cass. XXXV, 5 : *εἴπε ἐμμένοιε·* quod in *ἐμμένοι* mutavit vir d., lectore non monito. Sed prætuli legitimum *καταλάβοι*, quo me duxit C, in quo *καταλάβει*.

δουλείας λυτρώσασθαι τοῦ δεινοῦ κοσμοκράτορος (1). »

« Καὶ νῦν ἰδοὺ τῇ τοῦ Θεοῦ δυνάμει, ὅσον τὸ ἐπ' ἐμοὶ, τὴν διακονίαν μου πεποίηκα, τὴν αὐτοῦ καταγγείλας σοι γνῶσιν καὶ τὸ τῶν προφητῶν καὶ Ἀποστόλων γνωρίσας κήρυγμα, διδάξας τε ἀπλανῶς καὶ φιλαλήθως τὴν τῶν παρόντων ματαιότητα καὶ οἵων κακῶν ὁ κόσμος γέμει, χαλεπῶς ἀπατῶν τοὺς αὐτῷ πειθομένους καὶ πολυτρόπως αὐτοὺς παιδεύων. »

« Λοιπὸν πορευθῆναί με δεῖ ὅθεν ἐλήλυθα. Καὶ τηνικαῦτα, τὸ ἀλλότριον ἀποθέμενος σχῆμα, τὸ ἴδιον ἔσομαι ἐνδεδυμένος. »

Δυσωπεῖ τοίνυν τὸν γέροντα ὁ Ἰωάσαφ ὀφθῆναι αὐτῷ τῷ συνήθει αὐτοῦ ἐνδύματι. Τότε ὁ Βαρλαὰμ ἀπεκδυσάμενος ὃ ἦν περιβεβλημένος ἱμάτιον, θέαμα ὤφθη φοβερὸν τῷ Ἰωάσαφ. Ἦν γὰρ ἡ πᾶσα μὲν τῆς σαρκὸς ποιότης δεδαπανημένη, μεμελανωμένον δὲ τὸ δέρμα ἐκ τῆς ἡλιακῆς φλογώσεως καὶ περιτεταμένον τοῖς ὀστέοις, ὡς εἴ τις δορὰν τινα περιτείνει ἐν λεπτοῖς καλάμοις· τρίχινον δέ τι ῥάκος ἐρρικνωμένον καὶ λίαν τραχὺ περιεζώννυτο ἐξ ὀσφύος μέχρι γονάτων· ὅμοιον δὲ τούτῳ πάλλιον (2) περιεβέβλητο κατὰ τῶν ὤμων.

Ὑπερθαυμάσας δὲ ὁ Ἰωάσαφ τῆς σκληρᾶς ταύτης διαγωγῆς τὸ ἐπίπονον, καὶ τὸ τῆς καρτερίας ὑπερβάλλον ἐκπλαγεὶς, σφοδρῶς ἐδάκρυε, καὶ φησὶ πρὸς τὸν γέροντα· « Ἐπεί με τῆς πικρᾶς τοῦ Διαβόλου δουλείας ἐλευθερῶσαι ἥκεις, τέλος σου τῇ εὐεργεσίᾳ ἐπιθεὶς, « ἐξάγαγε (3) ἐκ φυλακῆς τὴν ψυχήν μου »,

(1) Conf. p. 13, n. 3.

(2) Latinorum *pallium*. Moschus Prato c. 76 : εὗρον τινα μοναχὸν... μηδὲν ἔχοντα πλὴν σιχαρίου τριχίνου καὶ παλλίου.

(3) Psalm. CXLI, 7.

καὶ, παραλαβών με μετὰ σοῦ, ἄγωμεν ἐντεῦθεν, ἵνα τέλεον λελυτρωμένος τῆς τοῦ κόσμου ἀπάτης τὴν σφραγῖδα τηνικαῦτα δέξωμαι τοῦ σωτηρίου βαπτίσματος, καὶ κοινωνός σοι τῆς θαυμαστῆς ταύτης φιλοσοφίας καὶ ὑπερφυοῦς ἀσκήσεως γένωμαι.»

Εἶπε δὲ Βαρλαὰμ πρὸς αὐτόν· «Νεβρὸν δορκάδος ἔτρεφέ τις τῶν πλουσίων. Αὐξηθεῖσα δὲ αὕτη τὰς ἐρήμους ἐπόθει, τῇ φυσικῇ ἑλκομένη ἕξει. Ἐξελθοῦσα τοίνυν ἐν μιᾷ, εὑρίσκει ἀγέλην δορκάδων βοσκομένων καὶ ἐχόμενα τούτων περιῆγεν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ, ὑποστρέφουσα μὲν τὸ πρὸς ἑσπέραν, ἅμα δὲ πρωῒ, τῇ τῶν ὑπουργούντων ἀμελείᾳ, ἐξερχομένη καὶ τοῖς ἀγρίοις συναγελάζουσα. Ἐκείνων δὲ πορρωτέρω μεταθεμένων νέμεσθαι, συνηκολούθησε καὶ αὐτή. Οἱ δὲ τοῦ πλουσίου ὑπηρέται, τοῦτο αἰσθόμενοι, ἐφ' ἵππων ἀναβάντες, κατεδίωξαν ὀπίσω αὐτῶν, καὶ τὴν μὲν ἰδίαν δορκάδα ζωγρήσαντες, καὶ ἐπαναστρέψαντες οἴκαδε, ἀπείρητον τοῦ λοιποῦ ἔθεντο· τῆς δὲ λοιπῆς ἀγέλης τὰς μὲν ἀπέκτειναν, τὰς δὲ κακῶς διέθεντο.»

«Τὸν αὐτὸν δὴ τρόπον δέδοικα γενέσθαι καὶ ἐφ' ἡμᾶς, εἰ συνακολουθήσεις μοι· μήποτε καὶ τῆς σῆς ἀποστερηθῶ συνοικήσεως, καὶ κακῶν πολλῶν τοῖς ἑταίροις μου γένωμαι πρόξενος κρίματός τε αἰωνίου τῷ σῷ γεννήτορι. Ἀλλὰ τοῦτό σε βούλεται ὁ Κύριος, νῦν μὲν σημειωθῆναι τῇ σφραγῖδι τοῦ θείου βαπτίσματος (1), καὶ μένειν ἐπὶ χώρας, πάσης ἀντεχόμενον εὐσεβείας καὶ τῆς τῶν ἐντολῶν τοῦ Χριστοῦ ἐργασίας. Ἐπὰν

(1) C, σφραγ. τοῦ ἁγίου πνεύματος. Baptismus fuit olim σφραγὶς dictus : vide Segaar. ad Clem. Alexandr. « Quis dives salvetur » pag. 380 ; Fabric. ad Pseudo-Abdiam p. 537, 700.

δὲ δόξῃ καιρὸν ὁ πάντων δοτὴρ τῶν καλῶν, τηνικαῦτα καὶ ἐλεύσῃ πρὸς ἡμᾶς, καὶ τὸ ὑπόλοιπον τῆς παρούσης ζωῆς ἀλλήλοις συνοικήσαιμεν. Πέποιθα δὲ τῷ Κυρίῳ καὶ ἐν τῇ μελλούσῃ διαγωγῇ ἀδιαστάτους ἡμᾶς εἶναι. »

Αὖθις δὲ ὁ Ἰωάσαφ δακρύων φησὶ πρὸς αὐτόν· « Εἰ τῷ Κυρίῳ ταῦτα δοκεῖ, τὸ θέλημα αὐτοῦ γενέσθω (1). Τελειώσας οὖν με λοιπὸν τῷ θείῳ βαπτίσματι, καὶ λαβὼν παρ' ἐμοῦ χρήματα καὶ ἱμάτια εἰς διατροφὴν καὶ ἀμφίασιν σοῦ τε καὶ τῶν ἑταίρων σου, ἄπελθε εἰς τὸν τόπον τῆς ἀσκήσεώς σου, τῇ τοῦ Θεοῦ εἰρήνῃ φρουρούμενος. Κἀμοῦ μὴ διαλίπῃς ὑπερευχόμενος, ἵνα μὴ ἐκπέσοιμι τῆς ἐλπίδος μου, ἀλλὰ θᾶττον ἰσχύσω καταλαβεῖν σε καὶ ἐν ἡσυχίᾳ βαθείᾳ τῆς παρὰ σοῦ ἀπολαύειν ὠφελείας. »

Ὁ δὲ Βαρλαὰμ ἔφη· « Τὴν μὲν τοῦ Χριστοῦ σε λαβεῖν σφραγῖδα τὸ κωλύον οὐδέν. Εὐτρέπισον λοιπὸν σεαυτόν· καί, τοῦ Κυρίου συνεργοῦντος, τελειωθήσῃ. Περὶ ὧν δὲ εἶπας χρημάτων τοῖς ἑταίροις μου παρασχεῖν, πῶς ἔσται τοῦτο, σὲ τὸν πένητα τοῖς πλουσίοις ἐλεημοσύνην διδόναι; οἱ πλούσιοι γὰρ ἀεὶ τοὺς πένητας εὐεργετοῦσιν, οὐ μὴν δὲ οἱ ἄποροι τοὺς εὐπόρους. Ὁ γὰρ ἔσχατος πάντων τῶν ἑταίρων μου πλουσιώτερός σου ἀσυγκρίτως καθέστηκεν. Ἀλλὰ πέποιθα εἰς τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ καὶ σὲ ὅσον οὔπω ὑπερπλουτῆσαι· καὶ οὐκ εὐμετάδοτος τηνικαῦτα ἔσῃ. »

Εἶπε δὲ ὁ Ἰωάσαφ πρὸς αὐτόν· « Σαφήνισόν μοι τὸν λόγον, πῶς ὁ πάντων ἔσχατος τῶν σῶν ἑταίρων ὑπέρκειταί μου τῷ πλούτῳ, οὕσπερ πολλῇ συζῆν

(1) Matth. VI, 10; XXVI, 42 : γενηθήτω τὸ θέλημά σου.

ἀκτημοσύνῃ καὶ ἐσχάτῃ ταλαιπωρεῖσθαι πτωχείᾳ περὶ μικροῦ ἔλεγες, πῶς δὲ νῦν μὲν πένητά με ἀποκαλεῖς, ὅταν δὲ ὑπερπλουτήσω οὐκ εὐμετάδοτον γενέσθαι λέγεις τὸν εὐμετάδοτον νῦν καθεστηκότα.»

Ὁ δὲ Βαρλαὰμ ἀπεκρίνατο· «Οὐ πτωχείᾳ τούτους ἔφην ταλαιπωρεῖσθαι, ἀλλὰ πλούτῳ κομᾷν ἀκενώτῳ. Τὸ γὰρ ἀεὶ τοῖς χρήμασι προστιθέναι χρήματα, καὶ μὴ τῆς ὁρμῆς χαλινοῦσθαι, ἀλλὰ καὶ πλειοτέρων ἀκορέστως ὀρέγεσθαι, τοῦτο πενίας ἐσχάτης ἐστί· τοὺς δὲ τῶν παρόντων μὲν ὑπεριδόντας πόθῳ τῶν αἰωνίων, καὶ σκύβαλα ταῦτα ἡγησαμένους, ἵνα Χριστὸν μόνον κερδήσωσι (1), πᾶσαν δὲ βρωμάτων καὶ ἐνδυμάτων ἀποθεμένους μέριμναν καὶ τῷ Κυρίῳ ταύτην ἐπιρρίψαντας, εὐφραινομένους δὲ τῇ ἀκτησίᾳ, ὡς οὐκ ἄν τις τῶν φιλοκόσμων εὐφρανθείη πλούτῳ καὶ χρήμασι βρίθων, καὶ τὸν πλοῦτον τῆς ἀρετῆς ἀφθόνως ἑαυτοῖς συναγηοχότας, ταῖς ἐλπίσι τε τῶν ἀτελευτήτων τρεφομένους ἀγαθῶν, εἰκότως πλουσιωτέρους σου καὶ πάσης τῆς ἐπιγείου βασιλείας καλέσαιμι. Τοῦ δὲ Θεοῦ συνεργοῦντός σοι, ἐπιλήψῃ καὶ αὐτὸς τῆς τοιαύτης πνευματικῆς περιουσίας, ἥνπερ ἐν ἀσφαλείᾳ τηρῶν καὶ τοῦ πλείονος ἀεὶ δικαίως ἐφιέμενος, οὐκ ἂν θελήσειάς τι ταύτης κατακενοῦν ὅλως. Αὕτη γάρ ἐστιν ἀληθὴς περιουσία· ὁ δὲ τοῦ αἰσθητοῦ πλούτου ὄγκος βλάψειε μᾶλλον τοὺς αὐτοῦ φίλους ἢ ὠφελήσειεν. Εἰκότως οὖν πενίαν ἐσχάτην τοῦτον ἀπεκάλεσα, ὅνπερ οἱ ἐρασταὶ τῶν οὐρανίων ἀγαθῶν πάντῃ ἀπαρνησάμενοι ἔφυγον ἀπ' αὐτοῦ, ὡς

(1) Epist. ad Philipp. III, 8 : ἡγοῦμαι (πάντα) σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω.

φεύγει τις ἀπὸ ὄφεως. Εἰ δὲ, ὃν ἀπέκτειναν ἐχθρὸν καὶ τοῖς ποσὶ συνεπάτησαν οἱ συνασκηταί μου καὶ συστρατιῶται, τοῦτον αὖθις ζῶντα παρὰ σοῦ λαβὼν αὐτοῖς ἀπενέγκω, καὶ πρόξενος πολέμων καὶ παθῶν γένωμαι, ἔσομαι αὐτοῖς πάντως Ἄγγελος πονηρός· ὅπερ μὴ γένοιτό μοι ποιῆσαι. Τὰ αὐτὰ δέ μοι νόει καὶ περὶ ἐνδυμάτων. Τοῖς γὰρ ἀπεκδυσαμένοις τὴν τῆς παλαιότητος καταφθορὰν καὶ τὸ τῆς παραχοῆς ἔνδυμα, ὅσον τὸ ἐπ' αὐτοῖς, ἀποθεμένοις, τὸν Χριστὸν δὲ ὡς ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης ἐνδεδυμένοις, πῶς αὐτοὺς πάλιν τοὺς δερματίνους ἀμφιάσαιμι χιτῶνας καὶ τὸ τῆς αἰσχύνης περιθήσομαι περιβόλαιον; ἀλλὰ τοὺς μὲν ἐμοὺς ἑταίρους μηδενὸς τῶν τοιούτων ἐπιδεομένους γινώσκων, τῇ τῆς ἐρήμου δὲ ἀρκουμένους ἀσκήσει καὶ τρυφὴν ταύτην λογιζομένους ἀληθεστάτην, τὰ χρήματα καὶ ἱμάτια, ἅπερ τούτοις ἔλεγες παρασχεῖν, τοῖς πένησι διανείμας, θησαυρὸν ἑαυτῷ εἰς τὸ μέλλον ἄσυλον θησαύρισον, τὸν Θεὸν ἑαυτῷ ταῖς ἐκείνων εὐχαῖς ἐπίκουρον θέμενος· οὕτω γὰρ μᾶλλον συνεργῷ τῷ πλούτῳ πρὸς τὰ καλὰ χρήσαιο. »

« Εἶτα καὶ τὴν πανοπλίαν τοῦ πνεύματος περιβαλλόμενος, καὶ τὴν μὲν ὀσφῦν ἐν ἀληθείᾳ περιζωσάμενος, ἐνδυσάμενος δὲ καὶ τὸν τῆς δικαιοσύνης θώρακα, περιθέμενός τε καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου, καὶ τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης ὑποδησάμενος, μετὰ χεῖράς τε τὸν τῆς πίστεως ἀναλαβὼν θυρεὸν, καὶ τὴν τοῦ πνεύματος μάχαιραν, ἥ ἐστι ῥῆμα Θεοῦ (1), καὶ πάντοθεν

(1) Ep. ad Ephes. VI, 13, sq. : ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ....

ἄριστα καθοπλισθεὶς καὶ περιφραξάμενος, οὕτω πεποιθὼς πρὸς τὸν κατὰ τῆς ἀσεβείας ἔξελθε πόλεμον, ὡς ἂν, ταύτην τρεψωσάμενος καὶ τὸν αὐτῆς ἀρχηγὸν Διάβολον εἰς γῆν καταῤῥάξας, τοῖς τῆς νίκης στεφάνοις κοσμηθήσῃ ἐκ τῆς ζωαρχικῆς δεξιᾶς τοῦ Δεσπότου. »

Τοῖς τοιούτοις οὖν δόγμασι καὶ λόγοις σωτηρίοις κατηχήσας ὁ Βαρλαὰμ τὸν τοῦ βασιλέως υἱὸν καὶ πρὸς τὸ θεῖον βάπτισμα εὐτρεπίσας, νηστεύειν τε καὶ εὔχεσθαι ἐντειλάμενος, κατὰ τὸ ἔθος, ἐφ' ἱκανὰς ἡμέρας, οὐ διέλιπε συχνάζων πρὸς αὐτὸν, καὶ πᾶσαν δογματικὴν φωνὴν τῆς ὀρθοδόξου πίστεως ἐκδιδάσκων καὶ τὸ θεῖον εὐαγγέλιον ὑπαγορεύων αὐτῷ, πρὸς δὲ καὶ τὰς ἀποστολικὰς παραινέσεις καὶ τὰς προφητικὰς ῥήσεις ἑρμηνεύων· θεοδίδακτος γὰρ ὢν ὁ ἀνὴρ πᾶσαν ἐπὶ στόματος παλαιάν τε καὶ καινὴν γραφὴν ἔφερε, καὶ, τῷ θείῳ κινούμενος πνεύματι, ἐφώτισεν αὐτὸν πρὸς τὴν ἀληθῆ θεογνωσίαν.

Ἐν αὐτῇ δὲ τῇ ἡμέρᾳ ὅτε βαπτισθῆναι ἔμελλε, διδάσκων αὐτὸν, ἔλεγεν· « Ἰδοὺ τὴν τοῦ Χριστοῦ ἐπείγῃ λαβεῖν σφραγῖδα, καὶ τῷ φωτὶ σημειωθῆναι τοῦ προσώπου Κυρίου (1). Καὶ υἱὸς μὲν γίνῃ Θεοῦ, ναὸς δὲ τοῦ ἁγίου καὶ ζωοποιοῦ Πνεύματος. Πίστευε (2) τοίνυν εἰς Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα, τὴν ἁγίαν καὶ ζωαρχικὴν Τριάδα ἐν τρισὶν ὑποστάσεσι

στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως. In A glossator ad πανοπλίαν· τὸ ἱμάτιον τῶν μοναχῶν: ad περιζωσάμενος: τὸν λῶρον: ad θώρακα· τὸν μανδύαν (cf. t. III, p. 157): ad περικεφαλαίαν· τὸ κουκούλιον: ad ὑποδησάμενος· τὰ σάνδαλα: ad θυρεόν· τὸν ἀνάλαβον.

(1) Psalm. IV, 6: ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.

(2) Lemma metricum in A: Θεολογίαν τὴν τοῦ Βαρλαὰμ ὅρα.

καὶ μιᾷ θεότητι δοξαζομένην, διαιρετὴν μὲν ταῖς ὑποστάσεσι καὶ ταῖς ὑποστατικαῖς ἰδιότησιν, ἡνωμένην δὲ τῇ οὐσίᾳ· ἕνα μὲν γινώσκων Θεὸν ἀγέννητον, τὸν Πατέρα, ἕνα δὲ γεννητὸν Κύριον, τὸν Υἱὸν, « φῶς » ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ γεν- » νηθέντα πρὸ πάντων τῶν αἰώνων (1) »· ἀγαθοῦ γὰρ Πατρὸς ἀγαθὸς ἐγεννήθη Υἱὸς, φωτὸς δὲ τοῦ ἀγεννήτου φῶς ἐξέλαμψε τὸ ἀΐδιον, καὶ ἐκ τῆς ὄντως ζωῆς ἡ ζωοποιὸς προῆλθε πηγὴ, καὶ ἐκ τῆς αὐτοδυνάμεως ἡ τοῦ Υἱοῦ δύναμις ἐξεφάνη, « ὅς ἐστιν ἀπαύγασμα » τῆς δόξης (2) » καὶ λόγος ἐνυπόστατος, « ἐν ἀρχῇ » ὢν πρὸς τὸν Θεὸν (3) » καὶ Θεὸς ἄναρχός τε καὶ ἀΐδιος· δι' οὗ τὰ πάντα ἐγένετο τὰ ὁρατὰ καὶ τὰ ἀόρατα (4)· καὶ ἓν εἰδὼς Πνεῦμα Ἅγιον, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον (5), Θεὸν τέλειον καὶ ζωοποιὸν καὶ ἁγιασμοῦ παρεκτικὸν, ταυτοθελὲς, ταυτοδύναμον, συναΐδιον, ἐνυπόστατον. Οὕτως οὖν προσκύνει τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα ἐν τρισὶν ὑποστάσεσιν, εἴτουν ἰδιότησι, καὶ θεότητι μιᾷ· κοινὸν μὲν γὰρ τῶν τριῶν ἡ θεότης, καὶ μία αὐτῶν ἡ φύσις, μία οὐσία, μία δόξα, μία βασιλεία, μία δύναμις, μία ἐξουσία· κοινὸν δὲ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι τὸ ἐκ τοῦ

(1) Verba sunt Symboli. Nonnus Paraphr. I, 3 : Καὶ λόγος αὐτοφύτοιο Θεοῦ, φῶς, ἐκ φάεος φῶς.

(2) Epist. ad Hebr. I, 3. Cf. tom. III, p. 339.

(3) Joann. I, 2.

(4) Joann. I, 3 : πάντα δι' αὐτοῦ ἐγένετο. Ubi Theophylact. p. 383 : ὁ δ' εὐαγγελιστὴς, ἑνὶ ῥήματι πάντα περιλαβὼν, φησί· πάντα δι' αὐτοῦ ἐγένετο, τὰ ὁρατὰ καὶ τὰ νοητά. Confer verba Symboli.

(5) Billyus audacior, nec monito lectore, Symbolum Latinorum sequutus : *procédant du Père et du Fils* ; approbationem scilicet meriturus doctorum Sorbonicorum, qui Barlaami historiam esse catholicam declaraverunt.

Πατρὸς, ἴδιον δὲ τοῦ Πατρὸς μὲν ἡ ἀγεννησία, Υἱοῦ δὲ ἡ γέννησις, Πνεύματος δὲ ἡ ἐκπόρευσις (1). »

« Οὕτω μὲν οὖν ταῦτα πίστευε· καταλαβεῖν δὲ τὸν τρόπον τῆς γεννήσεως ἢ τῆς ἐκπορεύσεως μὴ ἐπιζήτει (ἀκατάληπτος γάρ)· ἀλλ' ἐν εὐθύτητι καρδίας (2) ἀπεριέργως προσδέχου ὅτι ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα κατὰ πάντα ἕν εἰσι, πλὴν τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως καὶ τῆς ἐκπορεύσεως, καὶ ὅτι ὁ μονογενὴς Υἱὸς καὶ λόγος τοῦ Θεοῦ καὶ Θεὸς διὰ τὴν ἡμετέραν σωτηρίαν κατῆλθεν ἐπὶ τῆς γῆς εὐδοκίᾳ τοῦ Πατρὸς (3) καὶ συνεργίᾳ τοῦ Ἁγίου Πνεύματος, ἀσπόρως συλληφθεὶς ἐν τῇ μήτρᾳ τῆς ἁγίας παρθένου καὶ θεοτόκου Μαρίας διὰ Πνεύματος Ἁγίου, καὶ ἀφθόρως ἐξ αὐτῆς γεννηθεὶς, καὶ ἄνθρωπος τέλειος γενόμενος, καὶ ὅτι αὐτὸς Θεὸς τέλειος ἐστὶ καὶ ἄνθρωπος τέλειος, γενόμενος ἐκ δύο φύσεων, θεότητός τε καὶ ἀνθρωπότητος, καὶ ἐν δύο φύσεσι νοεραῖς, θελητικαῖς τε καὶ ἐνεργητικαῖς καὶ αὐτεξουσίοις, καὶ κατὰ πάντα τελείως ἐχούσαις κατὰ τὸν ἑκάστῃ πρέποντα ὅρον τε καὶ λόγον, θεότητι φημὶ καὶ ἀνθρωπότητι, μιᾷ δὲ συνθέτῳ ὑποστάσει. »

« Καὶ ταῦτα δὲ ἀπεριέργως δέχου, μηδόλως τὸν τρόπον μαθεῖν ἐκζητῶν, πῶς « ἑαυτὸν ἐκένωσεν (4) » ὁ υἱὸς τοῦ Θεοῦ καὶ ἄνθρωπος γέγονεν ἐκ παρθενικῶν

(1) Et rursum Billyus schismaticum scriptorem emendaturus : *et du S. E., procéder des deux*. Supra p. 83, 22, eodem modo, catholicus magis quam fidus interpres, verterat : *un S. E. qui procède des deux*. Ac latina pariter a græcis recedunt.

(2) Psalm. CXVIII, 7 : ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας.

(3) Ep. ad Ephes. I, 5 : κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ.

(4) Epist. ad Philipp. II, 7.

αἱμάτων ἀσπόρως τε καὶ ἀφθάρτως, ἢ τίς ἡ τῶν δύο φύσεων ἐν μιᾷ ὑποστάσει συνέλευσις. Πίστει γὰρ ταῦτα ἐδιδάχθημεν κατέχειν τὰ θειωδῶς ἡμῖν ἐκ τῆς θείας γραφῆς εἰρημένα· τὸν δὲ τρόπον καὶ ἀγνοοῦμεν καὶ λέγειν οὐ δυνάμεθα (1). »

« Πίστευε τὸν υἱὸν τοῦ Θεοῦ, τὸν « διὰ σπλάγχνα » ἐλέους (2) » γενόμενον ἄνθρωπον, πάντα τε ἀναδέξασθαι τὰ τῆς ἀνθρωπότητος φυσικὰ καὶ ἀδιάβλητα πάθη (ἐπείνησε γὰρ καὶ ἐδίψησε, καὶ ὕπνωσε, καὶ ἐκοπίασε, καὶ ἠγωνίασε τῇ φύσει τῆς ἀνθρωπότητος, καὶ ὑπὲρ τῶν ἀνομιῶν ἡμῶν ἤχθη εἰς θάνατον, ἐσταυρώθη, καὶ ἐτάφη, θανάτου γευσάμενος, τῆς θεότητος ἀπαθοῦς καὶ ἀτρέπτου διαμεινάσης· οὐδὲν γὰρ ὅλως τῶν παθῶν τῇ ἀπαθεῖ προσάπτομεν φύσει· ἀλλὰ τῷ προσλήμματι (3) γινώσκομεν αὐτὸν παθόντα καὶ ταφέντα, καὶ τῇ θείᾳ δόξῃ ἐκ νεκρῶν ἀναστάντα, ἐν ἀφθαρσίᾳ τε εἰς οὐρανοὺς ἀνεληλυθότα), καὶ ἥξειν πάλιν μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκροὺς (4) οἷς αὐτὸς οἶδε λόγοις θεοειδεστέρου σώματος, καὶ ἀποδώσειν ἑκάστῳ τοῖς δικαίοις αὐτοῦ σταθμοῖς. Ἀναστήσονται γὰρ οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις (5)· καὶ οἱ μὲν τὰς τοῦ Χριστοῦ φυλάξαντες ἐντολὰς καὶ τῇ ὀρθῇ συναπελθόντες πίστει κληρονομή-

(1) Eadem Joann. Chrys. prudentia, Hom. in Ps. L, pag. 44 Cotel. ubi de incarnationis mysterio : ἐγὼ μὲν ὅτι..... καὶ ἐν τῇ μήτρᾳ τῆς παρθένου κατῴκει οἶδα, τὸ δὲ πῶς οὐκ οἶδα· πίστει δέχομαι, οὐ περιεργάζομαι τῷ λόγῳ. Et Hieronymus De Trinit. p. 50 : προσκύνει Θεὸν, μὴ ἐρευνῶν τὸν Θεόν· ὁμολόγει Πατέρα, ἀλλὰ μὴ ζήτει τὸ πρᾶγμα τοῦ κατὰ Θεὸν μυστηρίου· ubi Carpzov.

(2) Luc. I, 78.

(3) Glossa in A : ἤτοι τῇ σαρκί.

(4) Cf. Symbolum. — II Epist. ad Tim. IV, 1 : Χριστοῦ τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς.

(5) Conf. p. 68, n. 2.

σουσι ζωὴν αἰώνιον, οἱ δ' ἐν ἁμαρτίαις καταφθαρέντες καὶ τῆς ὀρθῆς ἐκκλίναντες πίστεως « εἰς κόλα- » σιν αἰώνιον ἀπελεύσονται (1). »

« Πίστευε μὴ οὐσίαν τινὰ εἶναι τοῦ κακοῦ ἢ βασιλείαν, μηδὲ ἄναρχον αὐτὴν ὑπολάμβανε ἢ παρ' ἑαυτῆς ὑποστᾶσαν, ἢ παρὰ τοῦ Θεοῦ γενομένην (ἄπαγε τῆς ἀτοπίας!), ἀλλ' ἡμέτερον ἔργον τοῦτο καὶ τοῦ Διαβόλου, ἐκ τῆς ἡμετέρας ἀπροσεξίας ἐπεισφρῆσαν (2) ἡμῖν διὰ τὸ αὐτεξουσίους ἡμᾶς γεγενῆσθαι, καὶ αὐτοπροαιρέτῳ βουλήσει τοῦτο ἐκλέγεσθαι, εἴτε ἀγαθὸν, εἴτε καὶ φαῦλον. »

« Πρὸς τούτοις ὁμολόγει ἓν βάπτισμα ἐξ ὕδατος καὶ πνεύματος εἰς ἄφεσιν ἁμαρτιῶν. »

« Δέχου καὶ τὴν μετάληψιν τῶν ἀχράντων τοῦ Χριστοῦ μυστηρίων, πιστεύων ἐν ἀληθείᾳ σῶμα καὶ αἷμα ὑπάρχειν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἃ δέδωκε τοῖς πιστοῖς εἰς ἄφεσιν ἁμαρτιῶν. Ἐν τῇ νυκτὶ γὰρ ᾗ παρεδίδοτο, διαθήκην καινὴν διέθετο τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, καὶ δι' αὐτῶν πᾶσι τοῖς εἰς αὐτὸν πιστεύουσιν, εἰπών· « Λάβετε (3), φά- » γετε· τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν κλώ- » μενον (4) εἰς ἄφεσιν ἁμαρτιῶν. » Ὁμοίως δὲ καὶ τὸ ποτήριον λαβὼν δέδωκεν αὐτοῖς, λέγων· « Πίετε (5) » ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου, τὸ » τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον » εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν » ἀνάμνησιν (6). » Αὐτὸς οὖν « ὁ λόγος τοῦ Θεοῦ ὁ

(1) Matth. xxv, 46.
(2) C, ἐπεισπλθόν.
(3) Matth. xxvi, 26.
(4) 1 Epist. ad Cor. xi, 24.
(5) Matth. xxvi, 27, 28.
(6) 1 Epist. ad Cor. xi, 25.

» ζῶν, καὶ ἐνεργὴς (1) », καὶ πάντα ποιῶν τῇ δυνάμει αὐτοῦ, ποιεῖ καὶ μετασκευάζει διὰ τῆς θείας ἐνεργείας τὸν ἄρτον καὶ τὸν οἶνον τῆς προσφορᾶς σῶμα αὐτοῦ καὶ αἷμα, τῇ ἐπιφοιτήσει τοῦ Ἁγίου Πνεύματος, εἰς ἁγιασμὸν καὶ φωτισμὸν τῶν πόθῳ μεταλαμβανόντων. »

« Προσκύνει πιστῶς τιμῶν καὶ ἀσπαζόμενος τὸ σεβάσμιον ἐκτύπωμα τοῦ δεσποτικοῦ χαρακτῆρος τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος Θεοῦ λόγου, αὐτὸν δοκῶν τὸν κτίστην ὁρᾶν ἐν τῇ εἰκόνι. « Ἡ τιμὴ γὰρ τῆς » εἰκόνος » φησί τις (2) τῶν ἁγίων, « ἐπὶ τὸ πρω» τότυπον διαβαίνει » · πρωτότυπον δέ ἐστι τὸ εἰκονιζόμενον, ἐξ οὗ τὸ παράγωγον γίνεται. Τὴν γὰρ ἐν εἰκόνι βλέποντες γραφὴν, τοῖς τοῦ νοὸς ὀφθαλμοῖς πρὸς τὴν ἀληθινὴν διαβαίνομεν ἰδέαν οὗ ἐστιν ἡ εἰκὼν, εὐσεβῶς προσκυνοῦντες τὴν τοῦ δι' ἡμᾶς σαρκωθέντος μορφὴν, οὐ θεοποιούμενοι, ἀλλ' ὡς εἰκόνα τοῦ σαρκωθέντος Θεοῦ κατασπαζόμενοι, πόθῳ καὶ ἀγάπῃ τοῦ κενώσαντος ἑαυτὸν δι' ἡμᾶς μέχρι καὶ δούλου μορφῆς (3) · ὁμοίως καὶ τῆς ἀχράντου μητρὸς αὐτοῦ καὶ πάντων τῶν ἁγίων τὰ ἐκτυπώματα τούτῳ τῷ λόγῳ περιπτυσσόμενοι. Ὡσαύτως δὲ καὶ τὸν τύπον τοῦ ζωοποιοῦ καὶ σεβασμίου σταυροῦ πίστει προσκυνῶν κατασπάζου διὰ τὸν κρεμασθέντα ἐν αὐτῷ σαρκὶ

(1) Epist. ad Hebr. IV, 12.

(2) Verba sunt Basilii, teste Joanne Damasceno Orat. III, pro imagg. edit. Majorani pag. 157 : ἡ γὰρ τῆς εἰκ.... διαβαίνει, καθὼς φησὶν ὁ θεῖος Βασίλειος. Et in Orat. I, p. 35, Orat. II, p. 88, recitata sunt eadem verba disertius ex Basilii Capitibus ad Amphilochium de S. S. cap. 19. Editionem Garnerianam indicarem, si foret ad manus, et eam quærere tanti putarem.

(3) Epistola ad Philippenses, II, 7 : ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών.

ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν Χριστὸν τὸν Θεὸν καὶ σωτῆρα τοῦ κόσμου, καὶ δόντα ἡμῖν τοῦτον σύμβολον τῆς κατὰ τοῦ Διαβόλου νίκης· φρίττει γὰρ καὶ τρέμει, μὴ φέρων καθορᾷν, αὐτοῦ τὴν δύναμιν. »

« Ἐν τοῖς τοιούτοις δόγμασι καὶ μετὰ τοιαύτης πίστεως βαπτισθήσῃ, ἄτρεπτον ταύτην καὶ ἀμιγῆ πάσης αἱρέσεως φυλάττων μέχρις ἐσχάτης ἀναπνοῆς. Πᾶσαν δὲ διδασκαλίαν καὶ πᾶσαν δογματικὴν φωνὴν, ταύτῃ τῇ ἀμωμήτῳ ἀνθισταμένην πίστει, βδελύσσου, καὶ ἀλλοτρίωσιν λογίζου εἶναι Θεοῦ. Φησὶ γὰρ ὁ Ἀπόστολος (1) ὅτι, « κἂν ἡμεῖς ἢ Ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα » ἔστω. » Οὐκ ἔστι γὰρ ἄλλο εὐαγγέλιον καὶ ἄλλη πίστις, πλὴν ἡ διὰ τῶν ἀποστόλων κηρυχθεῖσα, καὶ διὰ τῶν θεοφόρων πατέρων ἐν διαφόροις συνόδοις βεβαιωθεῖσα, καὶ τῇ καθολικῇ ἐκκλησίᾳ βεβαιωθεῖσα (2). »

Ταῦτα εἰπὼν ὁ Βαρλαὰμ, καὶ τὸ τῆς πίστεως σύμβολον τὸ ἐκτεθὲν ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ διδάξας τὸν τοῦ βασιλέως υἱὸν, ἐβάπτισεν αὐτὸν (3) εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος εἰς τὴν κολυμβήθραν τοῦ ὕδατος τὴν οὖσαν ἐν τῷ παραδείσῳ αὐτοῦ. Καὶ ἦλθεν ἐπ' αὐτὸν ἡ χάρις τοῦ Ἁγίου Πνεύματος.

Ἐπανελθὼν δὲ εἰς τὸν αὐτοῦ κοιτῶνα, καὶ τὴν ἱερὰν ἐπιτελέσας μυσταγωγίαν τῆς ἀναιμάκτου θυσίας, μετέδωκεν αὐτῷ τῶν ἀχράντων τοῦ Χριστοῦ μυστη-

(1) Epist. ad Gal. 1, 8.

(2) Displicet repetitio verbi βεβαιωθ. Usus sum unico codice C; nam hæc ultima verba, καὶ τῇ κ. ἐκκλησίᾳ βεβαιωθεῖσα, non exstant in cod. A. Billyus : *et donnée à l'église catholique.* Invenitne δοθεῖσα, παραδοθεῖσα?

(3) Lemma metricum in A : Ἰωάσαφ ἐνταῦθα βάπτισμα βλέπε.

ρίων, καὶ « ἠγαλλιάσατο (1) τῷ πνεύματι », δόξαν ἀναπέμπων Χριστῷ τῷ Θεῷ.

Εἶπε δὲ πρὸς αὐτὸν ὁ Βαρλαάμ (2)· « Εὐλογη-
» τὸς (3) ὁ Θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ
» Χριστοῦ, ὁ κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ ἀναγεννήσας
» σε εἰς ἐλπίδα ζῶσαν, εἰς κληρονομίαν ἄφθαρτον καὶ
» ἀμίαντον καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς »,
ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν διὰ Πνεύματος Ἁγίου. Σήμερον γὰρ ἐλευθερωθεὶς ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθης τῷ Θεῷ (4), τὸν ἀῤῥαβῶνα δεξάμενος τῆς αἰωνίου ζωῆς, καὶ, τὸ σκότος ἀπολιπὼν, φῶς ἐνεδύσω (5), καταταγεὶς « εἰς τὴν ἐλευθερίαν (6) τῆς δόξης τῶν
» τέκνων τοῦ Θεοῦ. Ὅσοι » γὰρ, φησὶν (7), « ἔλαβον
» αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέ-
» σθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· ὥστε (8)
» οὐκέτι εἶ δοῦλος, ἀλλ' υἱὸς καὶ κληρονόμος Θεοῦ
» διὰ Ἰησοῦ Χριστοῦ » ἐν Πνεύματι Ἁγίῳ. Διὸ, ἀγαπητὲ, σπούδασον ἄσπιλος καὶ ἀμώμητος αὐτῷ εὑρεθῆναι (9), ἐργαζόμενος τὸ ἀγαθὸν ἐπὶ τῷ θεμελίῳ τῆς πίστεως· « πίστις (10) γὰρ χωρὶς ἔργων νεκρά
» ἐστιν », ὥσπερ καὶ ἔργα δίχα πίστεως, καθὼς καὶ πρότερον μέμνημαι λαλήσας σοι (11). Ἀποθέμενος οὖν

(1) Luc. x, 21.

(2) Lemma in A : εὐχὴ μετὰ τὸ βάπτισμα.

(3) Petr. I Epist. I, 3, 4.

(4) Epistol. ad Rom. VI, 22 : νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ Θεῷ...

(5) Epist. ad Rom. XIII, 12 : ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός.

(6) Epistola ad Romanos, VIII, 21.

(7) Joann. I, 12.

(8) Epist. ad Gal. IV, 7.

(9) Petr. II Epist. III, 14 : διὸ, ἀγαπητοὶ, ταῦτα προσδοκῶντες, σπουδάσατε ἄσπιλοι καὶ ἀμώμητοι αὐτῷ εὑρεθῆναι.

(10) Jacob. II, 20.

(11) Conf. p. 87, n. 1.

λοιπὸν πᾶσαν κακίαν, καὶ πάντα τὰ ἔργα τοῦ παλαιοῦ ἀνθρώπου μισήσας τὰ φθειρόμενα κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης (1), ὡς ἀρτιγέννητον βρέφος τὸ λογικὸν καὶ ἄδολον γάλα τῶν ἀρετῶν ἐπιπόθησον πιεῖν, ἵνα ἐν αὐτῷ αὐξηθῇς (2), καὶ φθάσῃς εἰς τὴν ἐπίγνωσιν τῶν ἐντολῶν τοῦ υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, μηκέτι νήπιος ὢν ταῖς φρεσὶ, κλυδωνιζόμενος καὶ περιφερόμενος τῇ ζάλῃ καὶ τρικυμίᾳ τῶν παθῶν (3), ἀλλὰ τῇ μὲν κακίᾳ νηπιάζων (4), πρὸς δὲ τὸ ἀγαθὸν στερέμνιον καὶ πεπαγιωμένον ἔχων τὸν νοῦν, καὶ ἀξίως περιπατῶν τῆς κλήσεως ἧς ἐκλήθης (5) ἐν φυλακῇ τῶν ἐντολῶν τοῦ Κυρίου, ἀποσεισάμενος ἑαυτοῦ καὶ ἀλλοτριώσας τὴν ματαιότητα τῆς προτέρας ἀναστροφῆς, « καθὼς τὰ ἔθνη (6) περιπατεῖ » ἐν τῇ ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ » διανοίᾳ καὶ ἀπηλλοτριωμένοι τῆς δόξης τοῦ Θεοῦ », ὑποτεταγμένοι ταῖς ἐπιθυμίαις αὐτῶν καὶ ἀλόγοις ὁρμαῖς. »

« Σὺ δὲ, ὥσπερ προσῆλθες Θεῷ ζῶντι καὶ ἀληθινῷ (7),

(1) Epistol. ad Ephes. IV, 22. Cf. p. 151, n. 2.

(2) Petr. I Epistol. II, 1, 2 : ἀποθέμενοι οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον καὶ ὑποκρίσεις καὶ φθόνους καὶ πάσας καταλαλιὰς, ὡς ἀρτιγέννητα βρέφη τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ αὐξηθῆτε εἰς σωτηρίαν.

(3) Epist. ad Ephes. IV, 13, 14: μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας.

(4) I Epist. ad Cor. XIV, 20 : μὴ παιδία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε.

(5) Epist. ad Ephes. IV, 1 : παρακαλῶ οὖν ὑμᾶς. . . . . ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε. Cf. Epist. ad Coloss. I, 10.

(6) Epist. ad Ephes. IV, 17, 18.

(7) Joann. I Epist. V, 20.

οὕτω δὴ καὶ ὡς υἱὸς φωτὸς περιπάτησον (1)· « ὁ γὰρ » καρπὸς τοῦ πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δι- » καιοσύνῃ καὶ ἀληθείᾳ (2) », καὶ τὸν ἐνδυθέντα σοι σήμερον νέον ἄνθρωπον μηκέτι τῇ προτέρᾳ καταφθείρῃς παλαιότητι· ἀλλ' ἀνακαινίζου καθ' ἑκάστην ἐν δικαιοσύνῃ καὶ ὁσιότητι καὶ ἀληθείᾳ· δυνατὸν γὰρ τοῦτο παντὶ τῷ βουλομένῳ, καθάπερ ἀκούεις (3) ὅτι ἐξουσίαν δέδωκε τέκνα Θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, ὥστε οὐκέτι δυνάμεθα λέγειν ὅτι ἀδύνατος ἡμῖν ἡ κτῆσις τῶν ἀρετῶν· εὔκολος γὰρ ἡ ὁδὸς καὶ ῥᾳδία. Εἰ γὰρ καὶ στενή πως καὶ τεθλιμμένη (4) κέκληται διὰ τὸν ὑπωπιασμὸν τοῦ σώματος, ἀλλ' ὅμως ποθεινή ἐστι καὶ θεία διὰ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν τοῖς μὴ ἀσόφως περιπατοῦσιν (5), ἀλλ' ἀκριβῶς συνιοῦσι τί τὸ θέλημα τοῦ Θεοῦ (6), καὶ τὴν πανοπλίαν αὐτοῦ ἀμπεχομένοις (7) εἰς παράταξιν τῶν μεθοδειῶν τοῦ ἀντικειμένου, καὶ ἐν προσευχῇ καὶ δεήσει εἰς αὐτὸ τοῦτο ἀγρυπνοῦσιν ἐν πάσῃ ὑπομονῇ (8) καὶ ἐλπίδι. Σὺ οὖν, καθὼς ἤκουσας παρ' ἐμοῦ καὶ ἐδιδάχθης, καὶ βεβαίαν κατεβάλου κρηπῖδα, ἐν αὐτῇ περισσεύου, αὐξανόμενος καὶ προκόπτων, καὶ τὴν καλὴν στρατευόμενος στρατείαν, ἔχων πίστιν καὶ ἀγαθὴν (9)

(1) Epist. ad Ephes. v, 8 : ὡς τέκνα φωτὸς περιπατεῖτε.

(2) Ibid. v, 9. Conf. Epist. ad Gal. v, 22.

(3) Cf. p. 168, n. 7.

(4) Matth. VII, 14: στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς, ἡ ἀπάγουσα εἰς τὴν ζωήν.

(5) Epist. ad Ephes. v, 15 : βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι.

(6) Ibid. 17 : μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου.

(7) Ad marg. in A : ἐνδεδυμένοις. — Epist. ad Ephes. VI, 11 : ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ Διαβόλου.

(8) Ibid. 18 : διὰ πάσης προσευχῆς καὶ δεήσεως.... ἀγρυπνοῦντες....

(9) A, ἀγάπην. — I Epist. ad Tim. I, 18, 19 : ἵνα στρατεύῃ ἐν αὐ-

συνείδησιν δι' ἔργων ἀγαθῶν μαρτυρουμένην, καὶ διώκων δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονὴν, πραότητα (1), ἐπιλαβόμενος τῆς αἰωνίου ζωῆς εἰς ἣν ἐκλήθης. Πᾶσαν δὲ ἡδονὴν καὶ ἐπιθυμίαν τῶν παθῶν μὴ μόνον τῇ κατὰ πρᾶξιν ἐνεργείᾳ μακρύνῃς ἀπὸ σοῦ, ἀλλὰ καὶ ταῖς κατ' ἔννοιαν ἐνθυμήσεσιν, ὡς ἂν ἀμόλυντόν σου τὴν ψυχὴν τῷ Θεῷ ὑποδείξῃς. Οὐ μόνον γὰρ αἱ πράξεις, ἀλλὰ καὶ αἱ ἐνθυμήσεις ἡμῶν, ἀνάγραπτοι οὖσαι, στεφάνων ἢ τιμωριῶν πρόξενοι γίνονται· ταῖς καθαραῖς δὲ καρδίαις ἐνοικεῖν τὸν Χριστὸν ἅμα Πατρὶ καὶ Ἁγίῳ Πνεύματι ἐπιστάμεθα. Ὡς δ' αὖ πάλιν καπνὸς μελίσσας, οὕτω τοὺς πονηροὺς λογισμοὺς ἐκδιώκειν ἡμῶν τὴν τοῦ θείου πνεύματος χάριν μεμαθήκαμεν. Διὸ ἐπιμελῶς πρὸς τοῦτο ἔχων, πάντα διαλογισμὸν ἐμπαθείας ἀπαλείψας τῆς ψυχῆς, τὰς ἀρίστους ἐμφύτευσον ἐννοίας, ναὸν σεαυτὸν ποιῶν τοῦ Ἁγίου Πνεύματος. Ἐκ τῶν διαλογισμῶν γὰρ καὶ πρὸς τὰς κατ' ἐνέργειαν πράξεις ἐρχόμεθα· καὶ πᾶν ἔργον, ἀπὸ ἐννοίας καὶ ἐνθυμήσεως προκόπτον, μικρᾶς ἐπιλαμβάνεται ἀρχῆς, εἶτα ταῖς κατὰ μικρὸν αὐξήσεσιν εἰς μεγάλα καταλήγει. »

« Διὰ τοῦτο μηδὲ ὅλως σου κυριεῦσαι συνήθειαν ἐάσῃς κακὴν, ἀλλὰ νεαρᾶς ἔτι οὔσης, ἔξελέ σου τῆς καρδίας τὴν πονηρὰν ῥίζαν, ἵνα μὴ, ἐμφυεῖσα καὶ ἐν τῷ βάθει τὰς ῥίζας ἐμπήξασα, χρόνου καὶ κόπου δεηθῇ τοῦ ἐκριζωθῆναι. Διὰ τοῦτο γὰρ ἀεὶ τὰ μείζονα τῶν ἁμαρτημάτων ἐπεισέρχεται ἡμῖν καὶ καταδυναστεύει τῶν ἡμετέρων ψυχῶν, ὅτι τὰ ἐλάττονα

παῖς τὴν καλὴν στρατείαν, ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν.

(1) 1 Epist. ad Tim. VI, 11: δίωκε δὲ δικαιοσύνην......

δοκοῦντα εἶναι, οἷον ἐνθυμήσεις πονηραὶ, λόγοι ἀπρεπεῖς, ὁμιλίαι κακαὶ, τῆς προσηκούσης οὐ τυγχάνει διορθώσεως. Ὥσπερ γὰρ ἐν τοῖς σώμασιν οἱ μικρῶν καταφρονήσαντες τραυμάτων σηπεδόνας πολλάκις καὶ θάνατον ἑαυτοῖς προεξένησαν, οὕτω καὶ ἐπὶ τῶν ψυχῶν, οἱ τῶν μικρῶν ὑπερορῶντες παθῶν καὶ ἁμαρτημάτων, τὰ μείζονα ἐπεισάγουσι· καθ' ὅσον δὲ τὰ μείζονα ἐπεισέρχεται αὐτοῖς, ἐν ἕξει γινομένη ἡ ψυχὴ καταφρονεῖ. « Ἀσεβὴς » γάρ, φησίν (1), « ἐλθὼν εἰς βάθος » κακῶν καταφρονεῖ », καὶ λοιπὸν ὥσπερ ὗς ἐγκυλινδούμενος βορβόρῳ ἥδεται (2), οὕτω καὶ ἡ ψυχὴ ἐκείνη, ταῖς κακαῖς συνηθείαις καταχωσθεῖσα, οὐδὲ αἴσθησιν λαμβάνει τῆς τῶν ἁμαρτημάτων δυσωδίας, ἀλλὰ τέρπεται μᾶλλον αὐταῖς καὶ ἐνηδύνεται, ὡς ἀγαθοῦ τινὸς τῆς κακίας ἀντεχομένη· κἂν ὀψὲ δέ ποτε ἀνανεύουσα εἰς αἴσθησιν ἔλθῃ, κόπῳ πολλῷ καὶ ἱδρῶτι ἐλευθεροῦται, οἷς (3) ἐθελοντὶ κατεδούλευσεν ἑαυτὴν τῇ πονηρᾷ συνηθείᾳ. »

« Διὰ τοῦτο πάσῃ δυνάμει μάκρυνον ἑαυτὸν ἀπὸ πάσης ἐννοίας καὶ ἐνθυμήσεως πονηρᾶς καὶ πάσης ἐμπαθοῦς συνηθείας· μᾶλλον δὲ ταῖς ἀρεταῖς ἔθιζε ἑαυτὸν, καὶ ἐν ἕξει τῆς τούτων γενοῦ ἐργασίας. Εἰ γὰρ μικρὸν κοπιάσεις ἐν αὐταῖς καὶ ἐν ἕξει γενέσθαι ἰσχύσεις, ἀκόπως λοιπὸν τῇ τοῦ Θεοῦ συνεργείᾳ προκόψεις. Ἡ γὰρ ἕξις τῆς ἀρετῆς τῇ ψυχῇ ποιωθεῖσα, ὡς ἅτε φυσικὴν συγγένειαν πρὸς αὐτὴν ἔχουσα καὶ τὸν Θεὸν συνεργὸν κεκτημένη, δυσμετάβλητος γίνεται

(1) Proverb. xviii, 3.

(2) Conf. p. 88, n. 2.

(3) C, ὧν. Bene οἷς. Billyus bene : *pour s'estre volontairement soubmise à la servitude de mauvaise accoustumance.*

καὶ λίαν ἀσφαλεστάτη, καθὼς ὁρᾷς ὅτι ἡ ἀνδρεία καὶ φρόνησις, σωφροσύνη τε καὶ δικαιοσύνη (1) δυσμετάβλητοί εἰσιν, ἕξεις οὖσαι τῆς ψυχῆς καὶ ποιότητες καὶ ἐνέργειαι διὰ βάθους κεχωρηκυῖαι. Εἰ γὰρ τὰ πάθη τῆς κακίας, οὐ φυσικὰ ἡμῖν ὄντα, ἀλλ' ἔξωθεν ἐπεισελθόντα, ἡνίκα ἐν ἕξει γένωνται, δυσμετάβλητά εἰσι, πόσῳ μᾶλλον ἡ ἀρετὴ, καὶ φυσικῶς ἡμῖν ἐμφυτευθεῖσα ὑπὸ τοῦ δημιουργοῦ καὶ αὐτὸν ἐπίκουρον ἔχουσα, εἰ, μικρὸν ἀγωνισαμένων ἡμῶν, ἐν ἕξει ῥιζωθῇ τῇ ψυχῇ, δυσμετάβλητος ἔσται; »

« Ὅθεν μοι ταύτης ἐργάτης διηγήσατό τις, ὅτι·
« Μετὰ τὸ προσλαβέσθαι με τὴν θείαν θεωρίαν ἐν
» ἕξει βεβαιοτάτῃ καὶ τῇ ταύτης μελέτῃ ποιωθῆναι
» τὴν ψυχὴν, βουληθεὶς ποτὲ ἀπόπειραν αὐτῆς
» ποιήσασθαι, κατέσχον τὸν νοῦν μου, μὴ συγχωρή-
» σας τῇ κατ' ἔθος ἐπιβαλεῖν μελέτῃ· καὶ ἔγνων
» αὐτὸν ἀνιώμενον καὶ δυσφοροῦντα καὶ πρὸς αὐτὴν
» ἀσχέτῳ ἐπειγόμενον πόθῳ, μηδόλως δὲ πρὸς ἐν-
» αντίαν τινὰ ἐνθύμησιν ἀποκλῖναι ἰσχύοντα· ἡνίκα δὲ
» μικρὸν ἐνέδωκα τὰς ἡνίας, ὀξυδρόμως εὐθὺς ἀνέ-
» δραμε πρὸς τὴν ἑαυτοῦ ἐργασίαν, καθά φησιν ὁ
» προφήτης· Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς
» πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου
» πρὸς τὸν Θεὸν, τὸν ἰσχυρὸν, τὸν ζῶντα (2). »

« Ἀποδέδεικται οὖν ἐκ πάντων τούτων, ὡς ἐφ' ἡμῖν ἐστὶν ἡ κτῆσις τῆς ἀρετῆς, καὶ ἡμεῖς ταύτης κύριοι καθεστήκαμεν, εἴτε θελήσομεν αὐτῆς ἀνθέξεσθαι, εἴτε τὴν ἁμαρτίαν προκρῖναι. Οἱ μὲν οὖν δουλωθέντες

(1) Lemma in A : *σημείωσαι τίνες αἱ μεγάλαι τέσσαρες ἀρεταί.*
(2) Psalm. XLI, 1, 2.

τῇ κακίᾳ δυσαποσπάστως αὐτῆς ἔχουσι, καθὰ δὴ προλαβὼν εἶπον· σὺ δὲ λοιπὸν ἐλευθερωθεὶς ταύτης « διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν (1) », καὶ τὸν Χριστὸν ἐνδεδυμένος τῇ τοῦ θείου Πνεύματος χάριτι, ὅλον σεαυτὸν μετάθες ἐπὶ τὸν Κύριον, καὶ μηδόλως ἔτι τοῖς πάθεσι θύραν ἀνοίξῃς (2)· ἀλλὰ τῇ εὐωδίᾳ καὶ λαμπρότητι τῶν ἀρετῶν κοσμήσας σου τὴν ψυχὴν, ναὸν αὐτὴν ποίησον τῆς ἁγίας Τριάδος (3), τῇ ταύτης θεωρίᾳ πάσας σου τὰς τοῦ νοὸς δυνάμεις ἀπασχολήσας. Εἰ γὰρ βασιλεῖ τις ἐπιγείῳ συνδιάγων καὶ διαλεγόμενος μακαριστὸς πᾶσι δείκνυται, ὁ Θεῷ διαλέγεσθαι καὶ συνεῖναι τῷ νοῒ καταξιωθεὶς, πόσης ἀπολαύσεται μακαριότητος; »

« Αὐτὸν οὖν ἐνοπτρίζου πάντοτε, καὶ αὐτῷ προσομίλει. Πῶς δὲ προσομιλήσεις Θεῷ; τῇ διὰ προσευχῆς καὶ δεήσεως πρὸς αὐτὸν ἐγγύτητι. Ὁ γὰρ πόθῳ θερμοτάτῳ καὶ καρδίᾳ κεκαθαρμένῃ προσευχόμενος (4), πάντων μὲν τῶν ὑλικῶν καὶ χαμαιζήλων μακρύνας τὸν νοῦν, ὡς ἐνώπιος δὲ ἐνωπίῳ παριστάμενος τῷ Θεῷ (5), φόβῳ τε καὶ τρόμῳ τὰς δεήσεις αὐτῷ

(1) Luc. I, 78.

(2) Act. Apost. XIV, 27 : ἤνοιξε τοῖς ἔθνεσι θύραν πίστεως. I Epist. ad Cor. XVI, 9 : θύρα γάρ μοι ἀνέῳγε μεγάλη. Potuit aliunde proficere, quum sit apud multos illa metaphora obvia, et verbis etiam similioribus : vide Palairet et Valcken. ad Act.; Rhoer. Fer. p. 153; Schelhorn. in Bibl. Theolog. V, p. 856. Potuit et vulgarem sequi usum loquendi; nam talia puto in omnium ore fuisse olim, ut et nunc sunt. Georgius Lapitha ineditus v. 680 : Γράμματα παρασκεύαζε τούτους μανθάνειν πρῶτον· Μέγιστον φῶς γὰρ τῇ ψυχῇ ἡ τούτων ἐπιστήμη, Καὶ πρὸς λειμῶνας λογικοὺς ἀνοίγνυσι τὴν θύραν.

(3) Cf. t. III, p. 471, n. 6.

(4) C, προσερχόμενος. Electio est dubia. Joannes Chrys. p. 70 Raphel. : προσέρχῃ τῷ Θεῷ βασιλείαν οὐρανῶν αἰτῶν...

(5) Luc. I, 19 : Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ.

προσάγων, ὁ τοιοῦτος ὁμιλεῖ αὐτῷ καὶ πρόσωπον πρὸς πρόσωπον (1) αὐτῷ διαλέγεται· πάρεστι γὰρ πανταχοῦ ὁ ἀγαθὸς ἡμῶν δεσπότης ἐπακούων τῶν εἰλικρινῶς καὶ καθαρῶς προσερχομένων αὐτῷ, καθάπερ φησὶν ὁ προφήτης· «Ὀφθαλμοὶ (2) Κυρίου ἐπὶ δικαίους, καὶ » ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.» Καὶ διὰ τοῦτο οἱ πατέρες τὴν προσευχὴν ἕνωσιν ἀνθρώπου πρὸς Θεὸν ὁρίζονται, καὶ ἔργον Ἀγγέλων ταύτην καλοῦσι, καὶ τῆς μελλούσης εὐφροσύνης προοίμιον (3). Ἐπεὶ γὰρ βασιλείαν οὐρανῶν τὴν ἐγγύτητα καὶ θεωρίαν τῆς ἁγίας Τριάδος πλέον πάντων τίθενται, πρὸς τοῦτο δὲ καὶ ἡ τῆς εὐχῆς προσεδρεία τὸν νοῦν χειραγωγεῖ, εἰκότως προοίμιον καὶ οἱονεὶ προεικόνισμα ἐκείνης τῆς μακαριότητος κέκληται αὕτη.»

« Οὐ πᾶσα δὲ εὐχὴ οὑτωσὶ καθέστηκεν, ἀλλ' ἡ τῆς προσηγορίας ταύτης ὄντως ἀξία, ἡ Θεὸν ἔχουσα διδάσκαλον, τὸν διδόντα εὐχὴν τῷ εὐχομένῳ, ἡ πάντων τῶν ἐπὶ γῆς ὑπεραρθεῖσα καὶ τῷ δεσπότῃ Θεῷ ἀμέσως ἐντυγχάνουσα. Ταύτην σεαυτῷ περιποιοῦ, καὶ εἰς ταύτην ἀγωνίζου τὴν προκοπήν· ἱκανὴ γὰρ ὑπάρχει ἐκ γῆς εἰς οὐρανοὺς ἀνυψῶσαί σε.

Οὐκ ἀπαρασκεύως δὲ καὶ ὡς ἔτυχε προκόψεις ἐν ταύτῃ· ἀλλὰ, πάντων τῶν παθῶν τὴν ψυχὴν προκαθάρας, καὶ πάσης πονηρᾶς ἐνθυμήσεως ταύτην ἀποσμήξας ὡς καθαρὸν καὶ νεόσμηκτον ἔσοπτρον,

(1) Conf. p. 125, n. 2.

(2) Psalm. XXXIII, 15.

(3) Joannes Clim. Scala c. 28 init. : προσευχή ἐστι κατὰ μὲν τὴν αὐτῆς ποιότητα συνουσία καὶ ἕνωσις ἀνθρώπου καὶ Θεοῦ... Ἀγγέλων ἔργον καὶ μέλλουσα εὐφροσύνη. Joannes Chrys. Orat. I de orat. p. 5, edit. ann. 1570 : Ἀγγέλων γὰρ ἔργον ἡ προσευχή. Rursus Orat. II, p. 28 : προσευχῆς δὲ κοινὸν ἔργον Ἀγγέλων ὁμοῦ καὶ ἀνθρώπων.

πάσης τε μνησικακίας καὶ μήνιδος σεαυτὸν μακρύνας, ἥτις πλέον πάντων τὰς ἡμετέρας εὐχὰς πρὸς Θεὸν ἀνάγεσθαι κωλύει, πᾶσί τε τοῖς ἡμαρτηκόσι σοι ἀπὸ καρδίας ἀφεὶς τὰ πλημμελήματα, καὶ ἐν ἐλεημοσύναις καὶ οἰκτιρμοῖς πενήτων τὴν εὐχὴν πτερώσας (1), προσάγαγε τῷ Θεῷ μετὰ θερμῶν δακρύων. Οὕτως εὐχόμενος δυνήσῃ εἰπεῖν ὡς ὁ μακάριος Δαυίδ· οὗτος γὰρ βασιλεὺς ὢν καὶ μυρίαις (2) ἑλκόμενος φροντίσι, πάντων δὲ τῶν παθῶν τὴν ψυχὴν αὐτοῦ καθαρίσας, ἔλεγε πρὸς τὸν Θεόν· « Ἀδικίαν (3) ἐμίσησα
» καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα· ἑπτά-
» κις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δι-
» καιοσύνης· ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά
» σου καὶ ἠγάπησεν αὐτὰ σφόδρα· ἐγγισάτω ἡ δέησίς
» μου ἐνώπιόν σου, Κύριε· κατὰ τὸ λόγιόν σου συν-
» έτισόν με. »

«Οὕτως βοῶντός σου ὁ Θεὸς ἐπακούσεται· « ἔτι (4) λα-
» λοῦντός σου, ἐρεῖ· « Ἰδοὺ πάρειμι ». Εἰ τοιαύτην οὖν κτήσῃ εὐχὴν, μακάριος ἔσῃ· ἀμήχανον γὰρ ἄνθρωπον,

(1) Scholium ad Joannis Scalam p. 443 : πτερόν ἐστι τῆς εὐχῆς ἡ ἐλεημοσύνη· ἐὰν μὴ ποιήσῃς πτερὸν τῇ εὐχῇ σου, οὐκ ἀνέρχεται εἰς ὕψος....

(2) A, μυρίοις. Sic τοῖς φροντίσι t. III, p. xij. Et supra p. 8, 24, C habuit τοῖς τ. μ. λογάσι : p. 112, ult. A C consenserunt in τῶν περιεχόντων αὐτῷ συμφορῶν, ubi scripsi securus περιεχουσῶν, relicto quod non placet αὐτῷ. Talia codicis menda plerumque tolluntur alterius ope. Qui uno utetur malo, aut plures mendosos habebit, notet, et emendet vel in auctore recentiore, si fuerit auctor literis imbutus et oratione scripserit ad antiquam grammaticam conformata. Quod iterum dico ob Reiskii de Constantini sui ac similium solœcismis animadversiones. Isaacius Porphyrogenn. De præterm. pag. 277, narrat Hecubam inter insomnia visam esse sibi ὡς ἐγκυμονῆσαι δαλὸν τῇ μήτρᾳ ἀναπτομένου καὶ φλογόεντος. Cod. 817 sine solœcismo, ἀναπτόμενον καὶ φλογόεντα.

(3) Psalm. CXVIII, 163....

(4) Conf. p. 86, n. 2.

μετὰ τοιαύτης προθυμίας εὐχόμενον καὶ παρακαλοῦντα τὸν Θεὸν, μὴ καθ' ἑκάστην προκόπτειν ἐν τῷ ἀγαθῷ καὶ πασῶν ὑπερίπτασθαι τῶν τοῦ ἐχθροῦ παγίδων. Ὁ γὰρ διαθερμάνας αὐτοῦ τὴν διάνοιαν, καθάπερ τις τῶν ἁγίων ἔφησε, καὶ τὴν ψυχὴν ἀναστήσας, καὶ πρὸς τὸν οὐρανὸν ἑαυτὸν μετοικίσας, καὶ οὕτω τὸν δεσπότην τὸν ἑαυτοῦ καλέσας, καὶ τῶν ἰδίων ἁμαρτημάτων ἀναμνησθεὶς, καὶ περὶ τῆς συγχωρήσεως τούτων διαλεχθεὶς, καὶ δάκρυσι θερμοτάτοις δεηθεὶς ἵλεω γενέσθαι αὐτῷ τὸν φιλάνθρωπον, ἀπὸ τῆς ἐν τοῖς λόγοις καὶ διαλογισμοῖς τούτοις διατριβῆς πᾶσαν ἀποτίθεται βιωτικὴν φροντίδα καὶ τῶν ἀνθρωπίνων παθῶν ὑψηλότερος γίνεται, καὶ Θεῷ συνόμιλος ἀξιοῦται κληθῆναι· οὗπερ τί γένοιτ' ἂν μακαριώτερον ἢ ὑψηλότερον; »

« Ἀξιώσαι οὖν (1) Κύριος τῆς τοιαύτης ἐπιτυχεῖν μακαριότητος. Ἰδοὺ γάρ σοι τὴν ὁδὸν ὑπέδειξα τῶν ἐντολῶν τοῦ Κυρίου, καὶ « οὐδὲν ὑπεστειλάμην (2) τοῦ » μὴ ἀναγγεῖλαί σοι πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ. » Καὶ ἐγὼ μὲν ἤδη τὴν πρὸς σέ μου διακονίαν τετέλεκα (3)· λοιπὸν αὐτὸς « ἀναζωσάμενος (4) τὴν ὀσφῦν » τῆς διανοίας σου, κατὰ τὸν καλέσαντά σε ἅγιον, » καὶ αὐτὸς ἅγιος ἐν πάσῃ ἀναστροφῇ γενοῦ· ἅγιοι » γὰρ γίνεσθε, διότι ἐγὼ ἅγιός εἰμι, λέγει Κύριος. » Γράφει δὲ καὶ ὁ κορυφαιότατος τῶν ἀποστόλων· « εἰ » πατέρα », φησίν (5), « ἐπικαλεῖσθε τὸν ἀπροσω-

(1) Forsan ἀξιώσαι σε οὖν. Hac sententia caret codex A. Atque pronomen σε reperisse videntur interpretes Latinus ac Gallicus.

(2) Acta Apost. xx, 27 : cf. 20.

(3) Ibid. 24 : πληρῶσαι... τὴν διακονίαν.

(4) Petrus scilicet, I Epist. I, 13, 15, 16.

(5) Petr. I Ep. I, 17, 18, 19.

ρίων, καὶ « ἠγαλλιάσατο (1) τῷ πνεύματι », δόξαν ἀναπέμπων Χριστῷ τῷ Θεῷ.

Εἶπε δὲ πρὸς αὐτὸν ὁ Βαρλαάμ (2)· « Εὐλογη» τὸς (3) ὁ Θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ » Χριστοῦ, ὁ κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ ἀναγεννήσας » σε εἰς ἐλπίδα ζῶσαν, εἰς κληρονομίαν ἄφθαρτον καὶ » ἀμίαντον καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς », ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν διὰ Πνεύματος Ἁγίου. Σήμερον γὰρ ἐλευθερωθεὶς ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθης τῷ Θεῷ (4), τὸν ἀῤῥαβῶνα δεξάμενος τῆς αἰωνίου ζωῆς, καὶ, τὸ σκότος ἀπολιπὼν, φῶς ἐνεδύσω (5), καταταγεὶς « εἰς τὴν ἐλευθερίαν (6) τῆς δόξης τῶν » τέκνων τοῦ Θεοῦ. Ὅσοι » γὰρ, φησίν (7), « ἔλαβον » αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέ» σθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· ὥστε (8) » οὐκέτι εἶ δοῦλος, ἀλλ' υἱὸς καὶ κληρονόμος Θεοῦ » διὰ Ἰησοῦ Χριστοῦ » ἐν Πνεύματι Ἁγίῳ. Διὸ, ἀγαπητὲ, σπούδασον ἄσπιλος καὶ ἀμώμητος αὐτῷ εὑρεθῆναι (9), ἐργαζόμενος τὸ ἀγαθὸν ἐπὶ τῷ θεμελίῳ τῆς πίστεως· « πίστις (10) γὰρ χωρὶς ἔργων νεκρά » ἐστιν », ὥσπερ καὶ ἔργα δίχα πίστεως, καθὼς καὶ πρότερον μέμνημαι λαλήσας σοι (11). Ἀποθέμενος οὖν

(1) Luc. x, 21.

(2) Lemma in A : εὐχὴ μετὰ τὸ βάπτισμα.

(3) Petr. I Epist. I, 3, 4.

(4) Epistol. ad Rom. VI, 22 : νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ Θεῷ. . .

(5) Epist. ad Rom. XIII, 12 : ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός.

(6) Epistola ad Romanos, VIII, 21.

(7) Joann. I, 12.

(8) Epist. ad Gal. IV, 7.

(9) Petr. II Epist. III, 14 : διὸ, ἀγαπητοὶ, ταῦτα προσδοκῶντες, σπουδάσατε ἄσπιλοι καὶ ἀμώμητοι αὐτῷ εὑρεθῆναι.

(10) Jacob. II, 20.

(11) Conf. p. 87, n. 1.

λοιπὸν πᾶσαν κακίαν, καὶ πάντα τὰ ἔργα τοῦ παλαιοῦ ἀνθρώπου μισήσας τὰ φθειρόμενα κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης (1), ὡς ἀρτιγέννητον βρέφος τὸ λογικὸν καὶ ἄδολον γάλα τῶν ἀρετῶν ἐπιπόθησον πιεῖν, ἵνα ἐν αὐτῷ αὐξηθῇς (2), καὶ φθάσῃς εἰς τὴν ἐπίγνωσιν τῶν ἐντολῶν τοῦ υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, μηκέτι νήπιος ὢν ταῖς φρεσὶ, κλυδωνιζόμενος καὶ περιφερόμενος τῇ ζάλῃ καὶ τρικυμίᾳ τῶν παθῶν (3), ἀλλὰ τῇ μὲν κακίᾳ νηπιάζων (4), πρὸς δὲ τὸ ἀγαθὸν στερέμνιον καὶ πεπαγιωμένον ἔχων τὸν νοῦν, καὶ ἀξίως περιπατῶν τῆς κλήσεως ἧς ἐκλήθης (5) ἐν φυλακῇ τῶν ἐντολῶν τοῦ Κυρίου, ἀποσεισάμενος ἑαυτοῦ καὶ ἀλλοτριώσας τὴν ματαιότητα τῆς προτέρας ἀναστροφῆς, « καθὼς τὰ ἔθνη (6) περιπατεῖ » ἐν τῇ ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ » διανοίᾳ καὶ ἀπηλλοτριωμένοι τῆς δόξης τοῦ Θεοῦ », ὑποτεταγμένοι ταῖς ἐπιθυμίαις αὐτῶν καὶ ἀλόγοις ὁρμαῖς. »

« Σὺ δὲ, ὥσπερ προσῆλθες Θεῷ ζῶντι καὶ ἀληθινῷ (7),

(1) Epistol. ad Ephes. IV, 22. Cf. p. 151, n. 2.

(2) Petr. I Epistol. II, 1, 2 : ἀποθέμενοι οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον καὶ ὑποκρίσεις καὶ φθόνους καὶ πάσας καταλαλιὰς, ὡς ἀρτιγέννητα βρέφη τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ αὐξηθῆτε εἰς σωτηρίαν.

(3) Epist. ad Ephes. IV, 13, 14: μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας.

(4) I Epist. ad Cor. XIV, 20 : μὴ παιδία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε.

(5) Epist. ad Ephes. IV, 1 : παρακαλῶ οὖν ὑμᾶς.....ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε. Cf. Epist. ad Coloss. I, 10.

(6) Epist. ad Ephes. IV, 17, 18.

(7) Joann. I Epist. V, 20.

οὕτω δὴ καὶ ὡς υἱὸς φωτὸς περιπάτησον (1)· « ὁ γὰρ » καρπὸς τοῦ πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δι- » καιοσύνῃ καὶ ἀληθείᾳ (2) », καὶ τὸν ἐνδυθέντα σοι σήμερον νέον ἄνθρωπον μηκέτι τῇ προτέρᾳ καταφθείρῃς παλαιότητι· ἀλλ' ἀνακαίνιζε καθ' ἑκάστην ἐν δικαιοσύνῃ καὶ ὁσιότητι καὶ ἀληθείᾳ· δυνατὸν γὰρ τοῦτο παντὶ τῷ βουλομένῳ, καθάπερ ἀκούεις (3) ὅτι ἐξουσίαν δέδωκε τέκνα Θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, ὥστε οὐκέτι δυνάμεθα λέγειν ὅτι ἀδύνατος ἡμῖν ἡ κτῆσις τῶν ἀρετῶν· εὔκολος γὰρ ἡ ὁδὸς καὶ ῥᾳδία. Εἰ γὰρ καὶ στενή πως καὶ τεθλιμμένη (4) κέκληται διὰ τὸν ὑπωπιασμὸν τοῦ σώματος, ἀλλ' ὅμως ποθεινή ἐστι καὶ θεία διὰ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν τοῖς μὴ ἀσόφως περιπατοῦσιν (5), ἀλλ' ἀκριβῶς συνιοῦσι τί τὸ θέλημα τοῦ Θεοῦ (6), καὶ τὴν πανοπλίαν αὐτοῦ ἀμπεχομένοις (7) εἰς παράταξιν τῶν μεθοδειῶν τοῦ ἀντικειμένου, καὶ ἐν προσευχῇ καὶ δεήσει εἰς αὐτὸ τοῦτο ἀγρυπνοῦσιν ἐν πάσῃ ὑπομονῇ (8) καὶ ἐλπίδι. Σὺ οὖν, καθὼς ἤκουσας παρ' ἐμοῦ καὶ ἐδιδάχθης, καὶ βεβαίαν κατεβάλου κρηπῖδα, ἐν αὐτῇ περισσεύου, αὐξανόμενος καὶ προκόπτων, καὶ τὴν καλὴν στρατευόμενος στρατείαν, ἔχων πίστιν καὶ ἀγαθὴν (9)

(1) Epist. ad Ephes. v, 8 : ὡς τέκνα φωτὸς περιπατεῖτε.

(2) Ibid. v, 9. Conf. Epist. ad Gal. v, 22.

(3) Cf. p. 168, n. 7.

(4) Matth. VII, 14 : στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς, ἡ ἀπάγουσα εἰς τὴν ζωήν.

(5) Epist. ad Ephes. v, 15 : βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι.

(6) Ibid. 17 : μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου.

(7) Ad marg. in A : ἐνδεδυμένοις. — Epist. ad Ephes. VI, 11 : ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ Διαβόλου.

(8) Ibid. 18 : διὰ πάσης προσευχῆς καὶ δεήσεως.... ἀγρυπνοῦντες....

(9) A, ἀγάπην. — I Epist. ad Tim. I, 18, 19 : ἵνα στρατεύῃ ἐν αὐ-

συνείδησιν δι' ἔργων ἀγαθῶν μαρτυρουμένην, καὶ διώκων δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονὴν, πραότητα (1), ἐπιλαβόμενος τῆς αἰωνίου ζωῆς εἰς ἣν ἐκλήθης. Πᾶσαν δὲ ἡδονὴν καὶ ἐπιθυμίαν τῶν παθῶν μὴ μόνον τῇ κατὰ πρᾶξιν ἐνεργείᾳ μακρύνης ἀπὸ σοῦ, ἀλλὰ καὶ ταῖς καθ' ἔννοιαν ἐνθυμήσεσιν, ὡς ἂν ἀμόλυντόν σου τὴν ψυχὴν τῷ Θεῷ ὑποδείξῃς. Οὐ μόνον γὰρ αἱ πράξεις, ἀλλὰ καὶ αἱ ἐνθυμήσεις ἡμῶν, ἀνάγραπτοι οὖσαι, στεφάνων ἢ τιμωριῶν πρόξενοι γίνονται· ταῖς καθαραῖς δὲ καρδίαις ἐνοικεῖν τὸν Χριστὸν ἅμα Πατρὶ καὶ Ἁγίῳ Πνεύματι ἐπιστάμεθα. Ὡς δ' αὖ πάλιν καπνὸς μελίσσας, οὕτω τοὺς πονηροὺς λογισμοὺς ἐκδιώκειν ἡμῶν τὴν τοῦ θείου πνεύματος χάριν μεμαθήκαμεν. Διὸ ἐπιμελῶς πρὸς τοῦτο ἔχων, πάντα διαλογισμὸν ἐμπαθείας ἀπαλείψας τῆς ψυχῆς, τὰς ἀρίστους ἐμφύτευσον ἐννοίας, ναὸν σεαυτὸν ποιῶν τοῦ Ἁγίου Πνεύματος. Ἐκ τῶν διαλογισμῶν γὰρ καὶ πρὸς τὰς κατ' ἐνέργειαν πράξεις ἐρχόμεθα· καὶ πᾶν ἔργον, ἀπὸ ἐννοίας καὶ ἐνθυμήσεως προκόπτον, μικρᾶς ἐπιλαμβάνεται ἀρχῆς, εἶτα ταῖς κατὰ μικρὸν αὐξήσεσιν εἰς μεγάλα καταλήγει. »

« Διὰ τοῦτο μηδὲ ὅλως σου κυριεῦσαι συνήθειαν ἐάσῃς κακὴν, ἀλλὰ νεαρᾶς ἔτι οὔσης, ἔξελέ σου τῆς καρδίας τὴν πονηρὰν ῥίζαν, ἵνα μὴ, ἐμφυεῖσα καὶ ἐν τῷ βάθει τὰς ῥίζας ἐμπήξασα, χρόνου καὶ κόπου δεηθῇ τοῦ ἐκριζωθῆναι. Διὰ τοῦτο γὰρ ἀεὶ τὰ μείζονα τῶν ἁμαρτημάτων ἐπεισέρχεται ἡμῖν καὶ καταδυναστεύει τῶν ἡμετέρων ψυχῶν, ὅτι τὰ ἐλάττονα

τοῖς τὴν καλὴν στρατείαν, ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν.

(1) I Epist. ad Tim. VI, 11 : δίωκε δὲ δικαιοσύνην.......

δοκοῦντα εἶναι, οἷον ἐνθυμήσεις πονηραὶ, λόγοι ἀπρεπεῖς, ὁμιλίαι κακαὶ, τῆς προσηκούσης οὐ τυγχάνει διορθώσεως. Ὥσπερ γὰρ ἐν τοῖς σώμασιν οἱ μικρῶν καταφρονήσαντες τραυμάτων σηπεδόνας πολλάκις καὶ θάνατον ἑαυτοῖς προεξένησαν, οὕτω καὶ ἐπὶ τῶν ψυχῶν, οἱ τῶν μικρῶν ὑπερορῶντες παθῶν καὶ ἁμαρτημάτων, τὰ μείζονα ἐπεισάγουσι· καθ' ὅσον δὲ τὰ μείζονα ἐπεισέρχεται αὐτοῖς, ἐν ἕξει γινομένη ἡ ψυχὴ καταφρονεῖ. « Ἀσεβὴς » γὰρ, φησίν (1), « ἐλθὼν εἰς βάθος » κακῶν καταφρονεῖ », καὶ λοιπὸν ὥσπερ ὗς ἐγκυλινδούμενος βορβόρῳ ἥδεται (2), οὕτω καὶ ἡ ψυχὴ ἐκείνη, ταῖς κακαῖς συνηθείαις καταχωσθεῖσα, οὐδὲ αἴσθησιν λαμβάνει τῆς τῶν ἁμαρτημάτων δυσωδίας, ἀλλὰ τέρπεται μᾶλλον αὐταῖς καὶ ἐνηδύνεται, ὡς ἀγαθοῦ τινὸς τῆς κακίας ἀντεχομένη· κἂν ὀψὲ δέ ποτε ἀνανεύουσα εἰς αἴσθησιν ἔλθῃ, κόπῳ πολλῷ καὶ ἱδρῶτι ἐλευθεροῦται, οἷς (3) ἐθελοντὶ κατεδούλευσεν ἑαυτὴν τῇ πονηρᾷ συνηθείᾳ. »

« Διὰ τοῦτο πάσῃ δυνάμει μάκρυνον ἑαυτὸν ἀπὸ πάσης ἐννοίας καὶ ἐνθυμήσεως πονηρᾶς καὶ πάσης ἐμπαθοῦς συνηθείας· μᾶλλον δὲ ταῖς ἀρεταῖς ἔθιζε ἑαυτὸν, καὶ ἐν ἕξει τῆς τούτων γενοῦ ἐργασίας. Εἰ γὰρ μικρὸν κοπιάσεις ἐν αὐταῖς καὶ ἐν ἕξει γενέσθαι ἰσχύσεις, ἀκόπως λοιπὸν τῇ τοῦ Θεοῦ συνεργείᾳ προκόψεις. Ἡ γὰρ ἕξις τῆς ἀρετῆς τῇ ψυχῇ ποιωθεῖσα, ὡς ἅτε φυσικὴν συγγένειαν πρὸς αὐτὴν ἔχουσα καὶ τὸν Θεὸν συνεργὸν κεκτημένη, δυσμετάβλητος γίνεται

(1) Proverb. XVIII, 3.
(2) Conf. p. 88, n. 2.
(3) C, ὧν. Bene οἷς. Billyus bene : *pour s'estre volontairement soubmise à la servitude de mauvaise accoustumance.*

καὶ λίαν ἀσφαλεστάτη, καθὼς ὁρᾷς ὅτι ἡ ἀνδρεία καὶ φρόνησις, σωφροσύνη τε καὶ δικαιοσύνη (1) δυσμετάβλητοί εἰσιν, ἕξεις οὖσαι τῆς ψυχῆς καὶ ποιότητες καὶ ἐνέργειαι διὰ βάθους κεχωρηκυῖαι. Εἰ γὰρ τὰ πάθη τῆς κακίας, οὐ φυσικὰ ἡμῖν ὄντα, ἀλλ' ἔξωθεν ἐπεισελθόντα, ἡνίκα ἐν ἕξει γένωνται, δυσμετάβλητά εἰσι, πόσῳ μᾶλλον ἡ ἀρετὴ, καὶ φυσικῶς ἡμῖν ἐμφυτευθεῖσα ὑπὸ τοῦ δημιουργοῦ καὶ αὐτὸν ἐπίκουρον ἔχουσα, εἰ, μικρὸν ἀγωνισαμένων ἡμῶν, ἐν ἕξει ῥιζωθῇ τῇ ψυχῇ, δυσμετάβλητος ἔσται; »

« Ὅθεν μοι ταύτης ἐργάτης διηγήσατό τις, ὅτι·
« Μετὰ τὸ προσλαβέσθαι με τὴν θείαν θεωρίαν ἐν
» ἕξει βεβαιοτάτῃ καὶ τῇ ταύτης μελέτῃ ποιωθῆναι
» τὴν ψυχὴν, βουληθεὶς ποτὲ ἀπόπειραν αὐτῆς
» ποιήσασθαι, κατέσχον τὸν νοῦν μου, μὴ συγχωρή-
» σας τῇ κατ' ἔθος ἐπιβαλεῖν μελέτῃ· καὶ ἔγνων
» αὐτὸν ἀνιώμενον καὶ δυσφοροῦντα καὶ πρὸς αὐτὴν
» ἀσχέτῳ ἐπειγόμενον πόθῳ, μηδόλως δὲ πρὸς ἐν-
» αντίαν τινὰ ἐνθύμησιν ἀποκλῖναι ἰσχύοντα· ἡνίκα δὲ
» μικρὸν ἐνέδωκα τὰς ἡνίας, ὀξυδρόμως εὐθὺς ἀνέ-
» δραμε πρὸς τὴν ἑαυτοῦ ἐργασίαν, καθά φησιν ὁ
» προφήτης· Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς
» πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου
» πρὸς τὸν Θεὸν, τὸν ἰσχυρὸν, τὸν ζῶντα (2). »

« Ἀποδέδεικται οὖν ἐκ πάντων τούτων, ὡς ἐφ' ἡμῖν ἐστὶν ἡ κτῆσις τῆς ἀρετῆς, καὶ ἡμεῖς ταύτης κύριοι καθεστήκαμεν, εἴτε θελήσομεν αὐτῆς ἀνθέξεσθαι, εἴτε τὴν ἁμαρτίαν προκρῖναι. Οἱ μὲν οὖν δουλωθέντες

(1) Lemma in A : σημείωσαι τίνες αἱ μεγάλαι τέσσαρες ἀρεταί.
(2) Psalm. XLI, 1, 2.

τῇ κακίᾳ δυσαποσπάστως αὐτῆς ἔχουσι, καθὰ δὴ προλαβὼν εἶπον· σὺ δὲ λοιπὸν ἐλευθερωθεὶς ταύτης « διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν (1) », καὶ τὸν Χριστὸν ἐνδεδυμένος τῇ τοῦ θείου Πνεύματος χάριτι, ὅλον σεαυτὸν μετάθες ἐπὶ τὸν Κύριον, καὶ μηδόλως ἔτι τοῖς πάθεσι θύραν ἀνοίξῃς (2)· ἀλλὰ τῇ εὐωδίᾳ καὶ λαμπρότητι τῶν ἀρετῶν κοσμήσας σου τὴν ψυχὴν, ναὸν αὐτὴν ποίησον τῆς ἁγίας Τριάδος (3), τῇ ταύτης θεωρίᾳ πάσας σου τὰς τοῦ νοὸς δυνάμεις ἀπασχολήσας. Εἰ γὰρ βασιλεῖ τις ἐπιγείῳ συνδιάγων καὶ διαλεγόμενος μακαριστὸς πᾶσι δείκνυται, ὁ Θεῷ διαλέγεσθαι καὶ συνεῖναι τῷ νοῒ καταξιωθεὶς, πόσης ἀπολαύσεται μακαριότητος; »

« Αὐτὸν οὖν ἐνοπτρίζου πάντοτε, καὶ αὐτῷ προσομίλει. Πῶς δὲ προσομιλήσεις Θεῷ; τῇ διὰ προσευχῆς καὶ δεήσεως πρὸς αὐτὸν ἐγγύτητι. Ὁ γὰρ πόθῳ θερμοτάτῳ καὶ καρδίᾳ κεκαθαρμένῃ προσευχόμενος (4), πάντων μὲν τῶν ὑλικῶν καὶ χαμαιζήλων μακρύνας τὸν νοῦν, ὡς ἐνώπιος δὲ ἐνωπίῳ παριστάμενος τῷ Θεῷ (5), φόβῳ τε καὶ τρόμῳ τὰς δεήσεις αὐτῷ

(1) Luc. I, 78.

(2) Act. Apost. XIV, 27 : ἤνοιξε τοῖς ἔθνεσι θύραν πίστεως. I Epist. ad Cor. XVI, 9 : θύρα γάρ μοι ἀνέῳγε μεγάλη. Potuit aliunde proficere, quum sit apud multos illa metaphora obvia, et verbis etiam similioribus : vide Palairet et Valcken. ad Act.; Rhoer. Fer. p. 153; Schelhorn. in Bibl. Theolog. V, p. 856. Potuit et vulgarem sequi usum loquendi ; nam talia puto in omnium ore fuisse olim, ut et nunc sunt. Georgius Lapitha ineditus v. 680 : Γράμματα παρασκεύαζε τούτους μανθάνειν πρῶτον· Μέγιστον φῶς γὰρ τῇ ψυχῇ ἡ τούτων ἐπιστήμη, Καὶ πρὸς λειμῶνας λογικοὺς ἀνοίγνυσι τὴν θύραν.

(3) Cf. t. III, p. 471, n. 6.

(4) C, προσερχόμενος. Electio est dubia. Joannes Chrys. p. 70 Raphel. : προσέρχη τῷ Θεῷ βασιλείαν οὐρανῶν αἰτῶν...

(5) Luc. I, 19 : Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ.

προσάγων, ὁ τοιοῦτος ὁμιλεῖ αὐτῷ καὶ πρόσωπον πρὸς πρόσωπον (1) αὐτῷ διαλέγεται· πάρεστι γὰρ πανταχοῦ ὁ ἀγαθὸς ἡμῶν δεσπότης ἐπακούων τῶν εἰλικρινῶς καὶ καθαρῶς προσερχομένων αὐτῷ, καθάπερ φησὶν ὁ προφήτης· « Ὀφθαλμοὶ (2) Κυρίου ἐπὶ δικαίους, καὶ » ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. » Καὶ διὰ τοῦτο οἱ πατέρες τὴν προσευχὴν ἕνωσιν ἀνθρώπου πρὸς Θεὸν ὁρίζονται, καὶ ἔργον Ἀγγέλων ταύτην καλοῦσι, καὶ τῆς μελλούσης εὐφροσύνης προοίμιον (3). Ἐπεὶ γὰρ βασιλείαν οὐρανῶν τὴν ἐγγύτητα καὶ θεωρίαν τῆς ἁγίας Τριάδος πλέον πάντων τίθενται, πρὸς τοῦτο δὲ καὶ ἡ τῆς εὐχῆς προσεδρεία τὸν νοῦν χειραγωγεῖ, εἰκότως προοίμιον καὶ οἱονεὶ προεικόνισμα ἐκείνης τῆς μακαριότητος κέκληται αὕτη. »

« Οὐ πᾶσα δὲ εὐχὴ οὑτωσὶ καθέστηκεν, ἀλλ' ἡ τῆς προσηγορίας ταύτης ὄντως ἀξία, ἡ Θεὸν ἔχουσα διδάσκαλον, τὸν διδόντα εὐχὴν τῷ εὐχομένῳ, ἡ πάντων τῶν ἐπὶ γῆς ὑπεραρθεῖσα καὶ τῷ δεσπότῃ Θεῷ ἀμέσως ἐντυγχάνουσα. Ταύτην σεαυτῷ περιποιοῦ, καὶ εἰς ταύτην ἀγωνίζου τὴν προκοπήν· ἱκανὴ γὰρ ὑπάρχει ἐκ γῆς εἰς οὐρανοὺς ἀνυψῶσαί σε.

Οὐκ ἀπαρασκεύως δὲ καὶ ὡς ἔτυχε προκόψεις ἐν ταύτῃ· ἀλλὰ, πάντων τῶν παθῶν τὴν ψυχὴν προκαθάρας, καὶ πάσης πονηρᾶς ἐνθυμήσεως ταύτην ἀποσμήξας ὡς καθαρὸν καὶ νεόσμηκτον ἔσοπτρον,

(1) Conf. p. 125, n. 2.
(2) Psalm. XXXIII, 15.
(3) Joannes Clim. Scala c. 28 init. : προσευχή ἐστι κατὰ μὲν τὴν αὐτῆς ποιότητα συνουσία καὶ ἕνωσις ἀνθρώπου καὶ Θεοῦ . . . Ἀγγέλων ἔργον καὶ μέλλουσα εὐφροσύνη. Joannes Chrys. Orat. I de orat. p. 5, edit. ann. 1570 : Ἀγγέλων γὰρ ἔργον ἡ προσευχή. Rursus Orat. II, p. 28 : προσευχῆς δὲ κοινὸν ἔργον Ἀγγέλων ὁμοῦ καὶ ἀνθρώπων.

πάσης τε μνησικακίας καὶ μήνιδος σεαυτὸν μακρύνας, ἥτις πλέον πάντων τὰς ἡμετέρας εὐχὰς πρὸς Θεὸν ἀνάγεσθαι κωλύει, πᾶσί τε τοῖς ἡμαρτηκόσι σοι ἀπὸ καρδίας ἀφεὶς τὰ πλημμελήματα, καὶ ἐν ἐλεημοσύναις καὶ οἰκτιρμοῖς πενήτων τὴν εὐχὴν πτερώσας (1), προσάγαγε τῷ Θεῷ μετὰ θερμῶν δακρύων. Οὕτως εὐχόμενος δυνήσῃ εἰπεῖν ὡς ὁ μακάριος Δαυίδ· οὗτος γὰρ βασιλεὺς ὢν καὶ μυρίαις (2) ἑλκόμενος φροντίσι, πάντων δὲ τῶν παθῶν τὴν ψυχὴν αὐτοῦ καθαρίσας, ἔλεγε πρὸς τὸν Θεόν· « Ἀδικίαν (3) ἐμίσησα » καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα· ἑπτάκις » κις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δι- » καιοσύνης· ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά » σου καὶ ἠγάπησεν αὐτὰ σφόδρα· ἐγγισάτω ἡ δέησίς » μου ἐνώπιόν σου, Κύριε· κατὰ τὸ λόγιόν σου συν- » έτισόν με. »

« Οὕτως βοῶντός σου ὁ Θεὸς ἐπακούσεται· « ἔτι (4) λα- » λοῦντός σου, ἐρεῖ· « Ἰδοὺ πάρειμι ». Εἰ τοιαύτην οὖν κτήσῃ εὐχὴν, μακάριος ἔσῃ· ἀμήχανον γὰρ ἄνθρωπον,

(1) Scholium ad Joannis Scalam p. 443 : πτερόν ἐστι τῆς εὐχῆς ἡ ἐλεημοσύνη· ἐὰν μὴ ποιήσῃς πτερὸν τῇ εὐχῇ σου, οὐκ ἀνέρχεται εἰς ὕψος....

(2) A, μυρίοις. Sic τοῖς φροντίσι t. III, p. xij. Et supra p. 8, 24, C habuit τοῖς τ. μ. λογάσι : p. 112, ult. A C consenserunt in τῶν περιεχόντων αὐτῷ συμφορῶν, ubi scripsi securus περιεχουσῶν, relicto quod non placet αὐτῷ. Talia codicis menda plerumque tolluntur alterius ope. Qui uno utetur malo, aut plures mendosos habebit, notet, et emendet vel in auctore recentiore, si fuerit auctor literis imbutus et oratione scripserit ad antiquam grammaticam conformata. Quod iterum dico ob Reiskii de Constantini sui ac similium solœcismis animadversiones. Isaacius Porphyrogenn. De præterm. pag. 277, narrat Hecubam inter insomnia visam esse sibi ὡς ἐγκυμονῆσαι δαλὸν τῇ μήτρᾳ ἀναπτομένου καὶ φλογέντος. Cod. 817 sine solœcismo, ἀναπτόμενον καὶ φλογέντα.

(3) Psalm. CXVIII, 163....

(4) Conf. p. 86, n. 2.

μετὰ τοιαύτης προθυμίας εὐχόμενον καὶ παρακαλοῦντα τὸν Θεὸν, μὴ καθ' ἑκάστην προκόπτειν ἐν τῷ ἀγαθῷ καὶ πασῶν ὑπερίπτασθαι τῶν τοῦ ἐχθροῦ παγίδων. Ὁ γὰρ διαθερμάνας αὐτοῦ τὴν διάνοιαν, καθάπερ τις τῶν ἁγίων ἔφησε, καὶ τὴν ψυχὴν ἀναστήσας, καὶ πρὸς τὸν οὐρανὸν ἑαυτὸν μετοικίσας, καὶ οὕτω τὸν δεσπότην τὸν ἑαυτοῦ καλέσας, καὶ τῶν ἰδίων ἁμαρτημάτων ἀναμνησθεὶς, καὶ περὶ τῆς συγχωρήσεως τούτων διαλεχθεὶς, καὶ δάκρυσι θερμοτάτοις δεηθεὶς ἵλεω γενέσθαι αὐτῷ τὸν φιλάνθρωπον, ἀπὸ τῆς ἐν τοῖς λόγοις καὶ διαλογισμοῖς τούτοις διατριβῆς πᾶσαν ἀποτίθεται βιωτικὴν φροντίδα καὶ τῶν ἀνθρωπίνων παθῶν ὑψηλότερος γίνεται, καὶ Θεῷ συνόμιλος ἀξιοῦται κληθῆναι· οὗπερ τί γένοιτ' ἂν μακαριώτερον ἢ ὑψηλότερον; »

« Ἀξιώσαι οὖν (1) Κύριος τῆς τοιαύτης ἐπιτυχεῖν μακαριότητος. Ἰδοὺ γάρ σοι τὴν ὁδὸν ὑπέδειξα τῶν ἐντολῶν τοῦ Κυρίου, καὶ « οὐδὲν ὑπεστειλάμην (2) τοῦ » μὴ ἀναγγεῖλαί σοι πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ. » Καὶ ἐγὼ μὲν ἤδη τὴν πρὸς σέ μου διακονίαν τετέλεκα (3)· λοιπὸν αὐτὸς « ἀναζωσάμενος (4) τὴν ὀσφῦν » τῆς διανοίας σου, κατὰ τὸν καλέσαντά σε ἅγιον, » καὶ αὐτὸς ἅγιος ἐν πάσῃ ἀναστροφῇ γενοῦ· ἅγιοι » γὰρ γίνεσθε, διότι ἐγὼ ἅγιος εἰμὶ, λέγει Κύριος. » Γράφει δὲ καὶ ὁ κορυφαιότατος τῶν ἀποστόλων· « εἰ » πατέρα », φησίν (5), « ἐπικαλεῖσθε τὸν ἀπροσω-

(1) Forsan ἀξιώσαι σε οὖν. Hac sententia caret codex A. Atque pronomen σε reperisse videntur interpretes Latinus ac Gallicus.

(2) Acta Apost. XX, 27 : cf. 20.

(3) Ibid. 24 : τελειῶσαι... τὴν διακονίαν.

(4) Petrus scilicet, I Epist. I, 13, 15, 16.

(5) Petr. I Ep. I, 17, 18, 19.

» πολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ
» τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε, εἰ-
» δότες ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυ-
» τρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατρο-
» παραδότου, ἀλλὰ τιμίῳ αἵματι, ὡς ἀμνοῦ ἀμώμου
» καὶ ἀσπίλου, Χριστοῦ. »

« Ταῦτα οὖν πάντα ἐν καρδίᾳ τιθέμενος, μέμνησο ἀδιαλείπτως, πρὸ ὀφθαλμῶν ἔχων ἀεὶ τὸν φόβον τοῦ Θεοῦ καὶ τὸ φρικῶδες αὐτοῦ κριτήριον, τὴν φαιδρότητά τε τῶν δικαίων ἣν μέλλουσιν ἐν ἐκείνῳ ἀπολαβεῖν τῷ αἰῶνι, καὶ τὴν κατήφειαν τῶν ἁμαρτωλῶν ἐν τῷ σκότει τῷ βαθυτάτῳ, τὴν ἀσθένειάν τε καὶ ματαιότητα τῶν παρόντων καὶ τὸ τῶν μελλόντων ἀτελεύτητον, ὅτι « πᾶσα (1) σὰρξ χόρτος καὶ πᾶσα
» δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος
» καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε, τὸ δὲ ῥῆμα Κυρίου
» μένει εἰς τὸν αἰῶνα. »

Ταῦτα μελέτα διὰ παντός· καὶ ἡ εἰρήνη τοῦ Θεοῦ εἴη μετὰ σοῦ, φωτίζουσά σε καὶ συνετίζουσα καὶ εἰς τὴν ὁδὸν ἄγουσα τῆς σωτηρίας, καὶ πᾶν θέλημα πονηρὸν πόῤῥω διώκουσα τοῦ νοός σου, σφραγίζουσα δὲ τὴν ψυχήν σου τῷ τοῦ σταυροῦ σημείῳ, ἵνα μηδέν σοι πλησιάσῃ τῶν τοῦ Πονηροῦ σκανδάλων, ἀλλ' ἀξιωθῇς ἐν πάσῃ τελειότητι τῶν ἀρετῶν τῆς μελλούσης ἐπιτυχεῖν ἀτελευτήτου καὶ ἀδιαδόχου βασιλείας, καὶ τῷ φωτὶ περιλαμφθῆναι τῆς μακαρίας καὶ ζωαρχικῆς Τριάδος, τῆς ἐν Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι δοξαζομένης. »

Τοιούτοις οὖν ἠθικοῖς ῥήμασι νουθετήσας ὁ τιμιώ-

(1) Isai. xl, 6.

τατος γέρων τὸν τοῦ βασιλέως υἱὸν, εἰς τὴν ἰδίαν ἀπῄει ξενίαν (1).

Οἱ δὲ ὑπηρέται τοῦ νέου καὶ παιδαγωγοὶ τὴν συχνὴν αὐτοῦ εἰσέλευσιν ἐν τῷ παλατίῳ ὁρῶντες, ἐθαύμαζον. Εἷς δὲ τῶν προεχόντων ἐν αὐτοῖς (2), ὃν ὡς πιστότατον καὶ εὐγνώμονα κατέστησεν ὁ βασιλεὺς ἐπὶ τοῦ παλατίου τοῦ υἱοῦ αὐτοῦ, Ζαρδὰν καλούμενος, φησὶ πρὸς τὸν τοῦ βασιλέως υἱόν· « Οἶδας πάντως, ὦ δέσποτα, ὅσος ἐπ' ἐμοὶ ὁ τοῦ σοῦ πατρὸς φόβος καὶ ὅση μου ἡ πρὸς αὐτὸν πίστις· διό με ὡς οἰκέτην πιστότατον καθυπηρετεῖν σοι παρεκελεύσατο. Νυνὶ δὲ τὸν ἄνδρα τοῦτον τὸν ξένον συχνῶς ὁρῶν ὁμιλοῦντά σοι, δέδοικα μή ποτε τῆς τῶν χριστιανῶν εἴη θρησκείας, πρὸς ἣν λίαν ἀπεχθῶς ὁ σὸς πατὴρ διάκειται· καὶ τῆς θανατηφόρου εὑρεθήσομαι (3) ὑπεύθυνος ψήφου. Εἴτε οὖν τῷ βασιλεῖ τὰ περὶ αὐτοῦ γνώρισον, εἴτε τοῦ λοιποῦ παῦσαι τούτῳ προσομιλεῖν· εἰ δὲ μὴ, ἔκβαλόν με τοῦ σοῦ προσώπου, ὡς

(1) Lemma metricum in codice A : Ὅρα Βαρλαὰμ ἐνθάδ' ὑποχωροῦντα.

(2) Lemma metricum in codice A : Ὁ παιδαγωγὸς Ζαρδὰν τοῦ Ἰωάσαφ.

(3) De hoc usu verbi εὑρίσκομαι egit Palairet ad Matth. I, 18, ad Luc. XVII, 18; Wakef. Silv. t. III, p. 63; t. IV, p. 1. Sophocles Aj. 610 : νῦν δ' αὖ... φίλοις μέγα πένθος εὕρηται. Ibi Erfurdt. : « variam lectionem γεγένηται memorat scholiastes. » Sed est γεγένηται scholium, non varia lectio. Ibid. 754 : Κεῖνος δ' ἀπ' οἴκων εὐθὺς ἐξορμώμενος Ἄνους καλῶς λέγοντος εὑρέθη πατρός· tum nonnullis interjectis versibus : εἶτα δεύτερον Δίας Ἀθάνας, ἡνίκ', ὀτρύνουσά νιν Ηὔδατ' ἐπ' ἐχθροῖς χεῖρα φοινίαν τρέπειν, Τότ' ἀντιφωνεῖ δεινὸν ἄρρητόν τ' ἔπος. Multum in syntaxi ejus loci instituenda laborant viri d., quibus meam sententiam modeste proponam, scilicet δεύτερον Δίας Ἀθάνας jungi posse præcedentibus, ita ut plenioribus verbis interpretatio fiat : δεύτερον Δίας Ἀθάνας καλῶς λεγούσης εὑρέθη ἄνους. Sic procedere verba ac sensus apte ac facile mihi quidem videntur.

ἂν μὴ μεμπτέος ὦ, καὶ ἄλλον αἴτησαι τὸν πατέρα (1) σου ἀγαγεῖν ἐνταῦθα. »

Ὁ δὲ τοῦ βασιλέως υἱὸς ἔφη πρὸς αὐτόν· « Τοῦτο πρὸ πάντων, ὦ Ζαρδὰν, ποίησον. Καθέσθητι σὺ ἔνδοθεν τοῦ παραπετάσματος, καὶ ἄκουσον τῆς αὐτοῦ πρός με ὁμιλίας· καὶ εἶθ' οὕτως λαλήσω σοι τί δεῖ ποιῆσαι. »

Μέλλοντος δὲ τοῦ Βαρλαὰμ εἰσελθεῖν πρὸς αὐτὸν (2), εἰσήγαγε τὸν Ζαρδὰν ἐντὸς τοῦ παραπετάσματος, καὶ λέγει τῷ γέροντι· « Ἀνακεφαλαίωσαί μοι τὰ τῆς ἐνθέου σου διδασκαλίας, ὡς ἂν κραταιότερον ἐμφυτευθῇ μου τῇ καρδίᾳ. »

Ὑπολαβὼν δὲ ὁ Βαρλαὰμ πολλὰ περὶ Θεοῦ καὶ τῆς εἰς αὐτὸν εὐσεβείας ἐφθέγγετο, καὶ ὡς αὐτὸν μόνον δεῖ ἀγαπᾷν ἐξ ὅλης καρδίας καὶ ἐξ ὅλης ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας (3), καὶ τὰς αὐτοῦ φυλάττειν ἐντολὰς φόβῳ τε καὶ πόθῳ, καὶ ὅτι αὐτός ἐστιν ὁ ποιητὴς ὁρατῶν τε πάντων καὶ ἀοράτων. Ἐφ' οἷς καὶ τὴν τοῦ πρώτου ἀνθρώπου διάπλασιν ὑπεμίμνησκε (4), τήν τε δοθεῖσαν αὐτῷ ἐντολὴν καὶ τὴν ταύτης παράβασιν, καὶ τὴν ἐπὶ τῇ παραβάσει τοῦ πλάσαντος καταδίκην. Εἶτα καθεξῆς τὰ ἀγαθὰ ἀπηριθμεῖτο, ὧν ἀθετήσαντες τὴν ἐντολὴν ἑαυτοὺς ἀπεκλείσαμεν· καὶ

(1) A, *τῷ πατρί σου*. Prætuli accusativi syntaxin. Synesius Catast. p. 305 : *κακοὺς κακῶς ἀπολωλεκέναι τοὺς καταράτους βαρβάρους ἐγὼ μὲν ᾔτησα τὸν Θεόν*. Ibi legam libens *ἀπολωλέναι*, quod vidi in codice 1760.

(2) C, *πρὸς αὐτὸν ἐλθεῖν*, præpositione omissa. Synesius ibid. : *τῶν... ἱππέων... οὐδὲ πυρπνημόρια λείπεται, φασίν*. Codex idem plenius, *ὑπολείπεται*.

(3) Luc. x, 27 : *ἀγαπήσεις κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου*.

(4) C, *ἀναμίμνησκε*.

αὖθις ἐμέμνητο τῶν λυπηρῶν, ὅσα μετὰ τὴν ἐκείνων ἀποτυχίαν κατέλαβεν ἀθλίως ἡμᾶς. Ἐπὶ τούτοις τὰ τῆς φιλανθρωπίας ἐπῆγεν, ὅπως, τῆς ἡμετέρας φροντίζων ὁ δημιουργὸς σωτηρίας, διδασκάλους ἀπέστειλε καὶ προφήτας τὴν τοῦ μονογενοῦς κηρύττοντας σάρκωσιν· ἔπειτα, καὶ τὴν ἐκείνου κάθοδον, τὴν ἐνανθρώπησιν, τὰς εὐεργεσίας, τὰ θαύματα, καὶ τὰ ὑπὲρ ἡμῶν τῶν ἀχαρίστων παθήματα, τὸν σταυρὸν, τὴν λόγχην, τὸν ἑκούσιον θάνατον· τέλος, τὴν ἐπανόρθωσιν ἡμῶν, τὴν ἀνάκλησιν, τὴν εἰς τὸ πρῶτον ἀγαθὸν ἐπάνοδον· μετὰ ταῦτα, τὴν ἐκδεχομένην τοὺς ἀξίους τῶν οὐρανῶν βασιλείαν, τὴν ἀποκειμένην τοῖς φαύλοις βάσανον, τὸ μὴ σβεννύμενον πῦρ, τὸ μὴ λῆγον σκότος, τὸν ἀθάνατον σκώληκα, καὶ ὅσην ἄλλην οἱ τῆς ἁμαρτίας δοῦλοι κόλασιν ἑαυτοῖς ἐθησαύρισαν. Ταῦτα διεξελθὼν καὶ εἰς ἠθικὴν διδασκαλίαν τὸν λόγον τελέσας, πολλά τε περὶ καθαρότητος βίου διαλεχθεὶς, καὶ τῆς τῶν παρόντων ματαιότητος καταγνοὺς, τὴν ἀθλιότητά τε τῶν τούτοις προστετηκότων διελέγξας, εἰς εὐχὴν κατέληξε. Καὶ ἀπερίτρεπτον αὐτῷ ἐπευξάμενος καὶ ἀκλινῆ τὴν ὁμολογίαν τῆς ὀρθοδόξου πίστεως, ἀνεπίληπτόν τε τὸν βίον καὶ καθαρωτάτην τὴν πολιτείαν, ὁ μὲν, τέλος ἐπιθεὶς τῇ εὐχῇ, πρὸς τὴν ξενίαν αὖθις ἀπῄει. Ὁ δὲ τοῦ βασιλέως υἱὸς, τὸν Ζαρδὰν προσκαλεσάμενος καὶ τὴν αὐτοῦ γυμνάζων διάθεσιν, ἔφη· «Ἤκουσας ὁποῖά μοι ὁ σπερμολόγος οὗτος διαλέγεται, ἀπατῆσαί με ταῖς κεναῖς αὐτοῦ πιθανολογίαις πειρώμενος καὶ ἀποστερῆσαι τῆς τερπνῆς ταύτης εὐφροσύνης καὶ ἀπολαύσεως, καὶ ξένῳ λατρεῦσαι Θεῷ; »

Ὁ δὲ Ζαρδὰν « Τί σοι ἔδοξεν », ἔφη, « ὦ βασιλεῦ, πειράζειν με τὸν σὸν οἰκέτην; Οἶδα κατὰ βάθος εἰσδῦναί σου τῇ καρδίᾳ τοὺς λόγους τοῦ ἀνδρός· εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν αὐτῷ ἡδέως τε καὶ ἀδιαλείπτως ὡμίλεις. Καί γε ἡμεῖς οὐκ ἀγνοοῦμεν τουτὶ τὸ κήρυγμα· ἀλλ' ἐξ ὅτου ὁ σὸς πατὴρ διωγμὸν ἄσπονδον κατὰ τῶν χριστιανῶν ἐξήγειρεν, ἀπηλάθησαν αὐτοὶ τῶν ἐντεῦθεν, καὶ ἐσίγησε τὸ κήρυγμα αὐτῶν. Εἰ δὲ νῦν ἀρεστόν σοι τὸ δόγμα κατεφάνη καὶ τὸ σκληρὸν αὐτοῦ καὶ ἐπίπονον ἀναδέξασθαι ἰσχύεις, κατευθυνθείη σου τὰ θελήματα (1) εἰς τὸ ἀγαθόν. Ἐγὼ δὲ τί ποιήσω, πρὸς μὲν τὴν τοιαύτην σκληρότητα μηδ' ἀντοφθαλμῆσαι δυνάμενος, τῷ δὲ φόβῳ τοῦ βασιλέως τὴν ψυχὴν ἐν ὀδύναις καὶ ἀλγηδόσι μεριζόμενος; τί ἀπολογήσομαι αὐτῷ, ἀμελῶς τοῖς αὐτοῦ διατεθεὶς προστάγμασι, καὶ τῷ ἀνδρὶ τούτῳ τῆς πρὸς σὲ παραχωρήσας εἰσόδου; »

Ἔφη δὲ πρὸς αὐτὸν ὁ τοῦ βασιλέως υἱός· « Ἐγὼ μὲν, τῆς πολλῆς σου πρός με εὐγνωμοσύνης μηδεμίαν ἄλλην ἀξίαν ἀμοιβὴν γινώσκων, ταύτην καὶ ὑπεραξίαν εὑρηκὼς ἐπ' εὐεργεσίᾳ τῇ σῇ, κατάδηλον ποιῆσαί σοι τὸ ὑπὲρ φύσιν ἀγαθὸν ἔργον πεποίηκα, τοῦ γνωρίσαι σε εἰς ὃ γεγένησαι καὶ τὸν δημιουργὸν ἐπιγνῶναι, ἀπολιπόντα τε (2) τὸ σκότος τῷ φωτὶ προσδραμεῖν· καὶ

(1) A, κατ. σου τὰ διαβήματα: quæ sunt petita e Psalmo: confer t. III, p. 52. Malui lectionem codicis C. Scilicet non videbatur Psalmorum imitatio in Zardanem cadere.

(2) A, ἀπολιπόντα σε. Obiter particula restituatur Eumathio pag. 78: πάνθ' ὅσα ἐζήτουν παθεῖν καὶ δρᾶσαι, ταῦθ' ὡς ἐγκατόπτροις τοῖς ὀνείροις καὶ εἶδον καὶ ἔπαθον. Cod. 2897, παθεῖν τε καί. Rescribendum et ἐν κατόπτροις. — Si quis hic velit ἀπολ. τέ σε, non repugno.

ἤλπιζον, ἅμα τῷ (1) ἀκοῦσαί σε πόθῳ ἀσχέτῳ τούτῳ ἀκολουθῆσαι. Ἀλλ' ἐψεύσθην, καθὼς ὁρῶ, τῆς ἐλπίδος, χλιαρῶς σε βλέπων πρὸς τὰ λαληθέντα διακείμενον. Τῷ δὲ βασιλεῖ καὶ πατρί μου εἰ ταῦτα δηλώσεις, οὐδὲν ἕτερον ποιήσεις ἢ μερίμναις αὐτοῦ καὶ λύπαις τὴν ψυχὴν ἀνιάσεις. Ἀλλ', εἴπερ αὐτῷ εὐγνωμονεῖς, μηδόλως ἄχρι καιροῦ τοῦ προσήκοντος ἀναγγείλῃς τι περὶ τούτων. »

Ταῦτα μὲν πρὸς αὐτὸν λαλήσας, ἐφ' ὑδάτων ἐδόκει σπείρειν (2)· εἰς ψυχὴν γὰρ ἀσύνετον οὐκ εἰσελεύσεται σοφία. Τῇ ἐπαύριον δὲ ὁ Βαρλαὰμ ἐλθὼν τὰ τῆς ἀποδημίας ὡμίλει· ὁ δὲ, τὸν τούτου μὴ φέρων χωρισμὸν, τὴν ψυχὴν ἠνιᾶτο καὶ δακρύων τοὺς ὀφθαλμοὺς ἐπεπλήρωτο. Πολλὰ δὲ (3) ὁ γέρων αὐτῷ διαλεχθεὶς, καὶ ἀκλόνητον διαμένειν ἐν τῷ ἀγαθῷ μαρτυράμενος, λόγοις τε παρακλητικοῖς στηρίξας αὐτοῦ τὴν καρδίαν, ἱλαρῶς αὐτὸν ἐξαποστεῖλαι ἠξίου· ἅμα δὲ καὶ προέλεγεν οὐκ εἰς μακρὸν αὐτοὺς ἑνοῦσθαι ἑνώσει ἀδιαιρέτῳ. Ὁ δὲ τοῦ βασιλέως υἱὸς, μὴ δυνάμενος ἐπὶ πλεῖον κόπους τῷ γέροντι παρέχειν καὶ τῆς ποθουμένης αὐτὸν κωλύειν ὁδοῦ, ἅμα δὲ καὶ ὑφορώ-

(1) C, ἅμα τοῦ : syntaxi bona minus. Vide notam ad Syntipæ Narrat. p. 199.

(2) Inter proverbia de impossibilibus, quæ edidi t. I, p. 395, exstat : εἰς ὕδωρ σπείρεις. Vita Nili Junioris p. 89 : ἐὰν νῦν σοι περὶ Θεοῦ τι λαλήσω, καθ' ὕδατος γράφω καὶ ἐπὶ θαλάσσῃ σπείρω.

(3) A, πολλά τέ. Permutabiles sunt illæ voculæ. Choricius Villoisoni p. 62 : τῆς αὐτῆς ἐστιν εὐτολμίας τυράννου δὲ παῖδα καὶ τὸν ἔχοντα ἀρχὴν ἀποκτεῖναι. Bene codex 2967 τυρ. τε π..., τὴν ἀρχ. Athenæus XIV, 2 : ἀκροάματα ἑκάστοτε διάφορα ἐπεισάγει, ... ἔτι τε καὶ γελωτοποιούς. Velim ἔτι δὲ καί. Libanius Epist. 25 : ἥσθην τε τῷ τε υἱεῖ καὶ τῷ κηδεστῇ. Melius codex 3035, ἥσθην δὲ τῷ : exhibet etiam utile scholium : ὁ μὲν υἱὸς τοῦ Ἀκακίου τούτου ἐλέγετο Τιτιανὸς, ὁ δὲ γαμβρὸς Κυλίκιος · imo Καλίκιος.

μενος μὴ δῆλα τὰ περὶ αὐτὸν ὁ Ζαρδὰν ἐκεῖνος τῷ βασιλεῖ ποιήσηται καὶ τιμωρίαις αὐτὸν ὑποβαλῇ (1), λέγει πρὸς αὐτόν· « Ἐπείπερ σοι τοῦτο ἔδοξε, πάτερ πνευματικὲ καὶ διδασκάλων ἄριστε καὶ καλοῦ παντὸς ἐμοὶ πρόξενε, τοῦ (2) καταλιπεῖν με τῇ τοῦ κόσμου ματαιότητι συναναστρέφεσθαι καὶ σὲ πορευθῆναι εἰς τὸν τῆς πνευματικῆς ἀναπαύσεως τόπον, οὐκ ἔτι σε κατέχειν καὶ παρεμποδίζειν τολμῶ. Ἄπιθι οὖν τῇ τοῦ Θεοῦ εἰρήνῃ φρουρούμενος, καὶ τῆς ἐμῆς ἀθλιότητος ἐν ταῖς τιμίαις σου εὐχαῖς διὰ παντὸς μέμνησο διὰ τὸν Κύριον, ἵνα δυνηθῶ καταλαβεῖν σε καὶ τὸ σὸν βλέπειν τίμιον πρόσωπον πάντοτε. Ποίησον δέ μου μίαν αἴτησιν· καὶ, ἐπείπερ οὐκ ἠθέλησας τὶ λαβεῖν ὑπὲρ τῶν συνασκητῶν σου, δέξαι κἂν ὑπὲρ σεαυτοῦ μικρόν τι χρῆμα εἰς διατροφὴν καὶ ἱμάτιον εἰς ἀμφίασιν. »

Ὁ δὲ πρὸς αὐτὸν ἀπεκρίνατο· « Εἰ ὑπὲρ τῶν ἀδελφῶν μου οὐκ ἐδεξάμην τι παρὰ σοῦ (οὐδὲ γὰρ ἐκεῖνοι χρήζουσιν ἐπιλαβέσθαι τῶν ὑλῶν τοῦ κόσμου ὧν ἑκόντες ἐμάκρυναν), πῶς ἐμαυτῷ περιποιήσομαι ὅπερ ἐκείνοις ἀπηγόρευσα; Εἰ μὲν γὰρ καλὸν ἦν ἡ τῶν χρημάτων κτῆσις, ἐκείνοις ἂν πρὸ ἐμοῦ τούτων μετέδωκα· ἐπεὶ δὲ ὀλεθρίαν τὴν αὐτῶν ἐπίσταμαι κτῆσιν, οὔτε ἐκείνους, οὔτε μὴν ἐμαυτὸν τοῖς τοιούτοις ὑποβαλῶ βρόχοις. »

Ὡς δὲ καὶ ἐν τούτῳ πείθειν οὐκ εἶχε, δευτέρας ἱκετηρίας ἀρχὴ (3), καὶ δευτέραν πάλιν αἴτησιν ποιεῖται,

(1) A, ὑποβαλεῖ. Libanius Ep. 361 : καί σε γράφομαι κατ' ἄμφω· τοῦτο μὲν, εἰ φὴς ἐπιλελῆσθαι, τοῦτο δὲ, εἰ, μεμνημένος, ὧν οὐκ ἀμνημονεῖς, ἀμελῇς· imo ἀμελεῖς, quod habet codex 3035.

(2) C sine τοῦ.

(3) Verba δευτ. ἱκ. ἀρχὴ, qui-

μὴ πάντη αὐτοῦ παριδεῖν τὰς δεήσεις, μηδὲ πᾶσαν αὐτῷ καλαχέαι τὴν ἀθυμίαν, ἀλλὰ καταλιπεῖν αὐτῷ τὸ ἐῤῥικνωμένον ἱμάτιον ἐκεῖνο καὶ τραχὺ παλλίον (1), ἅμα μὲν εἰς μνήμην τῆς τοῦ διδασκάλου ἀσκήσεως, ἅμα δὲ εἰς φυλακτήριον αὐτῷ ἀπὸ πάσης σατανικῆς ἐνεργείας, λαβεῖν δὲ παρ' αὐτοῦ ἕτερον ἀντ' ἐκείνου· « ὡς ἄν, τὸ παρ' ἐμοῦ », φησί, « δοθὲν ὁρῶν, τὴν ἐμὴν » ἐπὶ μνήμης φέρῃς ταπεινότητα. »

Ὁ δὲ γέρων ἔφη· « Τὸ μὲν παλαιὸν καὶ διεῤῥωγὸς δοῦναί σοι καὶ λαβεῖν καινὸν ἔνδυμα, οὐ θέμις, ἵνα μὴ τοῦ μικροῦ κόπου μου τὴν ἀμοιβὴν ἐνθάδε ἀπολαβεῖν κατακριθῶ· ἵνα δέ σου τὴν προθυμίαν μὴ ἐγκόψω, παλαιὰ καὶ μηδὲν τῶν ἐμῶν διαφέροντα ἔστωσαν τὰ διδόμενά μοι παρὰ σοῦ. »

Ζητήσας δὲ ὁ τοῦ βασιλέως υἱὸς τρίχινα ῥάκη παλαιά, καὶ ταῦτα δοὺς τῷ γέροντι, τὰ ἐκείνου λαβὼν ἔχαιρε, πάσης πορφύρας καὶ βασιλικῆς ἀλουργίδος τιμιώτερα ταῦτα ἀσυγκρίτως (2) ἡγούμενος.

Ὁ δὲ θειότατος Βαρλαάμ, ἀπιέναι ὅσον οὔπω βουλόμενος, τὰ τῆς ἐκδημίας ὡμίλει, καὶ τελευταίαν αὐτῷ διδασκαλίαν προσῆγεν, « Ἀδελφέ » λέγων, « ἠγαπημένε καὶ τέκνον γλυκύτατον, ὃ διὰ τοῦ εὐαγγελίου ἐγέννησα (3), οἶδας τίνι ἐστρατεύθης βασιλεῖ καὶ πρὸς τίνα τὰς ὁμολογίας σου διέθου. Δεῖ οὖν βεβαίας ταύτας φυλάξαι, καὶ τὰ τῆς στρατείας προθύμως τελέσαι, ὅσα ὑπέσχου ἐν τῷ τῆς ὁμολογίας

bus caret C, lemma esse suspicor. Et in A inter ἀρχὴ et καὶ διωτ. fuerunt erasa plura vocabula; quod auget suspicionem.

(1) Conf. pag. 156, not. 2.

(2) Conf. t. III, pp. 1, 475; et supra p. 158, 23.

(3) I Epist. ad Cor. IV, 15: ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα.

χάρτῃ τῷ πάντων δεσπότῃ, πάσης παρούσης τῆς ἐπουρανίου στρατιᾶς καὶ συμμαρτυρούσης, ἅμα δὲ καὶ ἀπογραφομένης τὰ ὁμολογηθέντα, ἅτινα φυλάττων μακάριος ἔσῃ. Μηδὲν οὖν τῶν παρόντων Θεοῦ καὶ τῶν αὐτοῦ προκρίνῃς ἀγαθῶν. Τί γὰρ ἂν οὕτω φοβερὸν εἴη τῶν παρόντων, ὡς γέεννα πυρὸς αἰωνίου, μήτε τοῦ καίοντος ὅλως φῶς ἔχοντος (1), μήτε τοῦ κολάζοντος ποτὲ λήγοντος; τί δὲ πάλιν τῶν τοῦ κόσμου καλῶν τηλικοῦτον εὐφραίνοι, ὡς Θεὸς αὐτὸς ἐκεῖνος τοῖς ἀγαπήσασι χαριζόμενος; οὗπερ τὸ κάλλος μὲν ἄφατον, δυναστεία δὲ ἄμαχος καὶ ἡ δόξα ἀΐδιος· οὗπερ τὰ ἀγαθὰ, τὰ τοῖς αὐτοῦ φίλοις ἀποκείμενα, πάντων τῶν ὁρωμένων ἀσυγκρίτως ὑπερέχει, « ἃ » ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρ- » δίαν ἀνθρώπου οὐκ ἀνέβη (2) »· ὧν κληρονόμος ἀναδειχθείης, τῇ τοῦ Θεοῦ φρουρούμενος κραταιοτάτῃ χειρί. »

(1) Sic infra πυρὸς ἀσβέστου καὶ σκοτεινοῦ. Quis sit hujus opinionis auctor ignoro, nec anxie quæram. Serius Thomam Aquinatem ita sensisse disco ex Pinamontii, Itali loyolitæ, libro cui index est in anglica versione qua utor: « Hell opened to christians. » Inde paucula describam : « 'Tis true there will be fire, but depriv'd of light; yet so that the eyes shall suffer with the sight of most horrible appearances, and yet debarr'd of that comfort, which, in the midst of all their terrour, the lightnings themselves might cause in the frightfulest tempests.... That will be true, *because*, as S. Thomas says, « ibi » erit ardor sine claritate. » Ignem inferni esse luminosum sensisse videtur Gregor. Naz. Orat. XL, p. 664 : ἓν μόνον φῶς, inquit, φεύγωμεν, τὸ τοῦ πικροῦ πυρὸς ἔκγονον· μὴ πορευθῶμεν τῷ φωτὶ τοῦ πυρὸς ἡμῶν καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσαμεν. Sed ex verbis istis mysticis et allegoricis, in quibus inest et imitatio loci Isaiæ L, 11, nil est certum quod concludi queat. Qui de inferni ignis natura scripsit Swindenius, si bene memini, infernum in sole, luminis ipso fonte, collocavit. Sed talia tetigisse satis mihi sit.

(2) Conf. p. 60, n. 2.

Ὁ δὲ τοῦ βασιλέως υἱὸς, δάκρυσι συγκεχυμένος (1), ἠνιᾶτο καὶ ἤσχαλλε, φιλοστόργου πατρὸς καὶ διδασκάλου ἀειστου ἀπολειφθῆναι μὴ ἀνεχόμενος. « Καὶ τίς μοι » φησίν, « ὦ πάτερ, τὴν σὴν πληρώσει τάξιν; ὑπὸ τίνι δὲ ἐγὼ τοιούτῳ ποιμένι καὶ ὁδηγῷ ψυχικῆς σωτηρίας γενήσομαι; τί τοῦ σοῦ παραμύθιον ποιήσομαι πόθου; ἰδοὺ γὰρ ἐμὲ τὸν πονηρὸν δοῦλον καὶ ἀποστάτην τῷ Θεῷ προσήγαγες, καὶ εἰς υἱοῦ καὶ κληρονόμου κατέστησας τάξιν, καὶ τὸν ἀπολωλότα καὶ ὀρειάλωτον, τὸν παντὶ θηρίῳ ἕτοιμον εἰς βορὰν, ἐζήτησας, καὶ τοῖς ἀπλανέσι κατέμιξας Θεοῦ προβάτοις· καὶ ἔδειξάς μοι τὴν ἐπίτομον τῆς ἀληθείας ὁδὸν, ἐξαγαγών με τοῦ σκότους καὶ τῆς σκιᾶς τοῦ θανάτου, καὶ τοὺς πόδας μου μεταγαγὼν (2) ἐκ τῆς ὀλισθηρᾶς καὶ θανατηφόρου καὶ σκολιωτάτης καὶ καμπύλης ἀτραποῦ (3), μεγάλων καὶ θαυμασίων μοι γέγονας πρόξενος ἀγαθῶν, καὶ ὧν οὐδεὶς ἐξαρκέσειε λόγος τὸ ὑπερέχον διηγήσασθαι. Μεγάλων καὶ αὐτὸς ὑπὲρ ἐμοῦ τοῦ μικροῦ μετάσχοις τοῦ Θεοῦ δωρεῶν· καὶ τῆς ἐμῆς εὐχαριστίας ὑστέρημα πληρώσαι Κύριος, ὁ μόνος νικῶν ταῖς τῶν δωρεῶν ἀντιδόσεσι τοὺς αὐτὸν ἀγαπῶντας. »

Ὁ δὲ Βαρλαὰμ, τῆς θρηνῳδίας αὐτὸν ἐκκόπτων, ἀναστὰς εἰς εὐχὴν ἵστατο, καὶ, τὼ χεῖρε εἰς οὐρανοὺς διάρας, « Ὁ Θεός, » ἔλεγε, « καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ φωτίσας τὰ πρὶν ἐσκοτι-

(1) Pag. 24, 1, δάκρυσι συγκεχυμένοις scripsi ex BC, quum esset in A, δ. συνεχόμενος. Ibi malim συγκεχυμένος.

(2) Luc. I, 79 : ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης. Psalm. LXXXVII, 6 : ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.

(3) Glossema in A, ὁδοῦ.

σμένα, καὶ τὴν ὁρατὴν ταύτην καὶ ἀόρατον κτίσιν ἐκ τοῦ μὴ ὄντος παραγαγὼν, ὁ τὸ σὸν ἐπιστρέψας πλάσμα (1) καὶ μὴ ἐάσας ἡμᾶς ὀπίσω τῆς ἀφροσύνης ἡμῶν πορεύεσθαι, εὐχαριστοῦμέν σοι, καὶ τῇ σῇ σοφίᾳ καὶ δυνάμει τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησας, πεσόντας τε ἡμᾶς ἀνέστησας, καὶ πεπλημμεληκόσι τὰς ἁμαρτίας ἀφῆκας, πλανηθέντας ἐπανήγαγες, αἰχμαλωτισθέντας ἐλυτρώσω, τεθνηκότας ἐζωοποίησας τῷ τιμίῳ τοῦ υἱοῦ σου καὶ δεσποτικῷ αἵματι. Σὲ οὖν ἐπικαλοῦμαι καὶ τὸν μονογενῆ σου υἱὸν καὶ τὸ πανάγιόν σου Πνεῦμα· ἔπιδε ἐπὶ τὸ λογικόν σου πρόβατον τοῦτο, τὸ προσελθὸν δι' ἐμοῦ τοῦ ἀναξίου εἰς θυσίαν σοι, καὶ ἁγίασον αὐτοῦ τὴν ψυχὴν τῇ σῇ δυνάμει καὶ χάριτι· ἐπίσκεψαι τὴν ἄμπελον ταύτην τὴν φυτευθεῖσαν διὰ τοῦ Ἁγίου σου Πνεύματος, καὶ δὸς αὐτὴν καρποφορῆσαι καρπὸν δικαιοσύνης· ἐνίσχυσον αὐτὸν, βεβαιῶν ἐν αὐτῷ τὴν διαθήκην σου, καὶ ἐξελοῦ τῆς ἀπάτης τοῦ Διαβόλου· τῇ σοφίᾳ τοῦ ἀγαθοῦ σου Πνεύματος δίδαξον αὐτὸν ποιεῖν τὸ θέλημά σου (2), καὶ τὴν βοήθειάν σου μὴ ἀφέλῃς ἀπ' αὐτοῦ, ἀξιῶν σὺν ἐμοὶ τῷ ἀχρείῳ σου οἰκέτῃ τῶν ἀτελευτήτων σου ἀγαθῶν κληρονόμον γενέσθαι, ὅτι εὐλόγητος εἶ καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας. Ἀμήν. »

Τελέσας δὲ τὴν εὐχὴν καὶ ἐπιστραφεὶς, κατησπά-

(1) Dracontius Hexaem. 309 : « His Dominus pietatis opem subducere non vult, Projicere nec plasma suum vult conditor ævi. » Cf. p. 3, 16; p. 51, 25.

(2) Psalm. CXLII, 10 : δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου... τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν τῇ εὐθείᾳ. Qui hunc locum noverat Billyus, non debuit, cum Trapezuntio, jungere ἐξελοῦ τῇ σοφίᾳ...

σατο τὸ τέκνον ἤδη τοῦ ἐπουρανίου Πατρός. Εἰρήνην τε αὐτῷ ἐπευξάμενος καὶ σωτηρίαν αἰώνιον, ἐξῆλθε τοῦ παλατίου, καὶ ἀπήει χαίρων καὶ εὐχαριστῶν τῷ Θεῷ, τῷ εὐοδώσαντι τὴν ὁδὸν αὐτοῦ εἰς ἀγαθόν.

Ὁ Ἰωάσαφ δὲ, μετὰ τὸ ἐξελθεῖν τὸν Βαρλαάμ, εὐχῇ ἑαυτὸν ἐδίδου καὶ δάκρυσι θερμοτάτοις, καὶ ἔλεγεν· « Ὁ Θεὸς, εἰς τὴν βοήθειάν μου πρόσχες (1) »· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον, ὅτι « σοὶ ἐγκαταλέλειπται ὁ πτωχὸς, ὀρφανῷ σὺ ἦσθα βοηθός (2)· ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με (3). Ὁ πάντας θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν (4) », σῶσόν με καὶ ἐνίσχυσόν με τὸν ἀνάξιον τοῦ πορευθῆναι τὴν ὁδὸν τῶν ἁγίων σου ἐντολῶν, ὅτι ἐγὼ μὲν ἀσθενὴς καὶ ταλαίπωρος καὶ ποιῆσαι τὸ ἀγαθὸν οὐχ ἱκανός· σὺ δὲ σώζειν με δυνατὸς, ὁ πάντα τὰ ὁρατὰ καὶ τὰ ἀόρατα συγκρατῶν καὶ συνέχων. Μὴ ἐάσῃς με ὀπίσω τῶν θελημάτων τῆς σάρκος τῶν πονηρῶν πορεύεσθαι· ἀλλὰ « τὸ σὸν δίδαξον ποιεῖν θέλημα (5) », καὶ συντήρησόν με εἰς τὴν αἰώνιον σου καὶ μακαρίαν ζωήν. Ὦ Πάτερ καὶ Υἱὲ καὶ θεῖον Πνεῦμα, ἡ ὁμοούσιος καὶ ἀδιαίρετος θεότης, σὲ ἐπικαλοῦμαι καὶ σὲ δοξάζω· σὲ γὰρ ὑμνεῖ πᾶσα κτίσις, καὶ σὲ δοξολογοῦσιν αἱ νοεραὶ τῶν ἀσωμάτων (6) δυνάμεις εἰς τοὺς αἰῶνας. Ἀμήν. »

Ἔκτοτε οὖν πάσῃ φυλακῇ ἐτήρει ἑαυτὸν, καθαρότητα ψυχῆς τε καὶ σώματος ἑαυτῷ περιποιούμενος, ἐγκρατείᾳ τε συζῶν καὶ προσευχαῖς ὁλονύκτοις

(1) Psalm. LXIX, 1.

(2) Psalm. IX, 14.

(3) Psalm. LXXXV, 16.

(4) I Epist. ad Tim. II, 4. Unde tanta Joasapho Testamentorum notitia valde miror.

(5) Cf. p. 188, n. 2.

(6) Conf. p. 5, n. 4.

καὶ δεήσεσιν. Ἡμέρας μὲν γὰρ πολλάκις περικοπτόμενος, τῇ τε τῶν συνόντων αὐτῷ συναυλίᾳ, ἔσθ' ὅτε καὶ τῇ τοῦ βασιλέως πρὸς αὐτὸν ἐπιδημίᾳ ἢ τῇ αὐτοῦ εἰς ἐκεῖνον μετακλήσει, ἡ νὺξ αὐτῷ τὰ τῆς ἡμέρας ἀνεπλήρου ὑστερήματα, ἐν εὐχαῖς καὶ δάκρυσι μέχρι διαφαύματος ἱσταμένου αὐτοῦ καὶ τὸν Θεὸν ἐπικαλουμένου· ὅθεν τὸ προφητικὸν ἐκεῖνο ῥῆμα (1) ἐπ' αὐτὸν ἐπληροῦτο· « Ἐν ταῖς νυξὶ ἐπάρατε τὰς χεῖ- » ρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον. »

Ὁ δὲ Ζαρδὰν ἐκεῖνος τὴν τοιαύτην αὐτοῦ αἰσθόμενος διαγωγὴν καὶ λύπης πληρούμενος, μερίμναις τε δειναῖς τὴν ψυχὴν βαλλόμενος, οὐκ εἶχεν ὅ τι καὶ δράσειε· τέλος, τῇ ἀνίᾳ καταπονηθεὶς, εἰς τὸν ἑαυτοῦ ἀπεδήμησεν οἶκον, ἀῤῥωστεῖν προσποιούμενος. Ὡς δὲ εἰς γνῶσιν τῷ βασιλεῖ τοῦτο ἐληλύθει, ἄλλον μὲν ἀντ' αὐτοῦ τῶν πιστοτάτων καθυπηρετεῖν τῷ υἱῷ ἐξαπέστειλεν· αὐτὸς δὲ, τῆς τοῦ Ζαρδὰν ἐπιμελούμενος ὑγείας, ἰατρὸν αὐτῷ πέμπει δοκιμώτατον καὶ φροντίδος ὅτι πολλῆς ἀξιοῖ θεραπευθῆναι.

Ὁ δὲ ἰατρὸς, ἐπεὶ τῷ βασιλεῖ οὗτος κεχαρισμένος ἦν, ἐπιμελῶς ἐπεσκέψατο, καὶ, ἄριστα διαγνοὺς τὰ κατ' αὐτὸν, τῷ βασιλεῖ θᾶττον ἀναγγέλλει, ὡς « Ἐγὼ », φησί, « οὐδενὸς νοσήματος αἴτιον ἐν τῷ ἀνθρώπῳ εὑρεῖν δεδύνημαι· ἔνθεν τοι καὶ ὑπολαμβάνω, ἀθυμίᾳ τινὶ τὴν ψυχὴν βληθέντα, τοῦτον μαλακισθῆναι. »

Ὁ δὲ βασιλεὺς, τούτων ἀκούσας τῶν ῥημάτων, ὑπέλαβε βαρέως αὐτῷ τὸν υἱὸν διατεθῆναι, καὶ τούτου χάριν λυπηθέντα αὐτὸν ὑποχωρῆσαι. Μαθεῖν δὲ τὸ πρᾶγμα ἀκολούθως βουλόμενος, δεδήλωκε τῷ Ζαρ-

(1) Psalm. cxxxiii, 2.

δάν, ὡς « Αὔριον ἐλεύσομαι » φησί « θεωρῆσαί σε, » καὶ τὰ τῆς ἐπισυμβάσης σοι διαγνῶναι ἀῤῥωστίας. »

Ὁ Ζαρδὰν δὲ, ταύτης ἀκούσας τῆς ἀγγελίας, ἅμα πρωῒ περιβαλλόμενος αὐτοῦ τὸ ἱμάτιον, πορεύεται πρὸς τὸν βασιλέα. Καὶ εἰσελθὼν προσεκύνησεν αὐτῷ ἐπὶ τῆς γῆς.

Ὁ δὲ βασιλεύς « Τί » φησί « παρεβιάσω ἑαυτὸν παραγενέσθαι; αὐτὸς γὰρ ἤθελον ἐπισκέψασθαί σε, καὶ πᾶσι γνωρίσαι τὴν πρός σέ μου φιλίαν. »

Ὁ δὲ ἀντέφησεν· « Ἡ ἐμὴ, βασιλεῦ, ἀσθένεια οὐκ ἔστι τῶν συνήθων ἀνθρώποις ἀῤῥωστειῶν· ἀλλ', ἐκ λυπηρᾶς καὶ ἐμμεριμνου ψυχῆς τῆς καρδίας ὀδυνωμένης, συνωδυνήθη τὸ σῶμα. Ἀφροσύνη δέ μοι ἦν οὕτως ἔχοντά με μὴ δουλικῶς πρὸς τὸ σὸν παραγενέσθαι κράτος, ἀλλὰ τὴν σὴν βασιλείαν προσμένειν ἕως ἐμοῦ τοῦ οἰκέτου σκυλῆναι. »

Τοῦ βασιλέως οὖν πυνθανομένου τίς ἡ τῆς ἀθυμίας αὐτοῦ αἰτία, ὑπολαβὼν ὁ Ζαρδὰν « Μέγας ἐμοὶ κίνδυνος », ἔφη· « καὶ μεγάλων ἐγὼ τιμωριῶν ἄξιος, πολλῶν δὲ θανάτων ἔνοχος καθέστηκα, ὅτι, σοῦ τοῖς προστάγμασιν ἀμελῶς διατεθεὶς, ἀνίας σοι πολλῆς ὅσον οὐδέπω πρόξενος γέγονα. »

Αὖθις δὲ ὁ βασιλεύς « Καὶ τίνα σὺ ἀμέλειαν ἠμέληκας »; ἤρετο· « τί δὲ τὸ περιέχον σε δέος; »

« Ἐν τῇ περὶ τὸν κύριόν μου τὸν υἱόν σου ἀκριβείᾳ ἠμέληκα », ἔφη. « Πονηρὸς γὰρ ἄνθρωπος καὶ γόης ἐλθὼν ὡμίλησεν αὐτῷ τὰ τῆς θρησκείας τῶν χριστιανῶν. » Εἶτα διηγεῖται κατὰ μέρος τῷ βασιλεῖ τὰ λαληθέντα παρὰ τοῦ γέροντος πρὸς τὸν υἱὸν αὐτοῦ, καὶ μεθ' ὅσης ἡδονῆς ἐκεῖνος τὸν λόγον ἐδέξατο,

καὶ ὡς ὅλος τοῦ Χριστοῦ γεγόνει (1). Πρὸς δὲ καὶ τὴν κλῆσιν ἐδήλου τοῦ γέροντος, Βαρλαὰμ τοῦτον καλεῖσθαι εἰπών.

Ἀκηκόει γὰρ καὶ πρότερον ὁ βασιλεὺς τὰ περὶ τοῦ Βαρλαὰμ καὶ τῆς ἀκροτάτης ἀσκήσεως αὐτοῦ. Ὡς δ' εἰς ἀκοὰς ταῦτα ἦλθε τῷ βασιλεῖ, κλόνῳ εὐθὺς ἐκ τῆς περιπεσούσης αὐτῷ ἀθυμίας βάλλεται, καὶ (2) θυμοῦ πληροῦται, μικροῦ καὶ ἀποπήγνυταί τῷ ἀκούσματι. Καὶ αὐτίκα προσκαλεῖται Ἀραχήν τινα οὕτω λεγόμενον, ὃς καὶ τῶν δευτερείων μετὰ τὸν βασιλέα ἠξιοῦτο, καὶ πρῶτος αὐτῷ ἐν πάσαις ταῖς ἀποκρύφοις συμβουλίαις ἐτύγχανεν· ἅμα δὲ καὶ τῆς ἀστρολογίας ἐπιστήμων ἦν ὁ ἀνήρ. Πρὸς ὃν παραγενόμενον τὸ συμβὰν ὁ βασιλεὺς σὺν ἀθυμίᾳ πολλῇ καὶ ἀδημονίᾳ διηγεῖται.

Ὁ δὲ, τὸν τάραχον αὐτοῦ καὶ τὴν σύγχυσιν τῆς ψυχῆς θεασάμενος, « Ἀτάραχά σοι » φησί « ἔστω καὶ ἄλυπα, ὦ βασιλεῦ· οὐκ ἀνέλπιστον γὰρ ἡμῖν ἔτι τὸ μεταπεσεῖν αὐτόν· ἀλλὰ καὶ λίαν βεβαιότατα γινώσκω θᾶττον αὐτὸν ἐξαρνήσασθαι τὴν τοῦ πλάνου ἐκείνου διδασκαλίαν, καὶ τῷ σῷ συνθέσθαι θελήματι. »

Τούτοις οὖν τοῖς ῥήμασι τὸν βασιλέα εἰς τὸ εὐθυμότερον ὁ Ἀραχὴς μεταβαλὼν, τῇ περὶ τὸ πρᾶγμα διασκέψει μελέτην ἐποιοῦντο. « Καὶ τοῦτο », φησίν, « ὦ βασιλεῦ, πρὸ πάντων ποιήσωμεν· καταλαβεῖν σπεύσωμεν τὸν δεινὸν Βαρλαάμ. Καὶ εἰ τούτου ἐπι-

(1) C, ἐγεγόνει. De augmenti omissione infra notabitur.

(2) A sine καί. Non placuit ἀσυνδέτως oratio. Origenes Dialogo extremo contra Marcionitas: σωζόμενοι σὺν ἡμῖν, γινόμενοι θείων μαθημάτων μύσται. Cod. 461, καὶ γιν., melius.

τύχωμεν, οὐκ ἀσχήσομεν, εὖ οἶδα (1), τοῦ σκοποῦ, οὐδὲ ψευσθησόμεθα τῆς ἐλπίδος· ἀλλ' ἐκεῖνος αὐτὸς, ἢ ῥήμασι πιθανοῖς ἢ βασάνων ὀργάνοις πολυειδέσι πεισθεὶς, ἄκων ἂν ὁμολογήσειε ψευδῆ καὶ πεπλανημένα φάσκειν, καὶ τὸν κύριόν μου καὶ υἱόν σου τοῦ πατρῴου ἔχεσθαι μεταπείσειε δόγματος. Εἰ δὲ ἐκεῖνον μὲν καταλαβεῖν οὐ δυνηθείημεν, ἕτερον ἐγὼ ἐπίσταμαι πρεσβύτην μονερημίτην, Ναχὼρ καλούμενον, ὅμοιον τῷ Βαρλαὰμ κατὰ πάντα, ὃν οὐκ ἔστι διαγνῶναι μὴ ἐκεῖνον ὑπάρχειν, τῆς ἡμετέρας δόξης ὄντα, καὶ διδάσκαλον ἐμὸν ἐν τοῖς μαθήμασι γενόμενον. Τούτῳ ὑπαγορεύσας ἐγὼ, νύκτωρ ἀπελθὼν, πάντα κατὰ μέρος ἀφηγήσομαι. Εἶτα, κρατηθῆναι τὸν Βαρλαὰμ διαφημίσαντες, τοῦτον παραστησόμεθα· ὃς, καὶ Βαρλαὰμ ἑαυτὸν ὀνομάσας, τὰ τῶν χριστιανῶν πρεσβεύειν προσποιήσεται, καὶ τούτους διεκδικῶν φανήσεται. Εἶτα, μετὰ πολλὴν διάλεξιν ἡττώμενος, κατὰ κράτος ἐκνικηθήσεται. Καὶ ταῦτα ὁ τοῦ βασιλέως υἱὸς θεώμενος, ὡς ὁ Βαρλαὰμ μὲν ἡττήθη, τὰ δὲ ἡμέτερα ὑπερνικᾷ, τοῖς νικῶσι πάντως συνθήσεται· μέγα πρὸς τούτοις καὶ τὸ τὴν σὴν αἰδεῖσθαι βασιλείαν καὶ τὰ σοὶ κεχαρισμένα ποιεῖν τιθέμενος. Ἐπιστραφήσεται γὰρ καὶ ὁ τὸ προσωπεῖον τοῦ Βαρλαὰμ ὑποδὺς, καὶ πεπλανῆσθαι αὐτὸν διαβεβαιώσειε. »

Ἥσθη ὁ βασιλεὺς ἐπὶ τοῖς λαληθεῖσι, καὶ ἄριστα βουλεύσασθαι ἔδοξε, κεναῖς ἐπερειδόμενος ἐλπίσιν (2).

(1) Nota loquutio absoluta εὖ οἶδα, εὖ οἶδ' ὅτι : de qua vide ad Aristæn. p. 306. Synesius Epist. 130 : ἀντιλήψεται δὲ, εὖ οἶδ' ὅτι, τὸν ἐμὸν Πυλαιμένη. Epist. 133 : εἰ μὲν οὖν ἐπιτυχέ σου ζητῶν· ἐζήτησε γὰρ, οἶδ' ὅτι. Inveni in tribus codicibus εὖ οἶδ' ὅτι.

(2) Κεναὶ ἐλπίδες supra jam p. 11 : cf. ad Aristæn. p. 598. Si-

Ἔνθεν τοι καὶ τὸν Βαρλαὰμ ἔναγχος μαθὼν ὑποχωρῆσαι, χειρώσασθαι ἔσπευδε. Λόχοις οὖν καὶ λοχαγοῖς τῶν διεξόδων τὰς πλείους διειληφὼς, μίαν δὲ τῶν ὁδῶν, ἣν πασῶν μᾶλλον ὑφωρᾶτο, αὐτὸς, ἵπποις ἐπιβὰς, ἀνὰ κράτος ἐδίωκε, περικαταλαβεῖν αὐτὸν ἐκ παντὸς τρόπου διανοούμενος. Ἐν ὅλαις δὲ ἓξ ἡμέραις κοπιάσας, μάτην τεταλαιπωρήκει. Εἶτα, αὐτὸς μὲν ἔν τινι τῶν βασιλικῶν παλατίων ἐν τοῖς ἀγροῖς διακειμένῳ προσμείνας, τὸν Ἀραχὴν μετὰ ἱππέων οὐκ ὀλίγων ἕως αὐτῆς τῆς Σενααρίτιδος ἐρήμου ἐπὶ ζήτησιν ἀπέστειλε τοῦ Βαρλαάμ.

Καταλαβὼν δὲ ἐκεῖνος τὸν τόπον, πάντας τοὺς περιοίκους διετάραξε· καὶ τῶνδε μὴ ἑωρακέναι ποτὲ τὸν ἄνδρα βεβαιωσαμένων, ἐπὶ τὰς ἐρήμους ὁ ἄρχων τοὺς εὐσεβεῖς θηρεύσων ἐξῄει. Πολύ τε τῆς ἐρήμου διοδεύσας (1) διάστημα, ὄρη τε περικυκλώσας καὶ ἀτριβεῖς φάραγγας πεζεύσας καὶ δυσβάτους, μετὰ τῶν σὺν αὐτῷ ὄχλων ἀκρώρειάν τινα καταλαβὼν,

rach. XXXI, 1 : κεναὶ ἐλπίδες καὶ ψευδεῖς ἀσυνέτῳ ἀνδρί. Sophocles Aj. 472 : Οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν, Ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται. Nicephor. Chumnus Epistola inedita 112, Sophoclem respiciens : τάχα γὰρ ἄν σοι καὶ πλέον ἐξ ὕπνου γένοιτο καὶ ὀνειράτων, ἢ ἐπὶ κεναῖς αὐταῖς δὴ ταύταις (ταῖς ἐλπίσιν), ἡμῶν χάριν, ποιητής φησι, θερμαινομένῳ καὶ, αὖ ἐγώ φημι, ἐγχηγορότι. Inscriptio in Paralip. Analect. p. 819, et in App. Anthol. Palat. 368 : Τύμβος μὲν κρύπτει με τὸν ἐν κόλποισι τραφέντα, Οὔνομα μὲν Πτολεμαῖον.... οἱ δὲ γονεῖς με Μύρονται κενεαῖς ἐλπίσι πειρόμενοι. Interpres doctiss. in τραφέντα explicando hæret. Sed cur non servata fuit marmoris scriptura γραφέντα ? ut sit syntaxis : τύμβος κρύπτει ἐν κόλποις τὸν γραφέντα με, « inscriptum me », cujus scilicet nomen inscriptum in ipso marmore est.

(1) A sine præpositione, ὁδεύσας. Psellus De dæmon. pag. 54 : κλόνον οὐ μέτριον ἐργάζεται. Ibi plenius codex 1310, ἀπεργάζεται. Rursus pag. 57 : τὸν ἁλόντα νεκρῷ παραπλήσιον ἐργάζεται· rursus codex, ἀπεργάζεται.

καὶ στὰς ἐπ᾽ αὐτῆς, ὁρᾷ κατὰ τὴν ὑπώρειαν φάλαγγα ἐρημιτῶν περιπατοῦσαν. Καὶ εὐθὺς τῷ τοῦ ἄρχοντος προστάγματι πάντες ἐπ᾽ αὐτοὺς θέουσιν ἀπνευστὶ, ἄλλος ἄλλον τοῖς δρόμοις φθάσαι φιλονεικοῦντες· καὶ φθάσαντες, περιεχύθησαν αὐτοῖς κύνες ὡσεὶ πολλοὶ ἢ θηρία πονηρά τινα καὶ μισάνθρωπα. Καὶ κρατοῦσι τοὺς ἄνδρας τῷ τε εἴδει καὶ τῇ καταστάσει σεμνοτάτους, καὶ τὰ σήμαντρα (1) τῆς ἐρημικῆς καταστάσεως ἐπὶ τῶν προσώπων φέροντας· καὶ τούτους σύροντες τῷ ἄρχοντι παρέστησαν, οὐ θορυβηθέντας ὅλως, οὐκ ἀγεννές τι καὶ σκυθρωπὸν ἐνδειξαμένους ἢ φθεγξαμένους. Ὁ δὲ προάγων αὐτῶν καὶ οἱονεὶ καθηγούμενος πήραν ἐβάσταζε τριχίνην, μεστὴν λειψάνων προεκδημησάντων τινῶν ἁγίων πατέρων.

Κατανοήσας δὲ αὐτοὺς ὁ Ἀραχὴς, ὡς οὐκ εἶδε τὸν Βαρλαὰμ (ἐγίνωσκε γὰρ αὐτόν), συνεχύθη τῇ λύπῃ· λέγει δὲ πρὸς αὐτούς· « Ποῦ ἐστὶν ὁ ἀπατεὼν ἐκεῖνος, ὁ τὸν υἱὸν πλανήσας τοῦ βασιλέως »; Ὁ δὲ τὴν πήραν βαστάζων ἀπεκρίνατο· « Οὐκ ἔστιν ἐκεῖνος ἐν ἡμῖν· μὴ δὲ γένοιτο! φεύγει γὰρ ἡμᾶς τῇ τοῦ Χριστοῦ διωκόμενος χάριτι. Ἐν ὑμῖν δὲ τὰς οἰκήσεις ἔχει. »

Ὁ ἄρχων ἔφη· « Γινώσκεις οὖν αὐτόν »; « Ναί », φησὶν ὁ ἐρημίτης· « οἶδα τὸν ἀπατεῶνα λεγόμενον (2), ὅς ἐστιν ὁ Διάβολος, ὁ μέσον ὑμῶν κατοικῶν καὶ παρ᾽ ὑμῶν λατρευόμενός τε καὶ θεραπευόμενος. »

Ὁ ἄρχων λέγει· « Περὶ τοῦ Βαρλαὰμ ἐγὼ τὴν ζήτησιν ἔχω, καὶ τοῦτον ἠρόμην σε μαθεῖν ποῦ ἐστιν. »

(1) C, σήμανδρα.

(2) C, γινόμενον. Illorum participiorum permutationem attigi ad Nicet. p. 152. Lydus De ost. p. 2: ἱππεὺς δὲ ἄρα ἦν τὸ γινόμενον σχῆμα. Conjectura, quæ fuit ibi proposita, λεγόμενον, neutiquam esse necessaria videtur.

Ὁ δὲ μοναχός « Καὶ ἵνα τί » φησίν, « ἀλληνάλλως ἐλάλησας, περὶ τοῦ ἀπατήσαντος τὸν υἱὸν τοῦ βασιλέως τὴν πεῦσιν προσαγαγών; εἰ γὰρ τὸν Βαρλαὰμ ἐζήτεις, ἔδει σε πάντως εἰπεῖν· « Ποῦ ἐστιν ὁ ἐκ τῆς » πλάνης ἐπιστρέψας καὶ σώσας τὸν τοῦ βασιλέως υἱόν; » Ἐκεῖνος γὰρ ἀδελφὸς ἡμῶν ὑπάρχει καὶ συνασκητής. Ἐκ πολλῶν δὲ ἤδη ἡμερῶν οὐ τεθεάμεθα αὐτόν. » Ὁ δὲ Ἀραχὴς « Τὸ οἴκημα αὐτοῦ » φησίν, « ὑπόδειξον. » Ὁ ἀσκητὴς ἀπεκρίνατο· « Εἰ θεάσασθαι ὑμᾶς ἤθελεν, ἐκεῖνος ἂν εἰς συνάντησιν ὑμῶν ἐξῆλθεν. Ἡμῖν δ' οὖν οὐκ ἔξεστι τὸ δωμάτιον αὐτοῦ ὑμῖν γνωρίσαι. »

Θυμοῦ ἐπὶ τούτῳ ἐμπίπλαται ὁ ἄρχων, καὶ φησὶ πρὸς αὐτὸν, ὀργίλον ἅμα καὶ θηριῶδες ἐμβλέψας· « Ξένῳ νυνὶ θανάτῳ ὑμᾶς θανατώσω, εἰ ἐξ αὐτῆς τὸν Βαρλαὰμ οὐ παραστήσετέ μοι. »

« Καὶ τί » φησὶν ὁ ἀσκητής, « ὁρᾷς ἐν ἡμῖν, οὗπερ (1) ἀντεχόμενοι δυσαποσπάστως τῆς παρούσης διακεισόμεθα ζωῆς, καὶ τὸν παρὰ σοῦ ἐπαχθησόμενον φοβηθῶμεν θάνατον; χάριν γάρ σοι μᾶλλον (2) ὁμολογήσομεν, ὅτι τῆς ἀρετῆς ἐχομένους τοῦ βίου ἐξήγαγες. Δεδοίκαμεν γὰρ οὐ μικρῶς τὸ τοῦ τέλους ἄδηλον, μὴ εἰδότες πῶς ἔχοντας ἡμᾶς καταλήψε-

(1) Glossa in A : *ἀντὶ τοῦ δι' οὗπερ.*

(2) C sine *μᾶλλον*. Nonnusquam librarii properantes omittimus voculas, et sæpius magis, quam hic fuit *μᾶλλον*, necessarias. Libanius t. I, pag. 465 : *ἐφ' ᾧ καὶ μᾶλλον τὴν οἰκουμένην τοῖς τροπαίοις ἐξέπληξεν.* Sententiæ vitium bene intellexit Reiskius, quæ nitida est in codice 3017 : *ἐφ' ᾧ κ. μ. τ. οἰκ. ἢ τοῖς τρ. ἐξέπληξε.* Choricius in Summ. § 11 : *ταύτην ἐγὼ τὴν διάλυσιν παντὸς φημὶ τροπαίου τιμιωτέραν·* codex 3087, *παντὸς εἶναί φημι.* Utilior fiat restitutio Choricio in Procop. § 37 : *καὶ μὴν ἀξίαν ἔσχε τοῦ βίου τὴν τελευτήν· οὔτε γὰρ ἀπεμάρανε νόσου μῆκος τὸ σῶμα καὶ φερομένου τὴν ὑστάτην.* Addo *πορείαν* ex codicibus regiis duobus 2967, 3087.

ται, μή που γνώμης ὄλισθος ἢ ἐπήρειά τις δαιμονικὴ τῆς προαιρέσεως τὴν ἔνστασιν μεταστρέψῃ, καὶ ἕτερα φρονεῖν ἢ ποιεῖν παρὰ τὰ (1) τῷ Θεῷ ὡμολογημένα μεταπείσειεν. Ὅθεν τυχεῖν ὧν ἐλπίζετε ὅλως ἀπειπόντες, μὴ ὀκνήσητε ποιεῖν ὅπερ βούλεσθε. Οὔτε γὰρ τὸ τοῦ θεοφιλοῦς ἡμῶν ἀδελφοῦ οἰκητήριον, καίτοι γε εἰδότες, ὑποδείξομεν, οὔτε ἄλλα τινὰ ὑμῖν λανθάνοντα μοναστήρια προδώσομεν, ταύτῃ τὸν θάνατον ἐκφυγεῖν κακῶς ἀνεχόμενοι· ἀλλὰ καλῶς μᾶλλον θανούμεθα, ἱδρῶτας ἀρετῆς πρότερον, καὶ νῦν ἀνδραγαθίας αἷμα, τῷ Θεῷ προσενέγκαντες. »

Οὕτω παῤῥησιασαμένους οὐκ ἐνεγκὼν ὁ ἀλιτήριος, ἀλλὰ πρὸς τὸ γενναῖον τοῦ φρονήματος ὀξύτατα κινηθεὶς, πολλαῖς αὐτοὺς περιέβαλε πληγαῖς καὶ βασάνοις· ὧν τὸ μεγαλόψυχον καὶ γενναῖον καὶ τῷ τυράννῳ ἄξιον θαύματος ἐνομίσθη. Ὡς δὲ μετὰ πολλὰς τιμωρίας πείθειν οὐκ εἶχεν, οὔτε ὑποδεῖξαί τις αὐτῷ τὸν Βαρλαὰμ ἠνείχετο, λαβὼν τούτους, ἐπὶ τὸν βασιλέα κελεύει τυπτομένους καὶ προπηλακιζομένους ἄγεσθαι, βαστάζοντας καὶ τὴν πήραν τῶν λειψάνων. Δι' ἡμερῶν δὲ οὐκ ὀλίγων προσάγει τούτους τῷ βασιλεῖ, καὶ τὰ κατ' αὐτοὺς δῆλα τίθησιν· εἶτα παρίστα κατὰ πρόσωπον αὐτοῦ δεινὰ θυμομαχοῦντος.

Καὶ ὃς ἰδὼν αὐτοὺς, τῷ θυμῷ ὑπερζέσας, μαινομένῳ ἐῴκει. Τύπτεσθαί τε αὐτοὺς ἀνηλεῶς (2) κελεύ-

(1) A sine τὰ, quod opportune corrector addidit in C. Stobæus tit. 29, 70 : Λᾶσος Ἑρμιονεὺς ἐρωτηθεὶς τί εἴη σοφώτατον, Πεῖρα, ἔφη. Articulos bene suppeditat codex 1310 : Λᾶσος ὁ Ἑρμ. ἐρωτηθεὶς ὑπό τινος τί εἴη σοφ. ἡ πεῖρα...

(2) A sine ἀνηλεῶς. Periit adverbium in Basilii Præceptis c.34, quod restituam : ἱερὰ χρημάτων ...

σας, ὡς εἶδε ταῖς πληγαῖς χαλεπῶς κατακοπέντας, μόλις τῆς πολλῆς ἀνενεγκὼν μανίας, παύσασθαι τοὺς τύπτοντας κελεύει. Καί φησι πρὸς αὐτούς· « Τί τὰ ὀστᾶ ταῦτα τῶν τεθνεώτων περιφέρετε; εἰ, ὧν τὰ ὀστᾶ εἰσι ποθοῦντες, ταῦτα βαστάζετε, ταύτῃ τῇ ὥρᾳ θήσομαι καὶ ὑμᾶς μετ' αὐτῶν, ἵνα, τῶν ποθουμένων τυχόντες, χάριν μοι ὁμολογήσητε. »

Ὁ δὲ τῆς θείας ἐκείνης φάλαγγος ἔξαρχος καὶ καθηγητὴς παρ' οὐδὲν τὰς τοῦ βασιλέως τιθέμενος ἀπειλὰς, ὡς μηδενὸς αὐτῷ συμβεβηκότος ἀνιαροῦ (1), ἐλευθέρᾳ φωνῇ, καὶ λαμπροτάτῳ προσώπῳ καὶ τὴν ἐνοικοῦσαν τῇ ψυχῇ σημαίνοντι χάριν, ἔφη· « Τὰ ὀστᾶ ταῦτα τὰ καθαρὰ καὶ ἅγια περιφέρομεν, ὦ βασιλεῦ, τὸν πόθον τε ἀφοσιούμενοι ὧν εἰσι θαυμασίων ἀνδρῶν, καὶ τῆς ἀσκήσεως αὐτῶν καὶ θεοφιλοῦς πολιτείας εἰς μνήμην ἑαυτοὺς ἄγοντες καὶ πρὸς τὸν ὅμοιον διεγείροντες ζῆλον, τὴν ἀνάπαυσίν τε ἐνοπτριζόμενοι καὶ τρυφὴν ἐν ᾗ νῦν διάγουσι· καὶ τούτους μὲν μακαρίζοντες, ἀλλήλους δὲ παραθήγοντες, τοῖς αὐτῶν ἐξακολουθεῖν (2) ἴχνεσι σπεύδομεν. Πρὸς δὲ, καὶ τὴν τοῦ θανάτου ἑαυτοῖς περιποιούμεθα μνήμην, πάνυ ὠφέλιμον οὖσαν καὶ πρὸς τοὺς τῆς ἀσκήσεως ἀγῶνας

ἵνα τοῖς ὑπὲρ ἀλλήλων θνήσκειν αἱρουμένοις χορηγῇς. Codex 2991 A, καλῶς ἀποθνήσκειν. Et pro ἀλλήλων malim ἄλλων, quo ducit Paradisii versio. Iterum c. 36 : λέγειν δὲ ἀναγκαῖον, ἃ περὶ ὧν γινώσκεις, ἃ περὶ ὧν ὁ καιρὸς ἀπαιτεῖ. Idem codex, ἀκριβῶς γάρ.

(1) Theodorus Hyrtac. supra t. I, p. 276 : καθάπερεὶ μηδενὸς συμβάντος μεγάλου. Quem conf. pag. 288, 13. Philo De Abrah. p. 385 : ἀπαθείᾳ, καθάπερ μηδενὸς ὀδυνηροῦ συμβεβηκότος, χρῆσθαι.

(2) C, ἐξ αὐτ. ἀκολουθεῖν, omissa vel transposita præpositione. Basilius Præc. c. 53 : τούτῳ οὖν ἀρέσκειν σπούδαζε διὰ παντὸς, τὴν αὐτοῦ εἰκόνα σεαυτῷ καθαρὰν καὶ ἀμόλυντον φυλάττων. Codex 2991 A, διαφυλάττων, omisso σεαυτῷ, quod non valde desideraverim.

προθύμως ἀναπληροῦσαν, καὶ ἁγιασμὸν δὲ τῇ τούτων ἀρνύμεθα προσψαύσει.»

Αὖθις δὲ ὁ βασιλεύς «Εἰ ὠφέλιμος» φησίν, «ἡ τοῦ θανάτου μνήμη, καθὼς φατὲ, τί μὴ τοῖς ἐν τοῖς σώμασιν ὑμῶν ὀστέοις τὴν τούτου ὑποδέχοισθε μνήμην, τοῖς οἰκείοις ὑμῖν καὶ ὅσον οὔπω φθαρησομένοις, ἤπερ (1) τοῖς ἀλλοτρίοις τούτοις καὶ διεφθαρμένοις;»

Καὶ ὁ μοναχός «Πέντε μέν» φησίν, «ἐμοῦ εἰρηκότος αἰτίας τῆς τῶν λειψάνων περιφορᾶς, πρὸς μίαν αὐτὸς ἀνταποκρινόμενος, χλευάζειν ἡμᾶς δοκεῖς· ἀλλ' ἐναργέστερον, εὖ ἴσθι, τὰ τῶν προτετελευτηκότων ὀστᾶ τὴν τοῦ θανάτου παριστῶσι μνήμην, ἤγε τῶν ζώντων. Ἀλλ', ἐπείπερ ταῦθ' οὕτως εἶναι γινώσκεις καὶ τὰ ἐν τῇ σαρκί σου ὀστᾶ τὸν θάνατόν σοι ὑποτυποῦσι, τί μὴ καὶ αὐτὸς, τῆς ὅσον οὔπω ἐλευσομένης μνημονεύων τελευτῆς, εὖ τὰ σεαυτοῦ διατίθης, ἀλλὰ πάσαις μὲν τὴν ψυχήν σου ἐκδέδωκας παρανομίαις, βιαίως δὲ καὶ ἀνηλεῶς ἀναιρεῖς τοὺς λατρευτὰς τοῦ Θεοῦ καὶ τῆς εὐσεβείας ἐραστὰς, τοὺς μηδέν σοι (2) ἠδικηκότας, μηδέ σοι τῶν παρόντων τι συμμεριζομένους ἢ ἀφελέσθαι φιλονεικοῦντας;»

Ὁ δὲ βασιλεὺς ἔφη· «Τοὺς δεινοὺς ὑμᾶς καὶ λαοπλάνους εἰκότως κολάζω, ὅτι πάντας ἀπατᾶτε, ἀπέχεσθαι τῶν τερπνῶν τοῦ βίου ὑποτιθέμενοι, καὶ, ἀντὶ τῆς γλυκείας ζωῆς καὶ τῆς ποθεινοτάτης ἐπιθυμίας καὶ ἡδονῆς, τὴν σκληρὰν καὶ ῥυπώδη ταύτην καὶ

(1) C, εἴπερ, quod et Billyus vertit. Dubitationi locus esse potest. Cum ἤπερ, quod prætuli, erit facilis ellipsis adverbii μᾶλλον. Facillime ἤπερ abiit in εἴπερ. Mox pro ἤγε, post comparativum ἐναργέστερον, A habet εἴγε.

(2) C caret pronomine. F. σε.

πιναρὰν ἐκλέγεσθαι ἀγωγὴν ἐκβιάζεσθε, καὶ τὴν τῶν θεῶν τιμὴν τῷ Ἰησοῦ ἀπονέμειν κηρύττετε. Ἵνα οὖν μὴ, τῇ ὑμετέρᾳ ἀπάτῃ ἐξακολουθοῦντες, οἱ λαοὶ ἔρημον τὴν γῆν καταλίπωσι, καὶ, τῶν πατρῴων ἀποστάντες θεῶν, ἀλλοτρίῳ λατρεύσωσι, τιμωρίαις ὑμᾶς καὶ θανάτοις ὑποβαλεῖν δίκαιον ἔκρινα.» Ὁ δὲ μοναχὸς φησίν· «Εἰ πάντας μετέχειν τῶν ἀγαθῶν τοῦ βίου ὀρέγῃ, τί μὴ πᾶσιν ἐπ' ἴσης μεταδίδως τῆς τρυφῆς καὶ τοῦ πλούτου, ἀλλ' οἱ μὲν πλείους πενίᾳ ταλαιπωροῦνται, σὺ δὲ τὰ αὐτῶν προσαφαρπάζων τοῖς ἑαυτοῦ προστίθης; οὐκ ἄρα τῆς τῶν πολλῶν φροντίζεις σωτηρίας, ἀλλὰ τὴν ἰδίαν πιαίνεις σάρκα, ὕλην ἑτοιμάζων τῇ τῶν σκωλήκων καταβρώσει (1). Διὰ τοῦτο, καὶ τὸν τῶν πάντων ἀπαρνησάμενος Θεὸν, τοὺς μὴ ὄντας προσηγόρευσας θεοὺς, τοὺς πάσης παρανομίας ἐφευρετὰς, ἵνα σοι, κατὰ μίμησιν αὐτῶν ἀσελγαίνοντι καὶ παρανομοῦντι, τὸ μιμητὴς ἀναγορεύεσθαι τῶν θεῶν σοῦ προσγένηται. Οἷα γὰρ οἱ θεοὶ ὑμῶν ἔπραξαν, πῶς οὐχὶ καὶ οἱ προσέχοντες αὐτοῖς ἄνθρωποι πράξουσι; Πλάνην οὖν μεγάλην πεπλάνησαι, ὦ βασιλεῦ. Δέδοικας δὲ μή τινας τοῦ λαοῦ πείσαιμεν, τοῖς ἡμετέροις συνθεμένους, ἀποστῆναί σου τῆς χειρὸς καὶ τῇ τὰ πάντα συνεχούσῃ προσοικειωθῆναι χειρί· θέλεις γὰρ πολλοὺς εἶναι τοὺς ὑπουργοὺς τῆς σῆς πλεονεξίας, ἵν' αὐτοὶ μὲν ταλαιπωρῶσι, σοὶ δὲ τὰ παρ' αὐτῶν προσγένοιτο κέρδη. Ὃν τρόπον κύνας τις τρέφων ἢ ὄρνεα εἰς θήραν τιθασσευόμενα, πρὸ μὲν τῆς θήρας κολακεύων ταῦτα φαίνοιτο,

(1) Nilus Epist. 267 : τί δαψιλέστερον πιαίνεις σου τὸ σαρκίον, τροφὴ σκωλήκων ἐσόμενον ὅσον οὔπω; Forsan τροφήν.

ἡνίκα δὲ κατάσχωσί τι τῶν θηρευομένων, βιαίως αὐτῶν τοῦ στόματος τὸ θηρευθὲν ἀφαρπάζει· οὕτω δὴ καὶ σὺ, πολλοὺς θέλων ἔχειν τοὺς φόρους σοι καὶ τέλη ἐκ γῆς καὶ θαλάσσης κομίζοντας, λέγεις μὲν τῆς αὐτῶν φροντίζειν σωτηρίας, ἀπώλειαν δὲ αὐτοῖς προξενῶν αἰώνιον, πρὸ δὲ πάντων σεαυτῷ, ἵνα μόνον σοι ὁ σκυβάλων καὶ σαπρειῶν ἀχρηστότερος βρίθοιτο πλοῦτος, λέληθας σκότος ἀντὶ φωτὸς κατέχων. Ἀλλ' ἀνάνηψον τοῦ καταχθονίου ὕπνου τούτου, διάνοιξόν σου τοὺς μεμυκότας ὀφθαλμοὺς, καὶ ἴδε τὴν περιλάμπουσαν πᾶσι (1) τοῦ Θεοῦ ἡμῶν δόξαν· καὶ σύ ποτε σεαυτοῦ γενοῦ· « σύνετε γὰρ ἄφρονες ἐν » τῷ λαῷ, καὶ μωροὶ ποτὲ φρονήσατε », φησὶν ὁ προφήτης (2)· σύνες ὅτι οὐκ ἔστι θεὸς, πλὴν τοῦ Θεοῦ ἡμῶν, καὶ οὐκ ἔστι σωτηρία, εἰ μὴ ἐν αὐτῷ. »

Ὁ δὲ βασιλεύς· « Τῆς μωρᾶς σου ταύτης φλυαρίας παυσάμενος, τὸν Βαρλαὰμ αὐτίκα μοι ὑπόδειξον, ἢ πειρασθήσῃ (3) κολαστηρίων ὀργάνων, ὧν οὐδέποτε πεῖραν εἴληφας. »

Ὁ μεγαλόφρων οὖν καὶ γενναιότατος ἀσκητὴς καὶ τῆς οὐρανίου φιλοσοφίας ἐραστὴς καθ' οὐδένα τρόπον ταῖς τοῦ βασιλέως ἀπειλαῖς μετετρέπετο· ἀλλ' ἀτρέμας ἑστὼς ἔλεγεν· « Οὐ τὰ παρὰ σοῦ θεσπιζόμενα ποιεῖν, ὦ βασιλεῦ, προστετάγμεθα, ἀλλὰ τὰ παρὰ τοῦ δεσπότου ἡμῶν καὶ θεοῦ κεκελευσμένα, ὃς σωφροσύνην ἡμᾶς ἐκδιδάσκει τοῦ πασῶν τῶν ἡδονῶν

(1) Sic AC. Fors. alii codices dabunt meliore syntaxi πάντας. Conf. pag. 56, n. 2. Et pag. 216 dativo utetur. Gregorius Naz. Or. XL, p. 640 : φῶς ἡ Παῦλον περιαστράψασα φαντασία.

(2) Psalm. XCIII, 8.

(3) A, πειραθήσῃ.

καὶ ἐπιθυμιῶν κρατεῖν, καὶ ἀνδρείαν ἐξασκεῖν, ὥστε πάντα πόνον καὶ πᾶσαν κάκωσιν ὑπὲρ τῆς δικαιοσύνης ὑπομένειν. Ὅσα γοῦν ἐπάξεις ἡμῖν ὑπὲρ τῆς εὐσεβείας δεινὰ, μᾶλλον εὐεργετήσεις. Ποίει οὖν ὃ βούλει· ἡμεῖς γὰρ ἔξω τοῦ καθήκοντος πρᾶξαί τι οὐκ ἀνεξόμεθα, οὐδὲ ἁμαρτίᾳ ἑαυτοὺς ἐκδώσομεν. Μὴ (1) μικρὰν γὰρ ταύτην νομίσῃς ἁμαρτίαν, εἰ τὸν συναγωνιστὴν ἡμῶν καὶ συστρατιώτην εἰς τὰς σὰς προδώσομεν χεῖρας. Ἀλλ' οὐ γὰρ γελάσεις καθ' ἡμῶν τὸν γέλωτα τοῦτον, κἂν μυρίοις ἡμᾶς περιβάλῃς (2) θανάτοις· οὐχ οὕτως γὰρ ἡμεῖς ἄνανδροι, ὡς φόβῳ τῶν σῶν βασάνων τὴν ἡμετέραν προδοῦναι φιλοσοφίαν, καὶ ἀνάξιόν τι δρᾶσαι τῆς θείας νομοθεσίας. Πρὸς ταῦτα πᾶν, εἴ τι γινώσκεις, ἀμυντήριον εὐτρέπιζε ὄργανον· ἡμῖν γὰρ τὸ ζῆν Χριστός ἐστι, καὶ τὸ θανεῖν ὑπὲρ αὐτοῦ κέρδος ἄριστον (3). »

Ἐπὶ τούτοις θυμῷ ἐξαφθεὶς, ὁ κρατῶν ἐκέλευσε τὰς μὲν θεολόγους αὐτῶν ἐκκοπῆναι γλώσσας, ἐξορυχθῆναι δὲ τοὺς ὀφθαλμοὺς, χεῖράς τε ὁμοῦ ἀποτμηθῆναι καὶ πόδας. Τῆς δ' ἀποφάσεως δοθείσης, οἱ μὲν ὑπασπισταὶ περιστάντες αὐτοῖς καὶ δορυφόροι μισανθρώπως καὶ ἀνηλεῶς ἠκρωτηρίαζον· καὶ τὰς

(1) C sine μή. Basilius Præc. c. 34 : πλοῦτος μὲν γὰρ δι' ἀρετὴν ἐνυπάρχων κακίας μᾶλλον, ἀλλ' οὐκ ἀρετῆς, ὑπηρέτης ἐστίν. Restituatur μὴ ante δι', e codice 2991 A.

(2) A, περιβαλεῖς· C, περιβαλῇς. Basilius Præc. c. 11 : νίκας σοι καὶ τρόπαια κατ' ἐχθρῶν ποτε παρέξει Θεὸς, ὁπόταν αὐτὸς τρόπαια καὶ νίκας στήσεις (imo στήσῃς, ut est in cod. 2991 A) κατὰ τῶν παθῶν. Idem c. 17 : μελέτην οὖν ποιοῦ τῶν τοιούτων ὠφελίμων λόγων, ἵνα τοὺς ἐξ αὐτῶν καρποὺς τρυφήσῃ καὶ καλῶς τὴν βασιλείαν διοικήσεις· imo διοικήσῃς, cum codice, qui bene habet τρυφήσῃς, et, omisso τοιούτων, addit post λόγων opportune, ὅλον σου τὸν βίον.

(3) Epist. ad Philipp. I, 21 : ἐμοὶ γὰρ τὸ ζῆν Χριστὸς, καὶ τὸ ἀποθανεῖν κέρδος.

μὲν γλώσσας ὀγκινίσκοις τῶν στομάτων ἐξελκύσαντες, θηριωδῶς ἀπέτεμνον, τοὺς ὀφθαλμοὺς δὲ σιδηροῖς ἐξώρυττον ὄνυξιν, ἀρθρεμβόλοις δὲ ὀργάνοις τὰς χεῖρας αὐτῶν καὶ τοὺς πόδας ἐξαρθροῦντες ἀνέτεμνον. Οἱ δὲ μακάριοι ἐκεῖνοι καὶ αἰδήμονες καὶ γενναῖοι τὸν λογισμὸν, ὡς πρὸς εὐωχίαν καλούμενοι, ἀνδρείως προσήρχοντο ταῖς βασάνοις, ἀλλήλους παραθήγοντες καὶ πρὸς τὸν διὰ Χριστὸν θάνατον ἀφόβως χωροῦντες. Ἐν τοιούτοις οὖν πολυειδέσι τιμωρίαις τὰς καρτερικὰς αὐτῶν ψυχὰς τῷ Κυρίῳ παρέθεντο οἱ ἱεροὶ ἀσκηταὶ, ἑπτακαίδεκα τὸν ἀριθμὸν τελοῦντες.

Ὁμολογουμένως οὖν αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ εὐσεβὴς λογισμὸς, καθάπερ τις τῶν οὐχ ἡμετέρων ἔφησεν (1), ἄθλους διηγούμενος πρεσβύτου ἱερέως καὶ παίδων ἑπτὰ σὺν ὁμόφρονι μητρὶ, τοῦ πατρῴου ὑπεραθλησάντων νόμου, ὧν τῆς καρτερίας καὶ μεγαλοψυχίας οὐδὲν καθυστέρησαν οἱ θαυμάσιοι οὗτοι πατέρες καὶ τῆς ἄνω Ἱερουσαλὴμ πολῖται καὶ κληρονόμοι.

Τούτων οὖν εὐσεβῶς τελειωθέντων, ὁ βασιλεὺς τῷ πρωτοσυμβούλῳ ἔλεγεν Ἀραχῇ πρὸς τὴν δευτέραν ἀποβλέψαι βουλὴν, τοῦ πρώτου διαμαρτόντας, καὶ τὸν Ναχὼρ ἐκεῖνον προσκαλέσασθαι.

Ὁ γοῦν Ἀραχὴς νυκτὶ βαθείᾳ τὸ ἐκείνου καταλαβὼν σπήλαιον (τὰς ἐρήμους γὰρ ᾤκει, μαντικαῖς σχολάζων τέχναις), καὶ πάντα αὐτῷ τὰ βεβουλευμένα σαφηνίσας, πρὸς τὸν βασιλέα ἅμα πρωῒ ἐπανέρχεται. Καὶ δὴ ἱππεῖς αὐτῷ αὖθις ζητήσας, ἐπὶ

(1) **Josephus scilicet, indice Billyo, conferendus libro De Maccab. cap. 1.**

ἔρευναν τοῦ Βαρλαὰμ ἐξέρχεσθαι προσεποιεῖτο. Ἐξελθόντι δὲ καὶ τὰς ἐρήμους ἐμπεριπατοῦντι ὁρᾶται αὐτῷ ἀνήρ τις ἐκ φάραγγός τινος ἐξερχόμενος. Τοῦ δὲ καταδιώκειν αὐτὸν κελεύσαντος, φθάνουσι τὸ τάχος (1), καὶ συλλαβόντες πρὸς αὐτὸν ἄγουσι. Τοῦ δὲ πυνθανομένου τίς τε εἴη καὶ ποίας θρησκείας ἢ τί καλούμενος, χριστιανὸν μὲν ἐκεῖνος ἑαυτὸν ἀπεκάλεσε, Βαρλαὰμ δὲ ὠνόμασε, καθάπερ δεδίδακτο. Χαρᾶς δὲ πλησθεὶς ὁ Ἀραχὴς, ὡς ἐδείκνυε, τάχιστα, τοῦτον λαβὼν, πρὸς τὸν βασιλέα ἐπανέρχεται· καὶ δὴ μηνύσας παρίστησιν αὐτόν.

Καὶ φησὶν ὁ βασιλεὺς εἰς ἐπήκοον πάντων τῶν (2) παρισταμένων· « Σὺ εἶ ὁ τοῦ δαίμονος ἐργάτης Βαρλαάμ »; Ὁ δὲ ἀντέφησεν· « Τοῦ Θεοῦ ἐργάτης εἰμὶ, καὶ οὐ τῶν δαιμόνων. Μὴ οὖν με λοιδόρει. Πολλὰς γάρ μοι ὁμολογεῖν χάριτας ὀφειλέτης εἶ, ὅτι τὸν υἱόν σου θεοσεβεῖν ἐδίδαξα, πάσης ἀπαλλάξας ἀπάτης καὶ τῷ

(1) C, πάχος. Notæ formulæ, ὡς τάχος, ὅσον τάχος, ἐν τάχει. Minus obviæ τάχος et τὸ τάχος, minus etiam obvia ἐν τάχει τινὶ, quæ est in Ajace 844 : Ἀλλ' ἀρκτέον τὸ πρᾶγμα σὺν τάχει τινί. Sed quam friget illud τινί ! Malim locum sic strui : ἀλλ' ἀρκτέον τινὶ τὸ πρᾶγμα σὺν τάχει. Noverunt qui poetas legunt quam sæpe a loquente τις de se ipso usurpetur. In Ajace Chorus de se v. 240 : ὥρα τιν' ἤδη κάρα καλύμμασι κρυψάμενον ποδοῖν κλοπὰν ἀρέσθαι· vide ibi Brunck. Ajax de se v. 396 : ποῖ τις οὖν φύγῃ ; Et habet Sophocles ἐν τάχει ibid. 795. Dixerit igitur ἀρκτέον τινὶ Ajax de se ; « alicui est » incipiendum », pro « incipien» dum est mihi. » Prodesse poterit hæc observatio alii ejusdem tragœdiæ loco. Minerva Ajacem e tentorio evocat ; quem qui metuit Ulysses, Τί δρᾷς, Ἀθάνα ; ait v. 74 : μηδαμῶς σφ' ἔξω κάλει· Μὴ πρὸς θεῶν· ἀλλ' ἔνδον ἀρκείτω μένων. Imperativus ἀρκείτω non est omnino nitidus. Glossa, quam legi in codice 2812 A, ἀρκετόν ἐστι, ad veram me ducere videtur scripturam, scilicet ἀρκεῖ τῳ, « ali» cui satis est », pro « mihi satis » est. » Quod Ulysses mox iisdem ferme verbis iterat : Ἐμοὶ μὲν ἀρκεῖ τοῦτον ἐν δόμοις μένειν.

(2) A sine τῶν. C sine πάντων.

ἀληθινῷ καταλλάξας Θεῷ, καὶ πᾶσαν παιδεύσας ἀρετῆς ἰδέαν.»

Αὖθις δὲ ὁ βασιλεὺς, ὀργιζόμενος ὥσπερ, ἔφη· «Ἔδει μέν σε μηδὲ λόγου τὸ παράπαν ἀξιώσαντα, ἢ τόπον ἀπολογίας δόντα, ἀλλ' ἀνερωτήτως, θανατῶσαι. Ἀλλ' ἀνέχομαί σου τοῦ θράσους, τῆς προσηκούσης μοι ἕνεκεν φιλανθρωπίας, ἕως τακτῇ ἡμέρᾳ ἐξετάσω τὰ περὶ σοῦ. Καὶ, εἰ μὲν πεισθείης μοι, συγγνώμης ἀξιωθήσῃ· εἰ δὲ μὴ, κακῶς ἀπολῇ.» Οὕτως εἰπὼν, τῷ Ἀραχῇ τοῦτον παραδίδωσι, φυλάττειν ἀκριβέστατα ἐντειλάμενος. Τῇ δὲ ἐπαύριον ἀναζεύξας ἐκεῖθεν, πρὸς τὸ ἴδιον ἐπάνεισι παλάτιον.

Καὶ ἐξηκούετο κρατηθῆναι τὸν Βαρλαὰμ, ὥστε καὶ τὸν τοῦ βασιλέως ἀκούσαντα υἱὸν δεινῶς τὴν ψυχὴν ἀλγῆσαι, καὶ μηδόλως τῶν δακρύων ἐγκρατὴς δύνασθαι εἶναι. Στεναγμοῖς δὲ καὶ θρήνοις τὸν Θεὸν ἐδυσώπει, καὶ εἰς βοήθειαν αὐτὸν ἐπεκαλεῖτο τοῦ γέροντος. Οὐ παρεῖδεν οὖν αὐτὸν ὀδυρόμενον ὁ ἀγαθός· «χρηστὸς γάρ ἐστι τοῖς ὑπομένουσιν αὐτὸν (1)» ἐν ἡμέρᾳ θλίψεως (2), καὶ γινώσκων τοὺς εὐλαβουμένους αὐτόν· ὃς καὶ τῷ νέῳ δι' ὁράματος νυκτερινοῦ πάντα γνωρίζει, καὶ ἰσχὺν αὐτῷ ἐντίθησι, καὶ εἰς τὸν τῆς εὐσεβείας παραθαῤῥύνει ἀγῶνα. Ἔξυπνος δὲ γενόμενος, χαρᾶς τε πλήρη καὶ θάρσους καὶ φωτὸς γλυκυτάτου, τὴν πρὸ μικροῦ λυπουμένην αὐτοῦ καὶ ἀλγοῦσαν, εὑρίσκει καρδίαν.

Ὁ δὲ βασιλεὺς, οὕτω ταῦτα δράσας καὶ οὕτω διανοηθεὶς, ἔχαιρε, καλῶς διασκέπτεσθαι οἰόμενος, καὶ τῷ Ἀραχῇ μεγίστην ἀπονέμων τὴν χάριν· ἀλλ'

(1) Psalm. CXLIV, 9. (2) Conf. psalm. XIX, 1.

« ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ », τὸ τοῦ θείου φάναι Δαυὶδ (1), καὶ ἡ δικαιοσύνη νικᾷ τὴν ἀνομίαν (2), τέλεον αὐτὴν καταβαλοῦσα καὶ τὸ μνημόσυνον αὐτῆς ἀπολέσασα μετ' ἤχου (3), ὡς ἐν τοῖς ἑξῆς δηλώσειεν ὁ λόγος.

Μετὰ γοῦν δύο ἡμέρας, ὁ βασιλεὺς παραγίνεται πρὸς τὸ τοῦ υἱοῦ παλάτιον. Καὶ, τούτου εἰς ὑπάντησιν ἐξελθόντος, οὐκ ἠσπάσατο συνήθως ὁ πατήρ· ἀλλ', ἀχθομένῳ ὥσπερ καὶ ὀργιζομένῳ ἐοικὼς, εἰσελθὼν ἐν τῷ βασιλικῷ κοιτῶνι, σκυθρωπάζων ἐκαθέσθη. Εἶτα, τὸν υἱὸν προσκαλεσάμενος, ἔφη (4)· « Τίς ἡ διηχοῦσά μου τὰς ἀκοὰς φήμη, τέκνον, καὶ ἀθυμίαις μου τὴν ψυχὴν κατατήκουσα; οὐδένα γὰρ τῶν ἀνθρώπων τοσαύτης ἐμπιπλᾶσθαι χαρᾶς ποτὲ οἶμαι ἐπὶ τέκνου γεννήσει, ὅσης ἐγὼ ἐπὶ σοὶ μετέσχον θυμηδίας· οὐδ' αὖ πάλιν λυπηθῆναί τινα καὶ κακῶς παρὰ παιδὸς διατεθῆναι δοκῶ, ὡς σύ με νῦν διέθηκας καὶ τὴν ἐμὴν

(1) Psalm. XXVI, 12.

(2) Cf. II Epistola ad Corinthios, VI, 14.

(3) Psalm. IX, 6 : *ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἤχου.*

(4) Lemma metricum in A : *Λόγος Ἀβεννὴρ πρὸς υἱὸν Ἰωάσαφ.* Valde ineptus versificator librarius ille fuit, et ejus numeratas syllabas, quas jam subinde omisi, omnino deinceps omittam. Qui descripsit codicem 3017, librarius versus etiam faciebat, sed malos minus. Ad Libanii locum (t. I, p. 460), dicentis Juliano *συνοικεῖν θεοὺς καὶ δαίμονας*, adscripsit animose : *Καλῶς συνοικεῖν δαίμονας τούτῳ λέγεις· Καὶ δαίμοσιν αὖθις γε τοῦτον συμμένειν Μετὰ τελευτὴν τὸν τρισάθλιον νόει· Σατὰν γὰρ ἐσκεύασε τὴν ψυχὴν δόμον, Ἄποικον αὐτῆς Χριστὸν ἐργασάμενος.* Et librarius codicis 1090, descriptis Libanii impiissimis verbis (vid. t. I, p. 509, 10), erupit in hæc metrica convicia : *Σίγα, βέβηλε, σκαιὸν ἐκπλύσαν ὕθλον· Ληρεῖς, φλυαρεῖς, φληναφεῖς, ματαιόφρον.* Ad eumdem locum librarius codicis 3025 vulgari oratione non vulgarem indignationem effudit : *οὐαί σοι, ἀλιτήριε καὶ ἀσεβέστατε· οἵα σε κόλασις καὶ πυρὸς γέεννα δικαίως διαδέξεται!*

ἠτίμασας πολιὰν, τὸ φῶς τε περιῄρηκας τῶν ὀφθαλμῶν μου καὶ τὴν τῶν ἐμῶν νεύρων ἐξέκοψας ἰσχύν· φόβος γὰρ ὃν ἐφοβούμην περὶ σοῦ ἦλθέ μοι, καὶ ὃν ἐδεδοίκειν συνήντησέ μοι (1). Καὶ γέγονας τῶν ἐχθρῶν μου ἐπίχαρμα (2) καὶ τῶν ὑπεναντίων μου κατάγελως. Ἀπαιδεύτῳ φρενὶ καὶ νηπιώδει γνώμῃ τοῖς τῶν ἀπατεώνων ῥήμασιν ἐξακολουθήσας, καὶ τὴν βουλὴν τῶν κακοφρόνων τῆς ἐμῆς προκρίνας βουλῆς, καὶ τῶν ἡμετέρων θεῶν τὸ σέβας καταλιπὼν, ἀλλοτρίῳ ἐλάτρευσας θεῷ· ἵνα τί, τέκνον, ταῦτα πεποίηκας; καὶ ὃν ἤλπιζον ἐν πάσῃ ἐκτρέφειν ἀσφαλείᾳ καὶ τοῦ γήρως ἔχειν βακτηρίαν (3) καὶ ἰσχὺν, διάδοχόν τε ἄριστον καταλιμπάνειν τῆς βασιλείας, τὰ τῶν ἐχθρῶν οὐκ ᾐδέσθης καὶ πολεμίων ἐνδείξασθαι εἰς ἐμέ; οὐκ ἔδει σε ἐμοὶ μᾶλλον πείθεσθαι καὶ τοῖς ἐμοῖς ἕπεσθαι δόγμασιν, ἢ τοῦ δολίου καὶ σαπροῦ γέροντος εἴκειν ταῖς φληνάφοις μωρολογίαις, τοῦ πικρὰν σοι ἀντὶ τῆς γλυκείας ὑποθεμένου ζωὴν, καὶ ἀντὶ τῆς ποθεινοτάτης τρυφῆς τὴν σκληρὰν καὶ τραχεῖαν ὁδεύειν ὁδὸν (4), ἣν

(1) Job. III, 25 : *φόβος γὰρ ὃν ἐφρόντισα ἦλθέ μοι*.... Auctorem monachum, non Abenerem, illa biblica eruditio decet. Id mendi non semel jam animadverti, de quo deinceps silebo.

(2) Sirach. XVIII, 31 : *ποιήσει σε ἐπίχαρμα τῶν ἐχθρῶν σου*. Cf. et Exod. XXXII, 25.

(3) Photius Epist. 109 : *τῆς παιδείας ἡ κτῆσις τῷ γεγηρακότι κρατίστη γίνεται βίου βακτηρία*. Theodoretus De provid. VIII, pag. 258 : *μήτε τὸ γῆρας οἰκτείραντες καθάπερ τινὶ βακτηρίᾳ τῷ νέῳ σκηπτόμενον*. Eumathius III, pag. 93 : *σὺ γήρως ἔχει βακτηρίαν*. Cf. Gregor. Naz. Orat. XLI, p. 672, et quæ scripsi ad Nicetam Eugenianum, pag. 384.

(4) C sine *ὁδεύειν*. Notissimæ formulæ *ὁδὸν ὁδεύειν*, *πόνον πονεῖν*, *λόγον λέγειν*, ac sexcentæ aliæ : vide not. ad Nicetam Eugen. p. 251, et G. J. Bekker. ad Odysseam Parvam, librum utilissimum, pag. 5. Harpocration : *βομβυλιὸς, ζῶον παραπλήσιον μελίττῃ, ὀνομασμένον ἀπὸ τοῦ βόμβου*. Cod. 2552 : *β. ζῶόν ἐστι παρ. μελ., ὀν. ἀ. τ. βόμ-*

ὁ τῆς Μαρίας υἱὸς εἶναι προτρέπεται; οὐ δέδοικας δὲ τῶν μεγίστων θεῶν τὴν ὀργὴν, μὴ κεραυνῷ σε βαλοῦσιν, ἢ σκηπτῷ θανατώσουσιν, ἢ χάσματι γῆς καταποντίσουσιν, ἀνθ' ὧν τοὺς τοσαῦτα ἡμᾶς εὐεργετηκότας καὶ διαδήματι βασιλείας κατακοσμήσαντας (1), καὶ ἔθνη πολυάνθρωπα ὑποτάξαντας, καὶ σὲ παρ' ἐλπίδα δι' εὐχῆς ἐμῆς καὶ δεήσεως γεννηθῆναι καὶ τοῦ γλυκυτάτου μετέχειν φωτὸς τούτου παρασκευάσαντας, παρωσάμενος καὶ ἐξουθενήσας, τῷ ἐσταυρωμένῳ προσεκολλήθης, ταῖς ματαίαις ἐλπίσι τῶν αὐτοῦ θεραπόντων φενακισθεὶς, καινούς τινας μυθολογούντων αἰῶνας καὶ νεκρῶν σωμάτων ἀνάστασιν ληρούντων, καὶ ἄλλα μυρία πρὸς ἀπάτην τῶν ἀνοήτων παρεισαγόντων; Ἀλλά γε νῦν, φίλτατε υἱὲ, εἴ τί μοι πείθη τῷ πατρὶ, μακρὰν τοῖς μακροῖς τούτοις λήροις χαίρειν εἰπὼν (2), θῦσον προσελθὼν τοῖς εὐμενέσι θεοῖς,

ζου ὃν ἐκεῖνο βομβεῖ. — Et potest jungi πρ. ὁδ., pro πρ. ὁδεύεσθαι.

(1) C, κοσμήσαντας, absente male præpositione. Æneas Gaz. Theophr. p. 36 : ἔμελλε γὰρ ἐξαπατᾷν καὶ κολακεύειν, καὶ ὀξέως πρὸς απάτας ἐξάγειν τὸν πεσόντα. Codex 461 : ἤμελλε γ. ἐξ. κ. κολ. κ. ὀξέως τὸν προσπεσόντα θηρεύειν. Erit etiam cum edita lectione recipiendum προσπεσόντα.

(2) De loquutione χαίρειν ἐᾷν, vel εἰπεῖν, vide quæ monui Notit. Mss. t. XI, 11, p. 28. Psellus De dæmon. p. 14 : οἱ δὲ χαίρειν ἑαυτῶν δεσπότην ἐάσαντες, θεὸν αὐτοῦ κεχειροτονήκασι τὸν ἐν τοῖς κτίσμασιν ἀτιμότερον. Melius codex 1310 : οἱ δὲ χ. τὸν ἑαυτῶν θεὸν καὶ δεσπ. Symeon Sethi de Ichnel. p. 154 : ἐπὶ τοῦτο γάρ οἶμαι καὶ τοὺς ἀσκοῦντας χαίρειν, εἰπόντας· τοῦ τοῖς ἀνθρώποις συνδιαιτᾶσθαι ἀσφαλέστερον τὸ τὰς ἐρήμους διώκειν. Verba ἀσφ. τὸ fuerunt addita a Starkio, qui sic vertit : « atque id esse puto » quod eremitæ gaudent cum di» cunt : præstare loca sola se» ctari, quam in hominum con» sortio vitam agere. » Puto Starkium pessime rem egisse, scribique oportuisse : ἐπὶ τούτῳ γὰρ ο. κ. τ. ἀσκοῦντας, χαίρειν εἰπόντας τῷ τοῖς ἀνθρ. συνδιαιτᾶσθαι, τὰς ἐρ. δ. Verterimque : « propterea enim » puto eremitas, valedicentes ho» minum consortio, loca sola se» ctari. » Alium locum promam,

ἑκατόμβαις τε αὐτοὺς καὶ σπονδαῖς ἐκμειλιξώμεθα, ἵνα συγγνώμην σοι τοῦ πταίσματος παράσχοιντο· δυνατοὶ γάρ εἰσι καὶ ἰσχύοντες εὐεργετεῖν τε καὶ τιμωρεῖσθαι. Καί σοι παράδειγμα τῶν λεγομένων· ἡμεῖς οἱ δι' αὐτῶν εἰς ταύτην τὴν ἀρχὴν περιελθόντες, καὶ χάριτας αὐτοῖς τῆς εὐεργεσίας, τάς τε πρὸς τοὺς σεβομένους τιμὰς καὶ τὰς πρὸς τοὺς μὴ πειθομένους αὐτοῖς θύειν κολάσεις, παρέχοντες.»

Πολλὰς οὖν τοιαύτας βαττολογίας τοῦ βασιλέως διεξελθόντος, τὰ μὲν ἡμέτερα διακωμῳδοῦντος (1) καὶ διαβάλλοντος, τὰ τῶν εἰδώλων δὲ ἐγκωμιάζοντος καὶ ἐπαινοῦντος, ἰδὼν ὁ θειότατος νεανίας ὡς οὐκ ἔτι δεῖται τὸ πρᾶγμα γωνίας καὶ ἐπικρύψεως, ἀλλὰ λυχνίας καὶ περιωπῆς μᾶλλον ὥστε φανερὸν ἅπασι καταστῆναι, παῤῥησίας καὶ θάρσους ὑποπλησθεὶς, ἔφη· «Ὅ μοι πέπρακται, δέσποτα, οὐκ ἂν ἀρνηθείην. Τὸ σκότος ἐξέφυγον, τῷ φωτὶ προσδραμών· καὶ τὴν πλάνην ἀπέλιπον, τῇ ἀληθείᾳ οἰκειωθείς· καὶ, τοῖς δαίμοσιν

mala additione a Starkio corruptum. In narratione de lupo avaro, quæ exstat et apud Fontainium VIII, F. 27, Starkius sic scripsit p. 208, additis verbis τόξου θέλων: ἀψάμενος τοῦ τόξου, θέλων ταύτην καταφαγεῖν, ἀπεπήδησε τὸ βέλος καὶ ἔτρωσεν αὐτοῦ τὴν καρδίαν. Bene se habent codicis verba, ἀψάμενος τοῦ ταύτην καταφαγεῖν: scilicet, subaudito ἕνεκα, « ar» cum tangens ut illam chordam » comederet.» Quid vel ipsi Starkio, homini, ut videtur, non egregie linguæ græcæ perito, notius illa ellipsi, quam statim habuit et recte cepit: ἤπλωσεν αὐτὸ ἐν τῷ ἡλίῳ τοῦ ξηρανθῆναι. Notetur et aliud additamentum p. 234, in narratione de mure et dama, quam Fontainius elegantissime tractavit XII, F. 15: ὁ δὲ μῦς, Ἐμοὶ δοκεῖ, ἔφη, συμφέρειν σε τὴν δορκάδα... ὡς νεκρὰν... πεπτωκέναι, καὶ ἐπιμαρτυρῆσαί σοι τὴν νέκρωσιν τὸν κόρακα, ἐν τῷ ἐπικαθεσθῆναί σοι. Male inseruit Starkius ἐν τῷ. Si quid fuerit addendum, velim τὸ poni ante τὸν κόρ.

(1) C, κωμῳδοῦντος sine præpositione, et sic infra pag. 219. Theano Nicostratæ: ἔνια δὲ ἁμαρ-

ἀποταξάμενος, Χριστῷ συνεταξάμην (1), τῷ τοῦ Θεοῦ καὶ Πατρὸς υἱῷ καὶ λόγῳ, οὗ τῷ ῥήματι παρήχθη τὸ πᾶν ἐκ μὴ ὄντων, ὃς καὶ, τὸν ἄνθρωπον ἐκ χοὸς διαπλάσας, ζωτικὴν ἐνεφύσησε πνοὴν, ἐν παραδείσῳ τε (2) τῆς τρυφῆς ἔθετο διαιτᾶσθαι, παραβάντα δὲ τὴν ἐντολὴν αὐτοῦ καὶ τῷ θανάτῳ ὑπόδικον γενόμενον, τῇ ἐξουσίᾳ τε τοῦ δεινοῦ κοσμοκράτορος (3) ὑπαχθέντα, οὐκ ἀπέστη πάντα ποιῶν πρὸς τὴν ἀρχαίαν βουλόμενος ἐπαναγαγεῖν τιμήν. Διὸ αὐτὸς ὁ πάσης τῆς κτίσεως ποιητὴς, καὶ τοῦ ἡμετέρου γένους δημιουργὸς, ἄνθρωπος ἐγένετο δι' ἡμᾶς καὶ ἐπὶ γῆς ἐλθὼν ἐκ παρθένου ἁγίας τοῖς ἀνθρώποις συνανεστρέφετο (4), καὶ ὑπὲρ ἡμῶν τῶν ἀγνωμόνων οἰκετῶν ὁ δεσπότης θάνατον κατεδέξατο καὶ θάνατον τὸν διὰ σταυροῦ (5), ὅπως λυθῇ τῆς ἁμαρτίας ἡ τυραννὶς, ὅπως ἡ προτέρα καταδίκη ἀναιρεθῇ, ὅπως ἀνοιγῶσι πάλιν ἡμῖν αἱ οὐρανοῦ πύλαι. Ἐκεῖ γὰρ τὴν φύσιν ἡμῶν ἀνήγαγε καὶ ἐπὶ θρόνου δόξης κεκάθικε, βασιλείαν τε τὴν ἀτελεύτητον ἐδωρήσατο

πήματα, φίλη, ἐλεγχόμενα μὲν ἐρεθίζεται, σιωπώμενα δὲ παύεται μᾶλλον. Non incommode codex Mazarin. A 87 : ἀνερεθίζεται. In lemmate ejusdem fœminæ ad Callistonem epistolæ, quod sic vulgo conceptum legitur, περὶ θεραπαινῶν παρρησίας νουθετική, ille codex habet, quod ob vocis raritatem non negligendum est, ὑπονουθετική.

(1) Gregorius Naz. Orat. xvii, p. 275 : Χριστῷ συνεταξάμην.

(2) C, δέ. Choricius in Procop. § 10 : ὅπου χαρίεντα καὶ διαφανῆ καὶ πότιμα νάματα, πλάτανος δὲ πολλή. Melius codex 2967, πλάτανός τε.

(3) Conf. p. 13, n. 3. — A sine δεινοῦ. Eo facilius voces omittuntur a describentibus, quo sunt ad ipsum sensum minus necessariæ. Choricius in Summ. § 24 : οἴκοι μὲν ἦν ἀγαθός. Codex 3087, ἀνὴρ ἀγαθός. Moschopulus Π. σχ. p. 149 : πόῤῥωθεν, πόσωθεν, κύκλωθεν. Repone e cod. 2599 : πόῤῥ. πρόσωθεν, ὀπίσωθεν, κύκλ.

(4) Baruch. iii, 37 : μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη καὶ ἐν τοῖς ἀνθρώποις συνανεστράφη.

(5) Epist. ad Philipp. ii, 8 : γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.

τοῖς αὐτὸν ἀγαπῶσι καὶ ἀγαθὰ τὰ κρείττονα καὶ λόγου καὶ ἀκοῆς. Αὐτὸς γάρ ἐστιν ὁ κραταιὸς καὶ μόνος δυνάστης (1), « ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων (2) », οὗ τὸ κράτος ἄμαχον καὶ ἡ δυναστεία ἀνείκαστος, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ σὺν Πατρὶ καὶ Ἁγίῳ Πνεύματι δοξαζόμενος, εἰς ἃ βεβάπτισμαι. Καὶ ὁμολογῶ, δοξάζω τε καὶ προσκυνῶ ἕνα Θεὸν ἐν τρισὶν ὑποστάσεσιν ὁμοούσιόν τε καὶ ἀσύγχυτον, ἄκτιστόν τε καὶ ἀθάνατον, αἰώνιον, ἄπειρον, ἀπεριόριστον, ἀσώματον, ἀπαθῆ, ἄτρεπτον, ἀναλλοίωτον (3), ἀόριστον, πηγὴν ἀγαθότητος καὶ δικαιοσύνης καὶ φωτὸς ἀϊδίου, πάντων κτισμάτων ὁρατῶν τε καὶ ἀοράτων ποιητὴν, συνέχοντά τε πάντα καὶ συντηροῦντα, πάντων προνοούμενον, κρατοῦντά τε πάντων καὶ βασιλεύοντα. Οὔτε γὰρ ἐγένετό τι τῶν ὄντων χωρὶς αὐτοῦ (4), οὔτε τῆς αὐτοῦ προνοίας ἄνευ συνίστασθαί τι δύναται· αὐτὸς γάρ ἐστι πάντων ἡ ζωὴ, πάντων ἡ σύστασις, πάντων ὁ φωτισμὸς, ὅλος γλυκασμὸς καὶ ἐπιθυμία ἀκόρεστος, καὶ πάντων τῶν ἐφετῶν τὸ ἀκρότατον. Τὸ καταλιπεῖν οὖν τὸν οὕτως ἀγαθὸν, οὕτω σοφὸν, οὕτω δυνατὸν Θεὸν, καὶ δαίμοσιν ἀκαθάρτοις, δημιουργοῖς πάντων τῶν παθῶν, λατρεῦσαι, ξοάνοις τε κωφοῖς καὶ ἀλάλοις σέβας ἀπονεῖμαι, τοῖς μήτε οὖσί τι μήτε ἐσομένοις, πόσης οὐκ ἂν εἴη πέρα ἀνοίας (5) καὶ παραφροσύνης; Πότε

(1) Psalm. XXIII, 8 : Κύριος κραταιὸς καὶ δυνατός.

(2) I Epist. ad Tim. VI, 15. Cf. Apocal. XIX, 16.

(3) Cf. pag. 146, n. 3.

(4) Joann. I, 3 : πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν.

(5) A, εἴπερ ἀνοίας. Meminit discipulus verborum quæ a doctore suo audiverat. Confer pag. 79, 9.

γὰρ ἠκούσθη τις λαλιὰ ἢ λόγος παρ' αὐτῶν; πότε κἂν σμικρὰν ἀπόκρισιν τοῖς εὐχομένοις αὐτοῖς δεδώκασι; πότε περιεπάτησαν (1) ἢ αἴσθησίν τινα ἐδέξαντο; οὔτε γὰρ οἱ ἱστάμενοι ποτὲ καθέδρας ἐμνήσθησαν, οὔτε οἱ καθήμενοι ἀναστάντες ὤφθησαν. Τούτων τὸ εἰδεχθὲς καὶ δυσῶδες καὶ ἀναίσθητον, ἔτι δὲ καὶ τῶν ἐνεργούντων ἐν αὐτοῖς καὶ δι' αὐτῶν ὑμᾶς ἀπατώντων δαιμόνων τὸ σαθρὸν καὶ ἀσθενὲς παρὰ ἀνδρὸς ἁγίου μαθὼν, καὶ τῆς αὐτῶν κακίας καταπλύσας, καὶ τέλειον μῖσος μισήσας αὐτοὺς (2), τῷ ζῶντι καὶ ἀληθινῷ συνεταξάμην Θεῷ· καὶ αὐτῷ δουλεύσω μέχρι τελευταίας ἀναπνοῆς, ἵνα καὶ εἰς τὰς αὐτοῦ χεῖρας ἔλθοι μου τὸ πνεῦμα. Τῶν τοιούτων οὖν συναντησάντων μοι ἀνεκδιηγήτων ἀγαθῶν, ἔχαιρον μὲν τῆς δουλείας ἀπαλλαγεὶς τῶν πονηρῶν δαιμόνων καὶ τῆς δεινῆς ἀνακληθεὶς αἰχμαλωσίας, καὶ τῷ φωτὶ περιλαμφθεὶς τοῦ προσώπου Κυρίου· ἠνιώμην δὲ καὶ τὴν ψυχὴν ἐμερίζόμην, ὅτι μὴ καὶ αὐτὸς, ὁ δεσπότης μου καὶ πατὴρ, τῶν τοιούτων μετεῖχες εὐεργεσιῶν. Ἀλλὰ, δεδοικώς σου τῆς γνώμης τὸ δυσπειθὲς, κατεῖχον ἐν ἐμαυτῷ τὴν λύπην, μὴ παροργίσαι σε βουλόμενος, τὸν Θεὸν δὲ ἀπαύστως ἱκέτευον ἑλκῦσαί σε πρὸς ἑαυτὸν (3) καὶ τῆς μακρᾶς ἀνακαλέ-

(1) Psalm. cxiii, 5, de idolis: στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν.... πόδας ἔχουσι καὶ οὐ περιπατήσουσιν· οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν. Cf. Psalm. cxxxiv, 16.

(2) Psalm. cxxxviii, 22: τέλειον μῖσος ἐμίσουν αὐτούς.

(3) C, παροργίσαι σε πρὸς ἑαυτόν. Infinitivorum παροργίσαι σε ἑλκῦσαί σε homœoteleuton lacunam peperit; quod fieri amat. Eumathius ix, p. 333: οὐ πιστεύειν τοῖς γράμμασι οὐ συνεχωρούμην τοῖς πράγμασι· τὸ μὲν γὰρ δή.... Codex 2897: ...πράγμασι, καὶ τοῖς πράγμασι πιστεύειν ἐθέλων οὐ συνεχωρούμην τοῖς γράμμασι· τὸ μὲν γ. δή...In optima versione

σασθαι ἐξουσίας ἧς αὐτὸς παρεξένησας σεαυτῷ, δραπέτης οἴμοι! τῆς εὐσεβείας γενόμενος καὶ κακίας ὑπηρέτης πάσης καὶ ἀσεβείας. Ἐπεὶ δὲ αὐτὸς, ὦ πάτερ, εἰς ἐμφανὲς τὰ κατ' ἐμὲ ἤγαγες, τὸ πᾶν τῆς ἐμῆς ἄκουε γνώμης· οὐ ψεύσομαι τὰς πρὸς Χριστόν μου συνθήκας, οὐ, μὰ τὸν ἐξαγοράσαντά με τῆς δουλείας τῷ τιμίῳ αὐτοῦ αἵματι (1), κἂν μυριάκις με δεῖ (2) ἀποθανεῖν ὑπὲρ αὐτοῦ, θανοῦμαι. Τὰ περὶ ἐμοῦ τοίνυν οὕτως εἰδὼς, μηκέτι κόπους σεαυτῷ πάρεχε (3), μεταπείθειν με ἐπιχειρῶν τῆς καλῆς ὁμολογίας. Ὡς γάρ σοι τοῦ οὐρανοῦ ἐπιλαβέσθαι δόξαντι τῇ χειρὶ, ἢ τὰ θαλάττια ξηρᾶναι πελάγη, ἄπρακτον ἂν τὸ ἐγχείρημα ἦν καὶ ἀνήνυτον, οὕτω δὴ καὶ τοῦτο γίνωσκε εἶναι. Ἢ τοίνυν οὕτως, τῆς ἐμῆς ἀκούσας βουλῆς, τῷ Χριστῷ οἰκειώθητι, καὶ τῶν ὑπὲρ ἔννοιαν λήψῃ ἀγαθῶν (4), κοινωνοί τε ἀλλήλοις ἐσόμεθα, ὥσπερ τῆς φύσεως, οὕτω δὴ καὶ τῆς πίστεως (5)· ἢ τῆς σῆς ἀπο-

p. 189, Bassus gallicis verbis lacunam explevit, qui græca in libro Vaticano legerat ac diligenter sibi descripserat. Notandus et verborum color evangelicus. Joannes enim VI, 44: *οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ, ὁ πέμψας με, ἑλκύσῃ αὐτόν.*

(1) Conf. I Petr. I, 19.

(2) AC, *δεῖ*, quod est forsan ab auctore ipso profectum. *Δῇ* esset satis insolitum; sic tom. III, p. 211, scripsi *ἐνδῇ*. In usu est *δέῃ*. Weller tamen recepit *δῇ*: vide Fisch. t. III, p. 69, 1.

(3) Marc. XIV, 6: *τί αὐτῇ κόπους παρέχετε;*

(4) Sic cod. Deest forsan *μετουσίαν*. Cf. p. 222, 4.

(5) C, *ἀνήνυτον οὕτω δὴ καὶ τῆς πίστεως* mediis omissis, propter repetita verba *οὕτω δή*. Sic periit in Pselli De dæm. libello p. 30, 3, longus locus: *καὶ Βασίλειος δὲ ὁ θεῖος, ὁ τῶν ἀθεάτων ἐπόπτης....* Lacuna non facile animadvertenda sic implebitur, duce codice 1310: *καὶ ὁ μέγας Βασίλειος* [t. I, p. 558], *ἐξηγούμενος τὸ ἐν Ἡσαΐᾳ ῥητὸν* [X, 10] *τὸ φάσκον « ὀλολύξατε » τὰ γλυπτά », ταῦτά φησιν· ὅτι τοῖς εἰδώλοις ἐκ τοῦ ἀφανοῦς δαίμονές τινες προσπτάντες παρακαθέζονται, τῆς ἀπὸ τῶν μιασμάτων ἡδονῆς ἀπο-*

στήσομαι, εὖ ἴσθι, υἱότητος, καὶ τῷ Θεῷ μου λατρεύσω καθαρῷ συνειδότι.»

Ταῦτα οὖν πάντα ὡς ἤκουσεν ὁ βασιλεύς, ὀξύτατα κινηθεὶς καὶ θυμῷ ἀσχέτῳ καταληφθεὶς (1), ὀργίλως αὐτῷ ἐλάλει, καὶ πικρῶς τοὺς ὀδόντας ἔβρυχε, μαινομένῳ ἐοικώς (2). « Καὶ τίς » φησίν, « ὁ τοιούτων μοι αἴτιος τῶν (3) κακῶν, ἢ αὐτὸς ἐγώ, οὕτως σοι διατεθεὶς καὶ τοιαῦτα ἐπὶ σοὶ ἐργασάμενος ἃ οὐδεὶς πώποτε τῶν πατέρων πεποίηκε; Διό σου τῆς γνώμης τὸ σκολιὸν καὶ φιλόνεικον, δύναμιν τῇ ἐξουσίᾳ προσλαβόμενον, κατὰ τῆς ἐμῆς κεφαλῆς μανῆναί σε πεποίηκε. Δικαίως οὖν ἐν τῇ σῇ γεννήσει οἱ ἀστρολόγοι

λαύοντες· ὥσπερ γὰρ τὰ λίχνα κωνίδρια περὶ τοὺς τόπους τῶν μακέλλων παρακαθέζονται ἐν οἷς αἷμα καὶ ἰχῶρος εἰσίν, οὕτω καὶ τὰ λίχνα δαιμόνια, θηρώμενα τὴν ἀπὸ τῶν αἱμάτων καὶ τῆς κνίσης τῶν θυσιῶν ἀπόλαυσιν, περὶ τοὺς βωμοὺς εἴλυνται (codex εἴληνται· edit. εἰλεῖται) καὶ τὰ ἀγάλματα αὐτοῖς ἀνακείμενα· τούτοις γάρ που καὶ τρέφεται τὰ ἀέρινα αὐτῶν σώματα, εἴτε καὶ πύρινα, ἢ καὶ ἐξ ἀμφοτέρων τῶν στοιχείων μικτά. Καὶ πάλιν ὁ θεῖος Βασίλειος, ὁ τῶν ἀθεάτων... Fecerat librarius saltum ab uno Βασίλειος ad alterum.

(1) A, ληφθείς. Æneas Gaz. Theophr. p. 26: ἆρ' οὐκ οὖν ἄμεινον ἦν ἀγαθοὺς ἀνάγκῃ γενέσθαι, ἢ ἐλευθερίας ὀνόματι ἐξεῖναι κακίαν αἱρεῖσθαι; Velim ἆρ' οὖν οὐκ: et est οὖν οὐκ in codice 461, qui exhibet ἀναιρεῖσθαι, præpositione male abundante, et quam ultima vocis κακίαν syllaba peperisse videtur.

(2) A sine μαιν. ἐοικώς, quibus, si periissent, sententia non foret pejor. Obiter utilissima ac necessaria quæ perdidit verba restituam Psello De dæmon. sic edito p. 37: μονάζοντι δέ τινι περὶ Χερρόνησον τὴν μέσην τῶν ποταμῶν ἀνέφερεν. Nihil istis inest sani, etsi ea potuerit vertere Morellus. Restituo e codice 1310: μον. δ. τ. π. χ. τὴν ὅμορον Ἑλλάδος ξυγγέγονα· Μάρκος ὄνομα τούτῳ ἦν, καὶ τὸ γένος ἐπὶ τὴν μέσην....

(3) A sine τῶν. Menander Rhetor. p. 39: χρῶνται δὲ τοιούτῳ τρόπῳ Παρμενίδης τε καὶ Ἐμπεδοκλῆς. Codex 1741: καὶ χρ. δὲ τῷ τοιούτῳ.... Idem, hymnorum instituta divisione, qui sint mythici docet p. 31: μυθικοὶ δέ, τοὺς μύθους ἔχοντες. Ibi codex, opportune addito articulo: μ. δέ, οἱ τοὺς μ. ἔχ. Præstantiores dabit hujus rhetoris et aliorum emendationes Walzius, futurus rhetorum græcorum sospitator.

δεινὸν εἶπον ἀποϐήσεσθαί σε καὶ παμπόνηρον ἄνδρα, ἀλαζόνα τε καὶ γονεῦσιν ἀπειθῆ. Ἀλλὰ νῦν, εἰ τὴν ἐμὴν ἀκυρώσεις βουλὴν καὶ τῆς ἐμῆς ἀποστήσῃ υἱότητος, ὡς ἐχθρὸς (1) σοι διατεθεὶς, ἐκεῖνα ποιήσω σοι, ἅπερ οὐδὲ πολεμίοις τις ἐνεδείξατο. »

Αὖθις δὲ ἐκεῖνος « Τί » φησὶν, « ὦ βασιλεῦ, εἰς ὀργὴν ἀνήφθης; ὅτι τοιούτων ἐγὼ ἠξίωμαι ἀγαθῶν, λελύπησαι; καὶ τίς ποτε πατὴρ ἐπὶ τῇ τοῦ υἱοῦ εὐτυχίᾳ ἀχθόμενος ὤφθη; ἢ πῶς πατὴρ ὁ τοιοῦτος, καὶ οὐκ ἐχθρὸς, λογισθείη (2); Οὐκοῦν οὐδὲ ἐγὼ τοῦ λοιποῦ πατέρα μου σε καλέσω· ἀλλ' ἀποστήσομαί σου, ὥσπερ τις φεύγει ἀπὸ ὄφεως, εἰ γνώσομαι φθονεῖν σε τὴν ἐμὴν σωτηρίαν, εἰς ἀπώλειαν δὲ βιαίᾳ συνωθεῖν με χειρί. Εἰ γὰρ βιάζειν με καὶ τυραννεῖν θελήσειας, καθὰ δὴ καὶ εἶπας, οὐδὲν ἄλλο κερδανεῖς, εὖ ἴσθι, ἢ τὸ ἀντὶ πατρὸς τύραννος καὶ φονεὺς κληθῆναι μόνον· ἐπεὶ ῥᾷόν σοι ἀετοῦ ἴχνεσιν ἐφικέσθαι (3) καὶ κατ' αὐτὸν τὸν ἀέρα διίπτασθαι, ἢ τὴν ἐμὴν μεταπείσειν εἰς Χριστὸν πίστιν, καὶ ἣν αὐτῷ ὡμολόγησα καλὴν ὁμολογίαν. Ἀλλὰ σύνες, ὦ πάτερ, καὶ, τὴν λήμην καὶ ἀχλὺν

(1) C, ὡς ἐχθρῶς, nec id male, ut sit « inimicissime ». Est ubi vocalium ω et ο permutatio nihil electionis exhibet ambiguæ. Joannes Euchait. in Apostolos pag. 79 : Σταυροῦσί τε τρεῖς ἄνδρες ὁμῶς Ἀνδρέαν. Res et metrum monstrant esse scribendum ὠμῶς, quod et inveni in codice 3058. Sed quinam sunt tres illi homines a quibus fuit crudeliter Andreas crucifixus? Versum quidem secure adposuit ad Pseudo-Abdiam III, 40, Fabricius, cui ipse Abdias suspicionis quid debuerat injicere. Passus est enim Andreas, teste Abdia, « apud Achaiam, in » civitate Patris. » Cf. Muratorius ad Paulini Natal. XI, 78. Præclare codex : Σταυροῦσι Πατρεῖς ἄνδρες ὠμῶς Ἀνδρέαν. Joannes ibid. Εἰρηνικὸς τέθνηκε Λουκᾶς ἐν πόλει. Quod conjecit Bustus εἰρηνικῷ est in eodem codice.

(2) C, κληθείη.

(3) Conf. t. II, p. 451, n. 3.

ἀποτινάξας τῶν τοῦ νοὸς ὀμμάτων, ἀνάβλεψον ἰδεῖν τὸ πᾶσι περιλάμπον τοῦ Θεοῦ μου φῶς, καὶ αὐτός ποτε περιλάμφθητι τῷ γλυκυτάτῳ τούτου φωτί. Ἵνα τί γὰρ ὅλως τοῖς πάθεσι καὶ θελήμασιν ἐξεδόθης τῆς σαρκὸς, καὶ ἀνάνευσις οὐκ ἔστι; γνῶθι ὅτι « πᾶσα » σὰρξ χόρτος καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος » χόρτου· ἐξηράνθη ὁ χόρτος καὶ τὸ ἄνθος αὐτοῦ ἐκ» πέπτωκε, τὸ δὲ ῥῆμα τοῦ Κυρίου μου », τὸ εὐαγγελισθὲν ἐπὶ πάντας, « μενεῖ εἰς τὸν αἰῶνα (1) ». Τί οὖν οὕτως ἐμμανῶς ἀντέχῃ καὶ περιέχῃ τῆς, δίκην τῶν ἐαρινῶν ἀνθέων, μαραινομένης καὶ ἀφανιζομένης δόξης, καὶ τῆς βδελυρᾶς καὶ δυσώδους τρυφῆς, καὶ τῶν τῆς γαστρὸς καὶ ὑπὸ γαστέρα (2) μιαρωτάτων παθῶν, ἅτινα πρὸς καιρὸν ἡδύνουσι τὰς αἰσθήσεις τῶν ἀνοή-

(1) Isai. XL, 6, 7.

(2) Loquutio est non rara. Archestratus Athenæo III, 85, est memoratus, ὁ περιπλεύσας τὴν οἰκουμένην τῆς γαστρὸς ἕνεκα καὶ τῶν ὑπὸ τὴν γαστέρα. Gregorius Naz. Orat. XXXIII, p. 531 : μετὰ τοὺς ἱππικοὺς καὶ τὰ θέατρα, καὶ τὰ ᾄσματα, καὶ τὴν γαστέρα καὶ τὰ ὑπὸ γαστέρα. Idem Orat. XVI, p. 250, 5. Isidor. Pelus. V, 28, Aphrodisium quemdam sacerdotem laudat, hominem non sui nominis, cui inerat αὐτάρκεια μὲν ἐν γαστρὶ, ἐγκράτεια δὲ ἐν τοῖς μετὰ γαστέρα. Basilius ad adolesc. cap. 18 : καταναγκάζουσιν αὐτοὺς (αἱ ἡδοναί) τοὺς περὶ τὴν ἑαυτῶν ψυχὴν ἐπτοημένους, ὥσπερ τὰ θρέμματα, πρὸς τὴν γαστέρα καὶ τὰ ὑπ' αὐτὴν συννενευκότας ζῆν. Ibi nolim virum doct. attulisse e Luciani « distichis in prodigos » verba τῇ ὑπὸ τὴν γαστέρα μαργοσύνῃ, quum adferendus fuerit diligentius Lucianus epigr. II = XXX. Similem alium Basilii locum de « deliciis ventris et inguinum », ut loquitur Apuleius Apol. p. 22, vide in Pricæi notis ad Apul. p. 16. Longus egregie IV, p. 117, de Gnathone parasito : οὐδὲν ἄλλο ὢν ἢ γνάθος, καὶ γαστὴρ καὶ τὰ ὑπὸ γαστέρα· ubi Schæf., coll. Villois. p. 261. Sextus Sentent. p. 656 : « venerem et quæ sub alvo sunt » non continens, nec fidelis. » Codex Salmas. melius in prima saltem voce : « ventrem et ea quæ » sub alvo sunt qui non continet, » non est fidelis. » Nec omittam quod memini dictum, « non es» ser religione sotto il ventre » : cujus dictum? viri ecclesiastici, Cardinalis de Medicis.

των, ὕστερον μέντοι πικροτέρας χολῆς ποιοῦνται τὰς ἀναδόσεις, ὅταν αἱ μὲν σκιαὶ αὗται καὶ τὰ ἐνύπνια τοῦ ματαίου τούτου παρέλθωσι βίου, ἐν ὀδύνῃ δὲ διηνεκεῖ πυρὸς ἀσβέστου καὶ σκοτεινοῦ (1) κατακλεισθῶσιν οἱ τούτων ἐρασταὶ καὶ τῆς ἀνομίας ἐργάται, ἔνθα ὁ σκώληξ αὐτοὺς ὁ ἀκοίμητος ἀτελεύτητα κατεσθίει, καὶ τὸ πῦρ ἄληκτα καὶ ἀκατάσβεστα (2) εἰς αἰῶνας κατακαίει ἀπεράντους; Μεθ' ὧν οἴμοι! καὶ αὐτὸς κατακλεισθεὶς καὶ χαλεπῶς ὀδυνώμενος, πολλὰ μὲν μεταγνώσῃ τῶν δεινῶν βουλευμάτων, πολλὰ δὲ ἐπιζητήσεις τὰς νῦν ἡμέρας καὶ τῶν ἐμῶν ἐπιμνησθήσῃ ῥημάτων· ἀλλ' ὄφελος τῆς μεταμελείας οὐκ ἔσται. Ἐν γὰρ τῷ ᾅδῃ ἐξομολόγησις (3) καὶ μετάνοια οὐχ ὑπάρχει· ἀλλ' ὁ παρὼν ὡρίσθη καιρὸς τῆς ἐργασίας, ὁ δὲ μέλλων τῆς ἀνταποδόσεως (4). Εἰ μὲν γὰρ τὰ παρόντα τερπνὰ οὐκ ἀφανισμῷ ὑπέκειτο καὶ ῥοῇ, ἀλλὰ συνδιαιωνίζειν ἔμελλε τοῖς αὐτῶν δεσπόταις, οὐδὲ οὕτως ἔδει τῶν τοῦ Χριστοῦ δωρεῶν καὶ ὑπὲρ ἔννοιαν ἀγαθῶν ταῦτα προκρῖναι· καθ' ὅσον γὰρ ὁ ἥλιος τῆς βαθείας ἐστὶ νυκτὸς λαμπρότερος καὶ διαυγέστερος, τοσοῦτον καὶ πολλῷ πλέον τὰ ἐπηγγελμένα ἀγαθὰ τοῖς ἀγαπῶσι τὸν Θεὸν πάσης ἐπιγείου βασιλείας καὶ δόξης ἐνδοξότερά τε ὑπάρχει καὶ μεγαλοπρεπέστερα, καὶ ἔδει πάντως τὰ μείζονα τῶν εὐτελεστέρων προκρῖναι. Ἐπεὶ δὲ καὶ ῥευστὰ τὰ τῇδε πάντα καὶ φθορᾷ ὑποκείμενα ὡς ὄναρ τε καὶ ὡς

(1) Cf. pagg. 186, n. 1, 231, 11; et quæ promo in Addendis.

(2) C, ἀκατάπαυστα. Isai. LXVI, 24: ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται. Conf. p. 66, nn. 2, 3.

(3) Conf. p. 94, n. 2.

(4) Conf. p. 64, n. 2.

σκιὰ καὶ ἐνύπνιον παρέρχεται καὶ ἀφανίζεται, καὶ αὔραις μᾶλλον ἐστὶ πιστεύειν οὐχ ἱσταμέναις καὶ νηὸς ποντοπορούσης ἴχνεσιν (1) ἢ ἀνθρώπων εὐημερίᾳ, πόσης εὐηθείας ἤ, μᾶλλον εἰπεῖν, ἀνοίας τε καὶ παραφροσύνης τὰ φθαρτὰ καὶ ἐπίκηρα, ἀσθενῆ τε καὶ οὐδαμινὰ, τῶν ἀφθάρτων προκρῖναι καὶ αἰωνίων, ἀκηράτων τε καὶ ἀτελευτήτων, καὶ τῇ προσκαίρῳ τούτων ἀπολαύσει τῆς ἀδιαδόχου στερηθῆναι τῶν ἀγαθῶν ἐκείνων ἀπολαύσεως; Οὐ συνήσεις ταῦτα, ὦ πάτερ; οὐ παραδραμεῖς τὰ παρατρέχοντα, καὶ προσθήσῃ τοῖς ἐπιμένουσιν; οὐ προτιμήσεις τὴν κατοικίαν τῆς παροικίας, τὸ φῶς τοῦ σκότους, τὸ πνεῦμα τῆς σαρκὸς, τὴν αἰώνιον ζωὴν τῆς σκιᾶς τοῦ θανάτου (2), τὰ μὴ λυόμενα τῶν ῥεόντων; οὐκ ἐκφεύξῃ τῆς χαλεπῆς δουλείας τοῦ δεινοῦ κοσμοκράτορος, τοῦ πονηροῦ, φημὶ, Διαβόλου (3), καὶ τῷ ἀγαθῷ καὶ εὐσπλάγχνῳ καὶ πανοικτίρμονι οἰκειωθήσῃ δεσπότῃ; Οὐ, τῆς τῶν πολλῶν ἀποστὰς καὶ ψευδωνύμων θεῶν λατρείας, τῷ ἑνὶ λατρεύσεις ἀληθινῷ καὶ ζῶντι Θεῷ; εἰ γὰρ καὶ ἥμαρτες αὐτῷ, πολλὰ βλασφημήσας καὶ τοὺς αὐτοῦ θεράποντας δειναῖς ἀνελὼν τιμωρίαις,

(1) Verba sunt Gregorii Naz. Orat. xvi, p. 251, 4.

(2) Gregorius Naz. Orat. xvi, p. 252: τίς σοφὸς, καὶ συνήσει ταῦτα; τίς παραδραμεῖται τὰ παρατρέχοντα; τίς προσθήσεται τοῖς ἐπιμένουσι;....τίς διαιρήσει.... παροικίαν καὶ κατοικίαν; τίς σκότος ἀπὸ τοῦ φωτός;... τίς σάρκα καὶ πνεῦμα; τίς Θεὸν καὶ κοσμοκράτορα; τίς θανάτου σκιὰν καὶ ζωὴν αἰώνιον;

(3) In nomine κοσμοκράτορος, quod synonymo Διαβόλου nomine interpretatur, est allusio ad locum Pauli, supra p. 13, n. 3. Psellus De dæmon. p. 25: τὸ γὰρ τοῦ ἀντιχριστοῦ κράτος ἐγγὺς ἐπὶ θύραις ἥκει. Codex 1310: τὸ γάρ τοι κράτος τοῦ κοσμοκράτορος ἐγγύς.... Nescio nunc quid eligam; saltem ἀντιχρίστου erit rescribendum, notandaque imitatio Marciani loci xiii, 29: ὅταν ταῦτα ἴδητε γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις.

ἀλλὰ δέξεταί σε, εὖ οἶδα, ὁ ἀγαθὸς ἐπιστρέψαντα καὶ πάντων σου ἀμνημονεύσει τῶν πλημμελημάτων· οὐ βούλεται γὰρ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτὸν (1), ὁ ἐκ τῶν ἀνεκδιηγήτων κατελθὼν ὑψωμάτων ἐπὶ ζήτησιν τῶν πλανηθέντων ἡμῶν, σταυρόν τε καὶ μάστιγας καὶ θάνατον ὑπομείνας δι' ἡμᾶς, καὶ τῷ τιμίῳ αὐτοῦ αἵματι ἐξαγοράσας ἡμᾶς τοὺς πεπραμένους ὑπὸ τὴν ἁμαρτίαν. Αὐτῷ ἡ δόξα καὶ αἴνεσις εἰς τοὺς αἰῶνας. Ἀμήν. »

Τοῦ δὲ βασιλέως ἐκπλήξει τε ἅμα καὶ ὀργῇ ληφθέντος, τὸ μὲν ἐπὶ τῇ τοῦ παιδὸς συνέσει καὶ τοῖς ἀναντιρρήτοις αὐτοῦ ῥήμασι, τὸ δὲ ἐφ' ᾧ τοὺς ἐκείνου οὐ διέλιπεν ἐνδιαβάλλων θεοὺς καὶ ὅλον αὐτοῦ μυκτηρίζων καὶ χλευάζων τὸν βίον, τὸ μὲν τοῦ λόγου φαιδρὸν διὰ τὴν ἔνδον οὐκ ἐδέξατο τοῦ σκότους παχύτητα, τιμωρήσασθαι δὲ αὐτὸν ἢ κακῶς τι διαθέσθαι τῇ φυσικῇ μὴ δυνάμενος στοργῇ, τὸ δὲ μεταπείσειν αὐτὸν ἀπειλαῖς πάντη ἀπογνούς, φοβηθεὶς μὴ, πλείονας κινήσας πρὸς αὐτὸν λόγους, ἐκείνου παρρησιαζομένου καὶ τὰ τῶν θεῶν διακωμῳδοῦντος καὶ χλευάζοντος, εἰς πλείονα θυμὸν ἐξαφθεὶς, τῶν ἐναντίων εἰς αὐτόν τι διαπράξοιτο, μετ' ὀργῆς ἀναστὰς, ὑπεχώρησεν, « Εἴθε μηδόλως ἐγεννήθης », εἰπών, « μήτ' εἰς φῶς προῆλθες, τοιοῦτος μέλλων ἔσεσθαι, βλάσφημος εἰς τοὺς θεοὺς καὶ τῆς πατρικῆς ἀποστάτης φιλίας τε καὶ νουθεσίας! Ἀλλ' οὐκ εἰς τέλος τῶν ἀηττήτων καταμωκήσῃ θεῶν, οὐδ' ἐπὶ πολὺ χαρήσονται οἱ ὑπεναντίοι, οὐδ' αἱ τούτων ἰσχύουσι

(1) Ezech. XXXIII, 11 : τάδε λέγει Κύριος· οὐ βούλομαι τὸν θάνατον τοῦ ἀσεβοῦς, ὡς ἀποστρέψαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ καὶ ζῆν αὐτόν.

γοητείᾳ. Εἰ μὴ γὰρ εὐήκοος γενήσῃ μοι καὶ τοῖς θεοῖς εὐγνώμων, πολλοῖς πρότερον ἐκδώσας (1) σε καὶ ποικίλαις τιμωρίαις, κακηγκάκως θανατώσω, οὐχ ὡς υἱῷ σοι διατεθεὶς, ἀλλ' ὡς ἐχθρῷ τινι καὶ ἀποστάτῃ. »

Ταῦτα τοῦ πατρὸς ἀπειλησαμένου καὶ μετ' ὀργῆς ὑποχωρήσαντος, εἰς τὸν ἑαυτοῦ κοιτῶνα ὁ υἱὸς εἰσελθὼν, καὶ πρὸς τὸν οἰκεῖον ἀγωνοθέτην τοὺς ὀφθαλμοὺς ἀνατείνας, « Κύριε, ὁ θεός μου » ἐκ βάθους ἀνέκραξε (2) τῆς καρδίας, « ἡ γλυκεῖα ἐλπὶς καὶ ἀψευδὴς ἐπαγγελία, ἡ κραταιὰ καταφυγὴ τῶν σοὶ προσανακειμένων, ἴδε μου τὴν συντριβὴν τῆς καρδίας ἱλέῳ καὶ εὐμενεῖ ὄμματι, καὶ « μὴ ἐγκαταλίπῃς με, » μηδὲ ἀποστῇς ἀπ' ἐμοῦ (3) » · ἀλλὰ, κατὰ τὴν ἀψευδῆ σου ὑπόσχεσιν, γενοῦ μετ' ἐμοῦ τοῦ ἀναξίου (4) καὶ εὐτελοῦς · σὲ γὰρ γινώσκω καὶ ὁμολογῶ ποιητὴν καὶ προνοητὴν πάσης κτίσεως. Αὐτὸς οὖν με ἐνίσχυσον ἐν ταύτῃ τῇ καλῇ ὁμολογίᾳ μέχρι τελευταίας διαμεῖναι ἀναπνοῆς · « ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν » με (5) », καὶ παράστηθι ἐκ πάσης διατηρῶν με σα-

(1) Sic A. C, ὀκδόσας. Pro barbarismo debuit auctor scribere ὀκδούς. — Mox A, Καϊνκάκως. C, κακιγκάκως. Eadem p. 236, 4, occurret in hoc adverbio varietas.

(2) Psalm. CXXIX, 1 : ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε.

(3) Psalm. XXXVII, 21.

(4) A, ἀποστῇς ἀπ' ἐμοῦ τοῦ ἀναξίου, omissis, quæ sunt inter utrumque ἐμοῦ, mediis. Psellus De dæmon. p. 49 : καθάπερ γὰρ ἀχῆνος οὔσης οὑτοσὶ (ὁ ἀήρ), χρώματα καὶ μορφὰς λαμβάνων, εἰς τὰ πεφυκότα δέχεσθαι διαδίδωσιν, ὡς ἐπὶ τῶν ἐνόπτρων καὶ τῶν σπέκλων ὁρᾶν ἐστιν · οὕτω δὴ καὶ τὰ δαιμόνια, καὶ σχήματα καὶ χρώματα... Plenius codex 1310 : ... τὰ δαιμόνια σώματα, παρὰ τῆς ἐν αὐτοῖς φανταστικῆς οὐσίας δεχόμενα καὶ σχήματα καὶ χρώματα, καὶ ὁποίας ἂν αὐτοὶ βούλονται (imo βούλωνται) μορφὰς, εἰς τὸ ψυχικὸν καὶ ἡμέτερον πνεῦμα ταῦτα διαπορθμεύουσι. Similitudo, quæ est in verbis δαιμόνια et δεχόμενα, in caussa fuisse videtur cur media, errantibus oculis et manu, librarius prætermiserit.

(5) Psalm. XXIV, 16.

τανικῆς ἐνεργείας ἀλώβητον. Ἐπίβλεψον, βασιλεῦ· διαπέφλεκται γὰρ ἰσχυρῶς ἡ ψυχή μου τῷ σῷ πόθῳ (1), καὶ ἐκκέκαυται ὡς ἐν δίψῃ καύματος ἐν ἀνύδρῳ (2), σὲ ἐπιποθοῦσα τὴν πηγὴν τῆς ἀθανασίας. « Μὴ πα- » ραδώσῃς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι· » τῆς ψυχῆς τοῦ πτωχοῦ σου μὴ ἐπιλάθῃ εἰς τέ- » λος (3) »· ἀλλὰ παράσχου μοι τῷ ἁμαρτωλῷ παρ' ὅλην μου τὴν ζωὴν ὑπὲρ τοῦ σοῦ ὀνόματος καὶ τῆς σῆς ὁμολογίας πάντα παθεῖν, καὶ ὅλον ἐμαυτόν σοι καταθῦσαι· σοῦ γὰρ ἐνδυναμοῦντος καὶ οἱ ἀσθενεῖς ὑπερισχύουσιν, ὅτι μόνος εἶ σύμμαχος ἀήττητος καὶ θεὸς ἐλεήμων, ὃν εὐλογεῖ πᾶσα κτίσις τὸν δεδοξασμένον εἰς τοὺς αἰῶνας. Ἀμήν. »

Οὕτως εὐξάμενος θείας ᾔσθετο παρακλήσεως τῇ αὐτοῦ ἐπιφοιτησάσης καρδίᾳ, καὶ, θάρσους ἐμπλησθεὶς, εὐχόμενος ὅλην διετέλεσε τὴν νύκτα.

Ὁ δὲ βασιλεὺς Ἀραχῇ τῷ φίλῳ κοινολογησάμενος τὰ περὶ τοῦ παιδὸς, καὶ τὴν ἀπότομον αὐτοῦ παῤῥησίαν ἀμετάθετόν τε δηλώσας γνώμην, βουλὴν τίθεται φίλιον ὁ Ἀραχὴς ὅτι μάλιστα καὶ θεραπευτικὴν πρὸς αὐτὸν ποιήσασθαι τὴν ὁμιλίαν, ταῖς κολακείαις ἐλπίζων ἴσως ἐφελκύσασθαι. Ἔρχεται τοιγαροῦν τῇ ἐπαύριον πρὸς τὸν υἱόν· καὶ καθίσας, ἐγγύτερον τοῦτον προσεκαλέσατο. Εἶτα περιπλακεὶς κατεφίλει, πράως ὑπερχόμενος (4) καὶ ἠπίως, « Ὦ τέκνον ποθεινότατον » εἰρηκώς, « καὶ φιλούμενον, τίμησον τὴν τοῦ σοῦ πατρὸς πολιὰν, καὶ, τῆς ἐμῆς ἀκούσας δεήσεως,

(1) A, τῷ πόθῳ σου.

(2) Color est biblicus. Isai. XLIV, 3 : ἐγὼ δώσω ὕδωρ ἐν δίψει τοῖς πορευομένοις ἐν ἀνύδρῳ. Et alibi.

(3) Psalm. LXXIII, 19.

(4) C, ὑπερευχόμενος.

προσελθὼν θυσίαν τοῖς θεοῖς προσάγαγε. Οὕτω γὰρ ἐκείνους τε εὐμενεῖς ἕξεις, καὶ μακρότητα ἡμερῶν, δόξης τε πάσης καὶ βασιλείας ἀνεπηρεάστου καὶ παντοίων ἀγαθῶν μετουσίαν παρ᾽ αὐτῶν ἀπολήψῃ, ἐμοί τε τῷ πατρὶ ἔσῃ κεχαρισμένος διὰ βίου παντὸς, καὶ πᾶσιν ἀνθρώποις τίμιός τε καὶ ἐπαινετός. Μέγα γὰρ εἰς ἐπαίνου λόγον τῷ πατρὶ ὑπακούειν, καὶ μάλιστα ἐπ᾽ ἀγαθῷ καὶ τῇ εἰς θεοὺς εὐνοίᾳ. »

« Τί δὲ, τέκνον, ὑπέλαβες; πότερον ὡς ἑκὼν τῆς ἀγαθῆς ἐκκλίνας ὁδοῦ τὴν ἐναντίαν ἰέναι προέκρινα, ἢ ἀγνοίᾳ καὶ ἀπειρίᾳ τοῦ ἀγαθοῦ τοῖς ὀλεθρίοις ἐμαυτὸν ἐξέδωκα; »

« Ἀλλ᾽, εἰ μὲν ἑκόντα με νομίζεις τοῦ συμφέροντος προτιμᾷν τὰ κακὰ καὶ τῆς ζωῆς προκρίνειν τὸν θάνατον, πάνυ μοι δοκεῖς, τέκνον, τῆς ὀρθῆς ἀποσφαλῆναι κρίσεως. Ἢ οὐχ ὁρᾷς ὅσῃ κακουχίᾳ καὶ ταλαιπωρίᾳ πολλάκις ἐμαυτὸν ἐκδίδωμι ἐν ταῖς κατὰ τῶν ἐχθρῶν ἐκστρατείαις, ἢ ἄλλαις τισὶ τοῦ κοινοῦ προστασίαις ἀσχολούμενος, ὡς καὶ πείνης τε καὶ δίψης, πεζοπορίας τε καὶ χαμαικοιτίας, οὕτω δεῆσαν, μὴ φείσασθαι; πλούτου δὲ καὶ χρημάτων τοσαύτη μοι πρόσεστιν ὑπεροψία τε καὶ καταφρόνησις, ὡς ἀφθόνως ἔσθ᾽ ὅτε τὰ ταμιεῖα πάντα τοῦ ἐμοῦ παλατίου κατακενῶσαι εἰς τὸ ἀνοικοδομῆσαι τοὺς τῶν θεῶν μεγίστους ναοὺς καὶ παντοίῳ τούτους καταλαμπρῦναι κόσμῳ ἢ τοῖς στρατοπέδοις ἀφθόνως διανεῖμαι τοὺς θησαυροὺς τῶν χρημάτων. Τοιαύτης οὖν μετέχων τῶν ἀπολαυστικῶν ὑπεροψίας καὶ τῆς ἐν τοῖς δεινοῖς καρτερίας, εἰ τὴν τῶν Γαλιλαίων ἐγίνωσκον θρησκείαν κρείττονα τῆς ἐν χερσὶν ὑπάρχειν, πόσης ἂν οὐκ

ἔκρινα τὸ πρᾶγμα σπουδῆς ἄξιον, πάντων μὲν ὑπεριδεῖν καὶ τὴν ἐμαυτοῦ περιποιήσασθαι σωτηρίαν. »

« Εἰ δὲ ἄγνοιάν μοι καὶ ἀπειρίαν τοῦ καλοῦ καταγινώσκεις, σύνες ὅσας πολλάκις νύκτας ἀΰπνους διετέλεσα, ζητήματός τινος προτεθέντος, ἔσθ' ὅτε καὶ οὐ πολὺ ἀναγκαίου, μὴ παρέχων ὅλως ἐμαυτῷ ἀνάπαυσιν, πρὶν ἢ τοῦ ζητουμένου σαφῆ καὶ εὐπρεπεστάτην εὕροιμι τὴν λύσιν. Εἰ οὖν τῶν προσκαίρων τούτων πραγμάτων οὐδὲ τὸ σμικρότατον ἔχω εὐκαταφρόνητον, ἄχρις οὗ πάντα συμφερόντως καὶ ἐπὶ λυσιτελείᾳ τῶν ἁπάντων ἐπιτελεσθείη, καὶ οὐδενὶ ἑτέρῳ ἀκριβέστερον ἡ τῶν ἀπορρήτων διάγνωσις ἐν πάσῃ, ὡς οἶμαι, τῇ ὑψηλίᾳ διερευνᾶσθαι ὡς ἐμοὶ παρὰ πάντων μεμαρτύρηται, πῶς τὰ θεῖα, καὶ ἃ σέβεσθαι καὶ θεολογεῖν θέμις, εὐκαταφρόνητα ἂν ἐλογισάμην, καὶ μὴ πάσῃ σπουδῇ, πάσῃ δυνάμει, ὅλῃ τῇ ψυχῇ καὶ ὅλῳ τῷ νοΐ, εἰς τὴν τούτων ἀπησχόλησα ἐμαυτὸν ζήτησιν, τοῦ εὑρεῖν τἀληθῆ καὶ πρεπωδέστατα; »

« Καί γε ἐζήτησα ἐμπόνως, πολλὰς μὲν νύκτας ἴσα ταῖς ἡμέραις ἐν τούτοις ἀναλώσας, πολλοὺς δὲ σοφοὺς καὶ ἐπιστήμονας εἰς τήνδε τὴν βουλὴν συγκαλέσας, πολλοῖς δὲ καὶ τῶν λεγομένων χριστιανῶν ὁμιλήσας· καὶ τῇ ἀόκνῳ συζητήσει καὶ διαπύρῳ ἐρεύνῃ εὑρέθη μοι ἡ τῆς ἀληθείας ὁδὸς, παρὰ σοφῶν τῇ τε λογιότητι καὶ συνέσει τετιμημένων μαρτυρηθεῖσα ὡς οὐκ ἔστιν ἄλλη πίστις (1) εἰ μὴ ἣν σήμερον πορευόμεθα,

(1) A sine πίστις. Obiter reparetur textus Basilii Præc. c. 49 : νεότητα κόσμησον, μὴ τοῖς γυμνικοῖς ἀγῶσιν, ἀλλὰ τοῖς ἐναρέτοις. Codex 2991 A, ἐναρέτοις τρόποις. Libanius tom. IV, p. 21 : ὁ γὰρ δήπου

τοῖς μεγίστοις θεοῖς λατρεύοντες καὶ τῆς γλυκείας βιοτῆς καὶ ἐνηδόνου ἀντεχόμενοι, τῆς (1) πᾶσιν ἀνθρώποις παρ' αὐτῶν δεδωρημένης, ἥτις τερπνότητος ὅτι πλείστης καὶ θυμηδίας πεπλήρωται, ἣν οἱ τῶν Γαλιλαίων ἔξαρχοι καὶ μυσταγωγοὶ ἀφρόνως ἀπώσαντο, ὡς καὶ τὸ γλυκὺ τοῦτο φῶς καὶ τὰ τερπνὰ πάντα, ἅπερ εἰς ἀπόλαυσιν ἐχαρίσαντο ἡμῖν οἱ θεοὶ, ἐλπίδι τινὸς ἑτέρας (2) ἀδήλου ζωῆς ἑτοίμως προΐεσθαι, μὴ εἰδότες τί λέγουσιν ἢ περὶ τίνων διαβεβαιοῦνται. »

« Σὺ δὲ, φίλτατε υἱὲ, τῷ σῷ πείσθητι πατρὶ δι' ἀκριβοῦς καὶ ἀληθεστάτης ἐρεύνης τὸ ὄντως καλὸν εὑρηκότι. Ἰδοὺ γὰρ ἀποδέδεικται ὡς οὔτε ἑκὼν, οὔτε μὴν ἀγνοίας τρόπῳ, διήμαρτον τοῦ ἀγαθοῦ, ἀλλ' εὗρον καὶ προσελαβόμην· ἐπιποθῶ δὲ καὶ σὲ μὴ ἀνοήτως πλανᾶσθαι, ἀλλ' ἐμοὶ ἀκολουθῆσαι. Αἰδέσθητι οὖν τὸν πατέρα σου. Ἦ οὐκ οἶδας ὁποῖόν ἐστι καλὸν τῷ πατρὶ πείθεσθαι καὶ αὐτῷ ἐν πᾶσι χαρίζεσθαι; ὡς ἔμπαλιν ὀλέθριον καὶ ἐπάρατον τὸ πατέρα παραπι-

λόγον ἔχον ταῦτα διαφυλάττειν εἰς τέλος, ἃ μηδὲ γενέσθαι τὴν ἀρχὴν βέλτιον ἦν. Codex 3017, ἔχον ἐστί.

(1) C, τοῖς π. A, τῆς e correctione, bene. Possit et scribi τῆς τοῖς: sed si unus tantum ponatur articulus, ille erit præ hoc eligendus. Permutatio vocalium η et οι librario illudebat. Lucianus Pseudosoph. c. 7: πρὸς δὲ τὸν λέγοντα « πλὴν εἰ μὴ », « ταῦτα » ἔφη « διπλᾶ χαρίζοι. » Recipienda erit varietas χαρίζῃ, quam et reperi in codice 39. Isaacius Porphyr. De præterm. pag. 262: τῇ παρούσῃ βίβλῳ ἀναταξάμενος, ὡς ἂν ἔχοιεν οἱ ἐντυγχάνοντες αὐτοὶ.... μεγίστην χειραγωγίαν. Melius cod. 817: ἐντυγχ. αὐτῇ, scilicet, τῇ βίβλῳ.

(2) A sine ἑτέρας. Sic in illo, quem modo corrigebam, Isaacio lacunam aperuit p. 267, eamque majorem, librariorum properantia: ἐντεῦθεν φροντίδι τούτου πολλῇ τοῦ πράγματος πιεζόμενος, ὅπῃ κρείττονος τόπου τεχνικῶς ἑδράσει, τὰ τοῦ Ἀπόλλωνος ἐμφροντις ἐρωτήσων περὶ τοῦ ἄστεος τῆς συμπήξεως. Cod. 817 integrius: ... ἑδράσει τὰ τοῦ ἄστεος θέμεθλα, τῷ μαντείῳ προσῆλθε τοῦ Ἀπόλλ....

κραίνειν καὶ τὰς αὐτοῦ παρ' οὐδὲν τιθέναι ἐντολάς; ὅσοι γὰρ τοῦτο ἐποίησαν, κακοὶ κακῶς ἀπώλοντο (1)· οἷς σύ, τέκνον, μὴ συναριθμηθείης· ἀλλά, τὰ τῷ τεκόντι κεχαρισμένα ποιῶν, πάντων ἐπιτύχοις τῶν ἀγαθῶν, καὶ κληρονόμος γένοιο τῆς εὐλογίας τῆς ἐμῆς καὶ βασιλείας. »

Ὁ δὲ μεγαλόφρων καὶ εὐγενὴς ὡς ἀληθῶς νεανίας τῆς τοῦ πατρὸς περιττολογίας καὶ ἀνοήτου ἀντιβολῆς ἀκούσας, καὶ γνοὺς τὰς τοῦ σκολιοῦ δράκοντος μηχανάς, ὡς ἐκ τῶν δεξιῶν αὐτοῦ (2) τοῖς ποσὶν ἡτοίμασε παγίδα, κατακάμψαι (3) τὴν θεοειδῆ ψυχὴν τεχναζόμενος καὶ πρὸς τὸ προκείμενον ἐμποδίσαι βραβεῖον, τὸ δεσποτικὸν πρὸ ὀφθαλμῶν ἔθετο πρόσταγμα, « Οὐκ ἦλθον βαλεῖν εἰρήνην » εἰπόντος (4), « ἀλλὰ » μάχην καὶ μάχαιραν· ἦλθον γὰρ διχάσαι υἱὸν κατὰ » τοῦ πατρὸς αὐτοῦ καὶ θυγατέρα κατὰ τῆς μητρὸς » αὐτῆς », καὶ τὰ ἑξῆς, καὶ ὅτι « Ὁ φιλῶν πατέρα ἢ » μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος », καί, « Ὅστις (5) » με ἀρνήσεται ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι » αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐ» ρανοῖς. » Ταῦτα λογισάμενος, καὶ τῷ θείῳ φόβῳ τὴν

(1) Hanc formulam tractavi p. 101. Lepida sunt exempla ap. Athenæum XIII, 8, ex Eubulo et Aristophonte. Hujus versus, Ἐλάμβανε γυναῖκ', ὁ δ' ὕστερον λαβὼν, non claudicabit, scripto ἐλάμβανεν. Symeon Sethi De Ichnel. p. 302 : τούτῳ γὰρ τῷ τρόπῳ οἱ μὲν ἔνδοθεν τῷ καπνῷ συμπνιγήσονται, αἱ δὲ ἔξω ἐρχόμεναι (αἱ γλαῦκες) καταφλεγήσονται κἀκεῖ κακῶς. Forsan κακοὶ κακῶς. Judex esto Sinnerus, qui Symeonis librum ad optimum codicem recensuit estque editurus.

(2) An respectu ad Zachar. III, 1, καὶ ὁ Διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ τοῦ ἀντικεῖσθαι αὐτῷ?

(3) C, καταπέμψαι.

(4) Matth. x, 34. . . . A sine μάχην καί.

(5) Ibid. 33.

ψυχὴν πεδήσας, τῷ πόθῳ τε καὶ ἔρωτι ἐνισχύσας, τὸ Σολομόντειον ἐκεῖνο ῥῆμα πάνυ κατὰ καιρὸν ἐξελάβετο, « Καιρὸς » φάσκον (1), « τοῦ φιλῆσαι καὶ » καιρὸς τοῦ μισῆσαι, καιρὸς πολέμου καὶ καιρὸς εἰρή- » νης. » Καὶ πρῶτα μὲν, καλὰ νοῦν εὐξάμενος, « Ἐλέη- » σόν με, Κύριε (2) », εἶπεν, « ὁ Θεὸς ἐλέησόν με, ὅτι » ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου, καὶ ἐν τῇ σκιᾷ τῶν » πτερύγων σου ἐλπιῶ ἕως οὗ παρέλθῃ (3) ἡ ἀνομία· » κεκράξομαι πρὸς τὸν Θεὸν τὸν ὕψιστον, τὸν Θεὸν » τὸν εὐεργετήσαντά με », καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ. Εἶτα φησὶ πρὸς τὸν βασιλέα·

« Τὸ μὲν θεραπεύειν πατέρα καὶ τοῖς αὐτοῦ ὑπείκειν προστάγμασιν, εὐνοίᾳ τε καὶ φιλίᾳ καθυπηρετεῖν, ὁ κοινὸς ἡμᾶς διδάσκει δεσπότης, φυσικὴν ἡμῖν τὴν τοιαύτην ἐγκατασπείρας στοργήν· ὅταν δὲ ἡ τῶν γονέων σχέσις καὶ φιλία (4) πρὸς αὐτὸν φέρῃ τὸν κίνδυνον τὴν ψυχὴν καὶ τοῦ δημιουργοῦ πόῤῥω ποιῇ (5), ἐκκόπτειν ταύτην παντάπασι προστετάγμεθα, καὶ μηδόλως εἴκειν τοῖς χωρίζουσιν ἡμᾶς τοῦ Θεοῦ, ἀλλὰ μισεῖν τούτους καὶ ἀποστρέφεσθαι, κἂν πατὴρ ὁ τὰ ἀπευκταῖα ἐπιτάττων εἴη, κἂν μήτηρ, κἂν βασιλεὺς,

(1) Eccles. III, 8.

(2) Psalm. LVI, 1, 2.

(3) C, παρέλθοι. A, παρέλθῃ, e correctione. Psellus De dæmon. p. 94 : κἂν θλίβηται τὸ νεῦρον, καὶ ψύχηται, κἂν ἄλλο δήτοι πάθοι. Bene codex 1310, δή τι πάθῃ.

(4) Synonymo φιλίᾳ quid sit σχέσις ipse declarat. Monui de hoc sensu t. II, p. 370. Isaacius Porphyr. De prætermissis pag. 279 : σχέσει μητρῴᾳ πάλιν τὸν παῖδα ἐνεκολπίσατο.

(5) A, ποιεῖ. Sæpissime confusionem vocalium η et ει tractavi, vitiata loca emendaturus. Sic t. II, p. 273, Libanio medicinam feci, eamque optimam, quod securus profiteor; nam a Lobeckio jam fuerat inventa ac proposita ad Ajac. pag. 400 ; quod tunc vel ignorabam vel non memineram.

κἂν τῆς ζωῆς αὐτῆς κύριος. Διὰ ταῦτα τῆς πατρικῆς μὲν σχέσεως ἕνεκα τὸν Θεὸν ζημιωθῆναι τῶν ἀδυνάτων μοι ἐστί. Διὸ μήτε σεαυτῷ κόπους πάρεχε, μήτε ἐμοί· ἀλλ' ἢ πείσθητι καὶ τῷ ζῶντι ἄμφω καὶ ἀληθινῷ λατρεύσωμεν Θεῷ· ἃ γὰρ νῦν σέβῃ εἴδωλα, εἰσὶν χειρῶν ἀνθρωπίνων ἔργα (1), πνοῆς ἔρημα καὶ κωφά, μηδὲν ὅλως ἢ μόνην ἀπώλειαν καὶ τιμωρίαν αἰώνιον τοῖς αὐτὰ σεβομένοις προξενοῦντα· εἰ δὲ μὴ τοῦτο βούλοιο, ποίει εἰς ἐμὲ ὅπερ σοι δοκεῖ· δοῦλος γάρ εἰμι τοῦ Χριστοῦ, καὶ οὔτε θωπείαις, οὔτε κολάσεσι τῆς αὐτοῦ ἀποστήσομαι ἀγάπης (2), καθὰ δὴ καὶ τῇ προτεραίᾳ εἶπόν σοι, μέσον ἐμβαλὼν τὸ τοῦ δεσπότου μου ὄνομα καὶ ἀσφαλέστατα τὸν λόγον ἐμπεδωσάμενος. »

« Ὅτι δὲ μήτε ἑκὼν ἔφησας κακουργεῖν, μήτε μὴν ἀγνοίᾳ διαμαρτάνειν τοῦ ἀγαθοῦ, ἀλλὰ πολλῇ καὶ ἐμπόνῳ συζητήσει τοῦτο ἔγνως ὄντως εἶναι καλόν, τὸ εἰδώλοις λατρεύειν καὶ ταῖς ἡδοναῖς τῶν παθῶν προσηλῶσθαι, κακουργεῖν μέν σε ἐθελοντὶ οὐκ ἔχω λέγειν, ὅτι δὲ πολλή σοι περικέχυται ἀγνωσίας ἀχλύς, καὶ ὡς ἐν σκότει ψηλαφητῷ (3) πορευόμενος οὐδόλως ὁρᾷς φωτὸς κἂν μικράν τινα μαρμαρυγήν, ὅθεν τὴν εὐθεῖαν (4) ἀπολέσας κρημνοῖς καὶ φάραγξι δεινοῖς περιπεπλάνησαι, τοῦτο κἀγὼ βεβαίως ἐπίσταμαι καὶ σέ,

(1) Psalm. CXIII, 4: τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύρεον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.

(2) Epist. ad Rom. VIII, 39: οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ. Cf. 35, 37.

(3) Respectu ad Exod. X, 21.

(4) C, τ. εὐθ. ὁδόν. Omisi ὁδὸν, cujus est cum adjectivo εὐθεῖα frequens ellipsis, et quod, ob sequens φάραγξι, videretur fere meminisse auctor verborum Lucæ III, 5: πᾶσα φάραγξ πληρωθήσεται. . . καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας. A, φαράγγοις. In C, inter φάραγξι, sic, et δεινοῖς, est lacunula.

πάτερ, γινώσκειν βούλομαι. Διὸ σκότος ἀντὶ φωτὸς κατέχων καὶ θανάτου ὥσπερ ζωῆς ἀντεχόμενος, οἴει συμφερόντως βεβουλεῦσθαι καὶ λυσιτελῶς ἐντεθυμῆσθαι (1)· ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. Οὔτε γὰρ ἅπερ σέβῃ θεοί εἰσιν, ἀλλὰ στῆλαι δαιμόνων, πᾶσαν αὐτῶν τὴν μυσαρὰν ἐνέργειαν ἔνδον ἔχουσαι· οὔτε ἥνπερ γλυκεῖαν ἀποκαλεῖς καὶ ἐνήδονον βιοτὴν, τερπνότητός τε καὶ θυμηδίας δοκεῖς πεπληρῶσθαι, τῆς τοιαύτης ἔχει φύσεως, ἀλλὰ βδελυκτή ἐστιν αὕτη, κατά γε τὸν τῆς ἀληθείας λόγον, καὶ ἀποτρόπαιος. Πρὸς καιρὸν γὰρ γλυκαίνει καὶ λεαίνει τὸν φάρυγγα (2), ὕστερον δὲ πικροτέρας χολῆς ποιεῖται τὰς ἀναδόσεις, ὡς ὁ ἐμὸς ἔφη διδάσκαλος, καὶ ἠκονημένη μᾶλλον μαχαίρας διστόμου (3). Καὶ πῶς ἄν σοι τὰ ταύτης κακὰ διηγησαίμην; «ἐξαριθμήσομαι αὐτὰ, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται (4).» Ἄγκιστρον γάρ ἐστι τοῦ Διαβόλου, ὡς δέλεαρ τὴν βδελυρὰν περικειμένη ἡδονὴν, δι' οὗ τοὺς ἀπατωμένους εἰς τὸν τοῦ ᾅδου καθέλκει πυθμένα (5).»

«Τὰ δὲ παρὰ τοῦ ἐμοῦ δεσπότου ἐπηγγελμένα ἀγαθὰ, ἅπερ σὺ ἀδήλου ζωῆς ἐλπίδα ὠνόμασας, ἀψευδῆ εἰσὶ καὶ ἀναλλοίωτα, τέλος οὐκ οἶδε, φθορᾷ οὐχ ὑπόκειται· λόγος οὐκ ἔστιν ὁ παραστῆσαι τὸ μέγεθος τῆς δόξης ἐκείνης καὶ τερπνότητος ἰσχύων, τῆς

(1) AC, ἐντεθυμεῖσθαι. Rursus η et ει confusæ, ut fuerunt in Basilii Præceptis c. 50 : κἂν γὰρ ἑτέρους πταίοντας λογοθετεῖς, ἀλλὰ καὶ αὐτὸς τῶν σεαυτοῦ σφαλμάτων λογοθέτην ἔχεις τὸν θεόν. Bene cod. 2991 A, λογοθετῇς. Ibidem : ἃ γὰρ ἂν τοῖς συνδούλοις ποιήσεις, ταῦτα παρὰ τοῦ κοινοῦ δεσπότου ἀνταποδέξῃ. Iterum bene codex, ποιήσῃς.

(2) A sine καὶ λεαίνει. Prov. XXIV, 13 : ἵνα γλυκανθῇ σου ὁ φάρυγξ. Cf. p. 110, 13.

(3) Cf. Epist. ad Hebr. IV, 12.

(4) Psalm. CXXXVIII, 18.

(5) Dixit auctor Proverbiorum XIV, 12; XVI, 25 : ἔρχεται, βλέπει εἰς πυθμένα ᾅδου.

χαρᾶς τῆς ἀνεκλαλήτου, τῆς διηνεκοῦς εὐφροσύνης. Πάντες μὲν γὰρ, καθάπερ αὐτὸς ὁρᾷς, ἀποθνήσκομεν, καὶ οὐκ ἔστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον· μέλλομεν δὲ πάντες ἀνίστασθαι, ἡνίκα ἐλεύσεται κύριος Ἰησοῦς Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ, ἐν δόξῃ ἀνεκλαλήτῳ καὶ δυνάμει φοβερᾷ (1), « ὁ μόνος βα- » σιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόν- » των (2), ᾧ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπι- » γείων καὶ καταχθονίων (3) »· καὶ τοσαύτην ἐμποιήσει τότε τὴν ἔκστασιν, ὡς καὶ αὐτὰς ἐκπλαγῆναι τὰς οὐρανίους δυνάμεις (4)· καὶ παραστήσονται αὐτῷ τρόμῳ χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες Ἀγγέλων καὶ Ἀρχαγγέλων (5), καὶ πάντα ἔσται φόβου καὶ τρόμου μεστά· σαλπιεῖ γὰρ εἷς τῶν Ἀρχαγγέλων ἐν σάλπιγγι Θεοῦ (6). Καὶ εὐθὺς ὁ οὐρανὸς μὲν εἱλιγήσεται ὡς βιβλίον (7), ἡ γῆ δὲ ἀναῤῥηγνυμένη ἀναπέμψει τὰ τεθνεῶτα σώματα τῶν πώποτε γενομένων ἀνθρώπων, ἐξ οὗ γέγονεν « ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ (8) » μέχρι τῆς ἡμέρας ἐκείνης. Καὶ τότε πάντες οἱ ἀπ' αἰῶνος θανόντες « ἐν ῥιπῇ ὀφθαλμοῦ (9) » ζῶντες

(1) Luc. XXI, 25 : καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ, μετὰ δυνάμεως καὶ δόξης πολλῆς. Cf. supra p. 63.

(2) I Epist. ad Tim. VI, 15.

(3) Epist. ad Philipp. II, 10.

(4) Conf. p. 63, n. 4.

(5) Daniel VII, 10 : χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ. Cf. p. 62, n. 3.

(6) Cf. p. 63, n. 6, ubi leg. « I Epist. » Adde I Cor. XV, 52.

(7) Cf. p. 75, n. 3.

(8) I Cor. XV, 45.

(9) I Cor. XV, 52. — Theodorus Prodr. Tetrast. in Hexaem. p. 2 : Ἐν ἡμέραις ἓξ τὴν κτίσιν κτίζεις, Λόγε, οὐχ ὡς ῥιπῇ τὸν κόσμον ἀσθενῶν κτίσαι, Ἀλλ' ἵνα... Codex 400, ῥοπῇ. Potest ambigi. Nam dixerunt ἐν ῥοπῇ καιροῦ, vel ἐν ῥοπῇ, pro temporis brevissimo momento. Basilius Hom. Mor. pag. 241 : ἰδὼν δέκα παῖδας ἐν βραχείᾳ καιροῦ ῥοπῇ συντριβέντας·

παραστήσονται τῷ βήματι τοῦ ἀθανάτου δεσπότου, καὶ ἕκαστος λόγον δώσει ὑπὲρ ὧν ἔπραξε. Τότε οἱ δίκαιοι λάμψουσιν ὡς ἥλιος (1), οἱ πιστεύσαντες εἰς Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα, καὶ ἐν ἔργοις ἀγαθοῖς τελέσαντες τὸν παρόντα βίον. Πῶς δέ σοι διηγήσομαι τὴν μέλλουσαν αὐτοὺς τότε διαδέχεσθαι δόξαν; Κἂν γὰρ τῷ ἡλιακῷ παραβάλλω φωτὶ τὴν λαμπρότητα αὐτῶν καὶ τὸ κάλλος, κἂν ἀστραπῇ τῇ φανοτάτῃ (2), οὐδὲν τῆς λαμπρότητος ἐκείνης ἄξιον ἐρῶ· « ὀφθαλ-
» μὸς (3) γὰρ οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρ-
» δίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς
» ἀγαπῶσιν αὐτῶν » ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἐν τῷ φωτὶ τῷ ἀπροσίτῳ (4), ἐν τῇ δόξῃ τῇ ἀποῤῥήτῳ καὶ ἀτελευτήτῳ. »

« Καὶ οἱ μὲν δίκαιοι τοιούτων τεύξονται τῶν ἀγαθῶν, τοιαύτης δὲ τῆς μακαριότητος· οἱ δὲ τὸν ὄντως ὄντα Θεὸν ἀρνησάμενοι, καὶ τὸν πλάστην καὶ δημιουργὸν ἀγνοήσαντες, δαίμοσι δὲ μιαροῖς λατρεύσαντες, καὶ εἰδώλοις κωφοῖς τὸ σέβας ἀπονείμαντες, τὰς ἡδο-

quem vide et p. 264. Theophilus Alex. Homil. « Cujus rei homo », p. 2 de Adamo : πασῶν τῶν θείων δωρεῶν ἐν μιᾷ ῥοπῇ γυμνωθεὶς ἐξέπεσε. Joann. Clim. p. 34 : τῷ κόπῳ πολλῷ κατορθούμενον δυνατὸν ἐν μιᾷ ῥοπῇ ἀπολέσθαι. Idem p. 397 : οὐκ ἔστι τὸν μακρὰν νενοσηκότα νόσον ἐν μιᾷ ῥοπῇ τὴν ὑγείαν κτήσασθαι. In utroque loco anonymus ad marginem exemplaris regii (cf. t. I, p. 105, n. 2) καιροῦ ante ῥοπῇ inseruit, e codice, puto. Sap. Salom. XVIII, 12 : πρὸς μίαν ῥοπὴν ἡ ἐντιμοτέρα γένεσις αὐτῶν διεφθάρη. Symeon Sethi De Ichnel. pag. 112.

(1) Verba Christi apud Matth. XIII, 43. Hinc Greg. Naz. Orat. XL, p. 640 : ἡνίκα ἐκλάμψουσιν οἱ δίκαιοι ὡς ὁ ἥλιος.

(2) A, prius φανωτάτῃ, nunc φανοτ. Didymus Cæcus Fragm. p. 83 Mingar. : φανωτάτης οὔσης οὐσίας τῶν Ἀγγέλων· imo φανοτάτης. Cf. t. II, p. 484.

(3) Conf. p. 60, n. 2.

(4) Conf. p. 44, n. 2.

νάς τε τοῦ ματαίου βίου τούτου ποθήσαντες, καὶ δίκην χοίρων τῷ βορβόρῳ τῶν παθῶν κυλισθέντες, καὶ πάσης (1) κακίας ὁρμητήριον τὰς ἑαυτῶν ψυχὰς ποιησάμενοι, στήσονται γυμνοὶ καὶ τετραχηλισμένοι, κατῃσχυμμένοι καὶ κατηφεῖς, ἐλεεινοὶ καὶ τῷ σχήματι καὶ τῷ πράγματι, ὄνειδος προκείμενοι πάσῃ τῇ κτίσει· πάντα δὲ αὐτῶν τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν διανοίᾳ, πρὸ προσώπου αὐτῶν ἐλεύσονται. Εἶτα, μετὰ τὴν αἰσχύνην ἐκείνην τὴν χαλεπωτάτην καὶ τὸ ὄνειδος ἐκεῖνο τὸ ἀφόρητον, καταδικασθήσονται εἰς τὸ πῦρ τῆς γεέννης τὸ ἄσβεστον καὶ ἀφεγγὲς (2), εἰς τὸ σκότος τὸ ἐξώτερον, τὸν βρυγμὸν τῶν ὀδόντων καὶ σκώληκα τὸν ἰοβόλον (3). Αὕτη ἡ μερὶς αὐτῶν, οὗτος ὁ κλῆρος, οἷς εἰς αἰῶνας συνέσονται τοὺς ἀτελευτήτους τιμωρούμενοι, ἀνθ' ὧν, τὰ ἐν ἐπαγγελίαις ἀγαθὰ παρωσάμενοι, διὰ πρόσκαιρον ἁμαρτίας ἡδονὴν κόλασιν αἰώνιον ἐξελέξαντο. Ὑπὲρ δὴ τούτων, ὥστε τῆς ἀῤῥήτου μὲν χαρᾶς ἐκείνης ἐπιτυχεῖν καὶ τῆς ἀποῤῥήτου δόξης ἀπολαύειν, τοῖς Ἀγγέλοις δὲ ἀντιλάμπειν, καὶ τῷ ἀγαθῷ καὶ γλυκυτάτῳ δεσπότῃ μετὰ παῤῥησίας παρίστασθαι, τὰς πικροτάτας δὲ τιμωρίας καὶ ἀτελευτήτους καὶ τὴν ὀδυνηρὰν ἐκείνην ἐκφυγεῖν αἰσχύνην, πόσα οὐκ ἄξιον προέσθαι καὶ χρήματα καὶ

(1) C, ποθήσαντες καὶ πάσης, mediis omissis. Lacunam peperit participiorum τὸ ὁμοιοτέλευτον, quam mendorum causam sæpius attigi, eruditeque tractavit nuper Walzius, Epistola critica, pag. 47, quæ summæ industriæ diligentiæque eximiæ documentum est insigne, et omnia præclara ab auctore nos exspectare jubet. Ibi autem inter restitutos, quos homœoteleuton mutilos fecit, locos, versum hunc lego: χάριεν ἔστ' ἄνθρωπος ὅστ' ἄνθρωπος ᾖ. Scripserat forsan poeta, χάριεν γάρ ἐσ', vel, ὡς χάριεν ἐσ', vel —

(2) Conf. p. 217, n. 1.

(3) Conf. p. 66.

σώματα, μᾶλλον δὲ καὶ αὐτὰς τὰς ψυχάς; Τίς οὕτως ἀγεννής, τίς οὕτως ἀσύνετος, ὡς μὴ μυρίους ὑποστῆναι προσκαίρους θανάτους, ἵνα τοῦ αἰωνίου ἀπαλλαγῇ καὶ ἀτελευτήτου θανάτου, τὴν ζωὴν δὲ κληρονομήσῃ τὴν μακαρίαν τε καὶ ἀνώλεθρον, καὶ τῷ φωτὶ περιλαμφθῇ τῆς μακαρίας καὶ ζωαρχικῆς Τριάδος (1); »

Τούτων ἀκούσας ὁ βασιλεὺς τῶν ῥημάτων, καὶ τὸ στερέμνιον καὶ ἀνένδοτον ἰδὼν τοῦ παιδὸς μήτε κολακείαις εἴκοντος (2) μήτε λόγων πειθοῖ, μὴ τιμωριῶν ἀπειλαῖς, ἐθαύμαζε μὲν ἐπὶ τῇ πιθανότητι τοῦ λόγου καὶ ταῖς ἀναντιῤῥήτοις ἀποκρίσεσιν, ἠλέγχετο δὲ ὑπὸ τοῦ συνειδότος, ἀληθῆ λέγειν αὐτὸν καὶ δίκαια ὑποδεικνύοντος· ἀλλ' ἀνθείλκετο ὑπὸ τῆς πονηρᾶς συνηθείας καὶ τῶν ἐν ἕξει βεβαιωθέντων ἐν αὐτῷ παθῶν, ὑφ' ὧν ὡς ἐν κημῷ κατείχετο καὶ χαλινῷ (3), τῷ φωτὶ μὴ συγχωρούμενος προσβλέψαι τῆς ἀληθείας. Ὅθεν πάντα λίθον, τὸ τοῦ λόγου, κινῶν (4), εἴχετο τοῦ πάλαι σκοποῦ, τὴν προμελετηθεῖσαν αὐτῷ μετὰ τοῦ Ἀραχῆ σκῆψιν εἰς ἔργον ἀγαγεῖν βουλόμενος. Καὶ φησὶ τῷ παιδί·

« Ἔδει μέν σε, ὦ τέκνον, τοῖς ἐμοῖς ἁπλῶς εἴκειν ἐν πᾶσι προστάγμασιν· ἀλλ' ἐπεί, σκληρὸς ὢν καὶ ἀπειθής, ἰσχυρῶς οὕτως ἀντέστης μοι, τὴν ἰδίαν ἐνιστάμενος γνώμην κυριωτέραν πάντων ποιήσασθαι, δεῦρο δὴ τῇ ματαίᾳ ἐνστάσει χαίρειν ἄμφω εἰπόντες, πειθοῖ πολιτευσώμεθα. Καὶ ἐπεὶ ὁ σὲ ἀπατήσας

(1) Conf. p. 60 extr.
(2) AC, εἴκοντα. Fors. et εἶκον.
(3) Cf. Psalm. xxxi, 9.
(4) De hoc proverbio vide p. 9, n. 1. Joannes Antioch. in Monum. Cotel. t. i, pag. 160 : πάντα λίθον ἐκίνησε, τὸ τοῦ λόγου, τὴν ἐξαφθεῖσαν στάσιν κατασβέσαι φιλονεικῶν.

Βαρλαὰμ σιδηρόδεσμιος παρ' ἐμοὶ τυγχάνει, ἐκκλησιάσας ἐκκλησίαν μεγάλην, καὶ πάντας ἡμετέρους τε καὶ Γαλιλαίους ἐπὶ τὸ αὐτὸ συγκαλέσας, κήρυκάς τε διαῤῥήδην βοᾷν θεσπίσας τοῦ μηδένα τῶν χριστιανῶν δεδοικέναι, ἀλλ' ἀφόβως πάντας συνεισελθεῖν, κοινῇ διασκεψώμεθα γνώμῃ. Καὶ ἢ, πείσαντες, ὑμεῖς μετὰ τοῦ ὑμετέρου Βαρλαὰμ τεύξεσθε ὧν ἐσπουδάκατε· ἢ, πεισθέντες, σὺν ἑκουσίᾳ τῇ γνώμῃ τοῖς προστάγμασί μου ὑπείκειν προθυμηθείητε. »

Ὁ δὲ φρόνιμος τῷ ὄντι καὶ ἐχέφρων νεανίας, διὰ τοῦ θεόθεν αὐτῷ (1) ἐμφανισθέντος ὁράματος τὴν τοῦ βασιλέως προδεδιδαγμένος σκαιωρίαν, ἔφη· « Τὸ θέλημα τοῦ Κυρίου γενέσθω, καὶ ἔστω καθὼς ἐκέλευσας· αὐτὸς γὰρ ὁ ἀγαθὸς Θεὸς καὶ (2) δεσπότης δῴη τῆς εὐθείας μὴ πλανηθῆναι ἡμᾶς· ἐπ' αὐτῷ γὰρ πέποιθεν ἡ ψυχή μου, καὶ αὐτὸς ἐλεήσει με (3). » Τότε δὴ τότε κελεύει ὁ βασιλεὺς πάντας ἀθροίζεσθαι εἰδωλολάτρας τε καὶ χριστιανοὺς, γραμμάτων μὲν πανταχοῦ διαπεφοιτηκότων, κηρύκων τε ἀνὰ πάσας τὰς κωμοπόλεις βοώντων τοῦ μηδένα τῶν χριστιανῶν δεδοικέναι ὥστε ἀδόκητόν τι ὑποστῆναι, ἀλλ' ἀδεῶς πάντας καθ' ἑταιρείαν καὶ συγγένειαν ἐπὶ τὸ αὐτὸ συνελθεῖν ἐπὶ φιλαλήθει (4) καὶ οὐ βεβιασμένῃ συζητήσει, μετὰ τοῦ ἐξάρχου καὶ καθηγεμόνος αὐτῶν μελλούσῃ γενέσθαι Βαρλαάμ. Ὡσαύτως δὲ καὶ τοὺς μύστας καὶ νεωκόρους τῶν εἰδώλων καὶ σοφοὺς τῶν Χαλδαίων καὶ Ἰνδῶν, τοὺς κατὰ πᾶσαν τὴν ὑπ' αὐτὸν ἀρχὴν ὄντας, συν-

(1) A sine αὐτῷ.

(2) A sine Θεὸς καί.

(3) Psalm. LVI, 1 : ἐλέησόν με, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου.

(4) A, φιλαλήθω. C, φιλαλήθει, e correctione.

ἐκαλέσατο, καί τινας οἰωνοσκόπους καὶ γόητας καὶ μάντεις, ὅπως ἂν χριστιανῶν περιγένοιντο.

Καὶ δὴ συνῆλθον πρὸς τὸν βασιλέα πλῆθος πολὺ τῆς μυσαρᾶς αὐτοῦ θρησκείας· χριστιανῶν δὲ εἷς εὑρέθη μόνος εἰς βοήθειαν ἐλθὼν τοῦ νομιζομένου Βαρλαὰμ, ὀνόματι Βαραχίας (1). Οἱ μὲν γὰρ τῶν πιστῶν θανόντες ἦσαν ὑπὸ τῆς τῶν κατὰ πόλιν ἀρχόντων μανίας κατασφαγέντες· οἱ δὲ ἐν ὄρεσιν ἀπεκρύπτοντο καὶ σπηλαίοις τῷ φόβῳ τῶν ἐπικειμένων δεινῶν. Ἄλλοι δὲ ἐδεδοίκεσαν τὴν ἀπειλὴν τοῦ βασιλέως, καὶ οὐκ ἐτόλμων ἑαυτοὺς εἰς φῶς ἀγαγεῖν· ἀλλὰ νυκτερινοὶ ἦσαν θεοσεβεῖς, ἐν τῷ λεληθότι τῷ Χριστῷ λατρεύοντες καὶ μηδαμῶς παρρησιαζόμενοι. Ἐκεῖνος δὲ μόνος, γενναῖος ὢν τὴν ψυχὴν, εἰς συναγωνισμὸν ἦλθε τῆς ἀληθείας.

Προκαθίσας (2) τοίνυν ὁ βασιλεὺς ἐπὶ βήματος ὑψηλοῦ τε καὶ μετεώρου, συνεδριάζειν αὐτῷ τὸν υἱὸν ἐκέλευσεν. Ὁ δὲ, τῇ πρὸς τὸν πατέρα εὐλαβείᾳ καὶ τιμῇ τοῦτο μὴ θελήσας ποιῆσαι, ἐπὶ τῆς γῆς πλησίον αὐτοῦ ἐκάθισε. Παρέστησαν τοίνυν οἱ ἐπιστήμονες τῆς μωρανθείσης παρὰ τοῦ Θεοῦ σοφίας (3), ὧν ἐπλανήθη ἡ ἀσύνετος καρδία (4), καθὼς φησὶν ὁ Ἀπό-

(1) A ad marginem, manu altera : ὃν καὶ κληρονόμον τῆς βασιλείας αὐτοῦ ἐς ὕστερον ὁ καλὸς Ἰωάσαφ καταλιπὼν καὶ οἰκείαις χερσὶ στέφει, καὶ διαδήματι τιμήσας πρὸς τὸν ποθούμενον Βαρλαὰμ ἀπῆλθεν. Conjeci ἀπῆλθεν, quum bibliopegus reliquerit tantum ἀπ vel ἐπ.

(2) A, προκαθήσας. Permutatio solennis est. Demetrius Phal. § 201 ex Oratore recitat sententiam, cujus verba Βυζάντιον ἐπολιόρκισεν ne sumantur in exemplum verbi πολιορκίζω, monebo esse ἐπολιόρκησε in codice 1741.

(3) I Epist. ad Corinth. I, 20 : οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου;

(4) Epist. ad Rom. I, 21 : ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία.

στολος· « δοκοῦντες γὰρ (1) εἶναι σοφοὶ ἐμωράνθησαν, » καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώ- » ματι θνητῶν ἀνθρώπων καὶ τετραπόδων καὶ ἑρπετῶν. » Οὗτοι συνῆλθον συνᾶραι λόγον πρὸς τὸν τοῦ βασιλέως υἱὸν καὶ τοὺς περὶ αὐτὸν, καὶ ἐπληροῦτο ἐπ' αὐτοῖς τὸ τῆς παροιμίας, ὅτι πρὸς λέοντα δορκὰς μάχης ἥπτετο. Ὁ μὲν γὰρ τὸν ὕψιστον ἔθετο καταφυγὴν αὐτοῦ (2), καὶ ἐν τῇ σκιᾷ ἤλπισε τῶν αὐτοῦ πτερύγων (3)· οἱ δὲ τοῖς ἄρχουσιν ἐπεποίθησαν (4) τοῦ αἰῶνος τούτου τοῖς καταργουμένοις, καὶ τῷ κοσμοκράτορι τοῦ σκότους (5), ᾧ καθυπέταξαν ἑαυτοὺς ἐλεεινῶς καὶ ἀθλίως.

Ἄγεται τοίνυν ὁ Ναχὼρ τὸν Βαρλαὰμ ὑποκρινόμενος· καὶ οἱ μὲν περὶ τὸν βασιλέα τοῦ τοιούτου εἴχοντο σκοποῦ· ἑτέρα δὲ πάλιν ἡ σοφὴ πρόνοια ἄνωθεν ᾠκονόμει. Παρισταμένων γὰρ τούτων ἁπάντων φησὶν ὁ βασιλεὺς τοῖς ῥήτορσιν αὐτοῦ καὶ φιλοσόφοις, μᾶλλον δὲ τοῖς λεωπλάνοις (6) καὶ ἀσυνέτοις τὴν καρδίαν·

« Ἰδοὺ δὴ ἀγὼν ὑμῖν πρόκειται καὶ ἀγώνων ὁ μέγιστος. Δυοῖν γὰρ θάτερον γενήσεται ὑμῖν· ἢ τὰ ἡμέτερα κρατύναντας, καὶ (7) πλανᾶσθαι τὸν Βαρλαὰμ

(1) Ep. ad Rom. I, 22, 23.

(2) Psalm. XC, 9 : τὸν ὕψιστον ἔθου καταφυγήν σου.

(3) Psalm. LVI, 1 : ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ.

(4) Psalm. CXLV, 3 : μὴ πεποίθατε ἐπ' ἄρχοντας.

(5) Conf. p. 13, n. 3.

(6) C, λαοπλάνοις. A, λεοπλάνοις. Permutatio nota vocalium ω et ο. Isaacius Porphyr. De Prætermp. p. 263 : τὴν διάθεον ἁρπαγὴν τῆς Ἑλένης. Rescribo τὴν διὰ θεῶν ἁρπ., ut est in cod. 817.

(7) A sine καί. Synesius Calvit. p. 63 : ἐπειδὴ προσέκειτο μᾶλλον, ἄλλης ἐπ' ἄλλῃ πιπτούσης, ἤδη δὲ σὺν δύο καὶ κατὰ πλείους. Inveni, quod amplector, in codicibus duobus, ἤδη δὲ καὶ σύνδυο.

καὶ τοὺς σὺν αὐτῷ ἐλέγξαντας, δόξης μεγίστης καὶ τιμῆς παρ' ἡμῶν τε καὶ πάσης τυχεῖν τῆς συγκλήτου καὶ στεφάνοις νίκης καταστεφθῆναι· ἢ ἡττηθέντας σὺν πάσῃ αἰσχύνῃ κακῶς θανατωθῆναι, πάντα δὲ τὰ ὑμέτερα τῷ δήμῳ δοθῆναι, ὡς ἂν παντάπασιν ἐξαρθῇ τὸ μνημόσυνον ὑμῶν ἀπὸ τῆς γῆς. Τὰ μὲν γὰρ σώματα ὑμῶν θηρίοις δώσω παρανάλωμα, τὰ δὲ τέκνα ὑμῶν διηνεκεῖ καταδουλώσω δουλείᾳ. »

Τούτων οὕτως εἰρημένων τῷ βασιλεῖ, ὁ υἱὸς αὐτοῦ ἔφη· « Κρίμα δίκαιον σήμερον ἔκρινας, ὦ βασιλεῦ· κρατύναι Κύριος ταύτην σου τὴν γνώμην. Κἀγὼ δὲ τὰ αὐτά φημι τῷ ἐμῷ διδασκάλῳ. » Καὶ ἐπιστραφεὶς λέγει τῷ Ναχώρ, ὃς ἐνομίζετο Βαρλαὰμ εἶναι· « Οἶδας, ὦ Βαρλαάμ, ἐν τίνι με δόξῃ εὕρηκας καὶ τρυφῇ· καὶ λόγοις πλείστοις ἔπεισάς με τῶν μὲν πατρῴων ἀποστῆναι νόμων τε καὶ ἐθῶν, ἀγνώστῳ δὲ λατρεῦσαι θεῷ, ἀρρήτων τινῶν καὶ αἰωνίων ἀγαθῶν ἐπαγγελίαις ἑλκύσας μου τὸν νοῦν τοῖς σοῖς ἐξακολουθῆσαι δόγμασι καὶ τὸν ἐμὸν παραπικρᾶναι πατέρα τε καὶ δεσπότην; Νῦν οὖν ὡς ἐπὶ τρυτάνης νόμιζε σεαυτὸν ἑστάναι. Εἰ μὲν γάρ, νικήσας τὴν προκειμένην πάλην, ἀληθῆ σου τὰ δόγματα δείξεις ἅ μοι ἐδίδαξας, πλανωμένους δὲ ἐλέγξεις τοὺς σήμερον ἡμῖν ἀντιπίπτοντας, σὺ μὲν δοξασθήσῃ ὡς οὐδεὶς τῶν πώποτε γεγονότων καὶ κῆρυξ ἀληθείας κληθήσῃ, ἐγὼ δὲ τῇ σῇ ἐμμενῶ διδαχῇ καὶ τῷ Χριστῷ λατρεύσω, καθὰ δὴ καὶ ἐκήρυξας, μέχρι τῆς τελευταίας μου ἀναπνοῆς· εἰ δέ, ἡττηθεὶς εἴτε δόλῳ εἴτε ἀληθείᾳ, αἰσχύνης μοι σήμερον πρόξενος γένῃ, θᾶττον ἐκδικήσω μου τὴν ὕβριν, χερσὶν οἰκείαις τήν τε καρδίαν σου καὶ τὴν γλῶτταν ἐξορύξας, κυσί τε βορὰν ταῦτα

σὺν τῷ λοιπῷ σου σώματι παραδοὺς, ἵνα παιδευθῶσι πάντες διὰ σοῦ μὴ πλανᾶν υἱοὺς βασιλέων.»

Τούτων ἀκούσας ὁ Ναχὼρ τῶν ῥημάτων (1), σκυθρωπὸς ἦν λίαν καὶ κατηφὴς, ὁρῶν ἑαυτὸν ἐμπίπτοντα τῷ βόθρῳ ᾧ εἰργάσατο (2) καὶ τῇ παγίδι ᾗ ἔκρυψε (3) συλλαμβανόμενον, καὶ τὴν ῥομφαίαν αὐτοῦ εἰς καρδίαν (4) αὐτοῦ κατανοῶν εἰσδυομένην. Συλλογισάμενος οὖν καθ' ἑαυτὸν, τῷ τοῦ βασιλέως υἱῷ μᾶλλον ἔγνω προστεθῆναι καὶ τὰ ἐκείνου κρατῦναι, τοῦ διαφυγεῖν τὸν ἐπηρτημένον αὐτῷ κίνδυνον, ὡς ἐκείνου εὐλόγως δυναμένου τιμωρήσασθαι αὐτὸν, εἴπερ παραπικραίνων εὑρεθείη. Τὸ δὲ πᾶν τῆς θείας ἦν προνοίας σοφῶς διὰ τῶν ἐναντίων τὰ ἡμέτερα βεβαιούσης. Ὡς γὰρ εἰς λόγους ἦλθον ἀλλήλοις οἱ μύσται τῶν εἰδώλων καὶ ὁ Ναχὼρ, καθάπερ τις ἄλλος Βαλαὰμ ὃς ἐπὶ τοῦ Βαλὰκ πολὲ, ἐπαράσασθαι τὸν Ἰσραὴλ προθέμενος, πολυειδέσιν αὐτὸν εὐλόγησεν εὐλογίαις (5), οὕτως καὶ ὁ Ναχὼρ ἰσχυρῶς τοῖς ἀσόφοις καὶ ἀσυνέτοις σοφοῖς ἀντικαθίστατο (6).

(1) Lector diligens adscripsit ad marginem codicis A, στίχος. Exciderunt sæpe auctoribus prosaicis versus, ac præsertim iambici. Multus fui ea de re ad Aristænetum p. 233, ac possem etiam hic multus esse, ni satius videretur brevitati circa talia nunc studere.

(2) Psalm. VII, 15: ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. Cf. Prov. XXVI, 27.

(3) Psalm. XXX, 4: ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι.

(4) Ps. XXXVI, 15: ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὴν καρδίαν αὐτῶν.

(5) Res narratur Num. XXII, XXIII, XXIV. Ibi XXIII, 11: εἰς κατάρασιν ἐχθρῶν μου κέκληκά σε, καὶ ἰδοὺ εὐλόγηκας εὐλογίαν. Dixit πολυειδέσιν εὐλογίαις, quum ter Balaam benedixerit Israel.

(6) C, ἀσόφοις ἀντικ. Media perierunt propter homœoteleuton. Basilius Præc. c. 35: μὴ γίνου τῇ γνώμῃ ἀχάριστος· μέρος γὰρ εὐσεβείας τὸ ἀνταποδιδόναι τοῖς εὐποιοῦσι τὰς χάριτας. Codex 2991 A: ..... ἀχάριστος, ἀλλ' ἔσο τοῖς τρόποις εὐχάριστος· μέρος ...

Καθεζομένου γὰρ τοῦ βασιλέως ἐπὶ τοῦ θρόνου, συνεδριάζοντος καὶ τοῦ υἱοῦ, καθάπερ ἔφημεν (1), παρεστώτων δὲ τῶν ὥσπερ ῥομφαίαν τὰς γλώσσας ἀκονησάντων (2) ἐπὶ καθαιρέσει τῆς ἀληθείας ἀσόφων ῥητόρων, οἵ, τὸ τοῦ Ἡσαΐου (3), « κύουσι πόνον καὶ » τίκτουσιν ἀνομίαν », συνελθόντων δὲ ἀπείρων λαῶν εἰς θέαν τοῦ ἀγῶνος ὥστε μαθεῖν ὁπότερον μέρος τὴν νίκην ἀποίσεται, λέγει τῷ Ναχὼρ εἷς τῶν ῥητόρων, ὁ τῶν σὺν αὐτῷ πάντων διαφορώτατος· « Σὺ εἶ ὁ ἀναισχύντως οὕτως καὶ ἰταμῶς εἰς τοὺς θεοὺς ἡμῶν ἐξυβρίζων Βαρλαάμ, καὶ τὸν φίλτατον υἱὸν τοῦ βασιλέως τοιαύτῃ περιβαλὼν τῇ πλάνῃ καὶ τῷ ἐσταυρωμένῳ διδάξας λατρεύειν; »

Καὶ ὁ Ναχώρ « Ἐγώ εἰμί » ἀπεκρίνατο, « ἐγὼ εἰμὶ Βαρλαάμ, ὁ τοὺς θεούς σου μὲν ἐξουθενῶν, καθὼς εἴρηκας, τὸν υἱὸν δὲ τοῦ βασιλέως οὐ πλάνῃ περιβαλών, ἀλλὰ πλάνης ἀπαλλάξας καὶ τῷ ἀληθινῷ προσοικειωσάμενος θεῷ. »

Καὶ ὁ ῥήτωρ « Τῶν μεγάλων » φησί, « καὶ θαυμασίων ἀνδρῶν τῶν πᾶσαν σοφίας ἐπιστήμην ἐξευρηκότων θεοὺς ὑψηλοὺς καὶ ἀθανάτους ἐκείνους ὀνομαζόντων, καὶ πάντων τῶν ἐπὶ γῆς βασιλέων καὶ ἐνδόξων αὐτοῖς προσκυνούντων καὶ σεβομένων, πῶς αὐτὸς γλῶσσαν κατ' αὐτῶν κινεῖς, καὶ ὅλως ἀποθρασύνεσθαι τὰ τοιαῦτα τολμᾷς; Τίς δὲ ἡ ἀπόδειξις μὴ τούτους εἶναι θεούς, ἀλλὰ τὸν ἐσταυρωμένον; »

Ὑπολαβὼν δὲ ὁ Ναχώρ, τὸν μὲν ῥήτορα ἐκεῖνον οὐδόλως ἀποκρίσεως ἠξίωσε· κατασείσας δὲ τῇ χειρὶ

(1) Vid. p. 234, 16.

(2) Psalm. LXIII, 3 : ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν. ἠκόνησαν

(3) Isai. LIX, 4.

τὸ πλῆθος σιγᾷν (1), ἀνοίξας τὸ στόμα αὐτοῦ, καθάπερ ὁ τοῦ Βαλαὰμ ὄνος (2), ἃ οὐ προέθετο εἰπεῖν ταῦτα λελάληκε· καὶ φησὶ πρὸς τὸν βασιλέα·

«Ἐγὼ, βασιλεῦ, προνοίᾳ Θεοῦ ἦλθον εἰς τὸν κόσμον· καὶ θεωρήσας τὸν οὐρανὸν καὶ γῆν καὶ θάλασσαν, ἥλιόν τε καὶ σελήνην καὶ τὰ λοιπὰ, ἐθαύμασα τὴν διακόσμησιν τούτων. Ἰδὼν δὲ τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ πάντα, ὅτι κατὰ ἀνάγκην κινεῖται, συνῆκα τὸν κινοῦντα καὶ διακρατοῦντα εἶναι Θεόν· πᾶν γὰρ τὸ κινοῦν ἰσχυρότερον τοῦ κινουμένου, καὶ τὸ διακρατοῦν ἰσχυρότερον τοῦ διακρατουμένου ἐστίν. Αὐτὸν οὖν λέγω εἶναι Θεὸν τὸν συστησάμενον τὰ πάντα καὶ διακρατοῦντα, ἄναρχον καὶ ἀΐδιον, ἀθάνατον καὶ ἀπροσδεῆ (3), ἀνώτερον πάντων τῶν παθῶν καὶ ἐλαττωμάτων, ὀργῆς τε καὶ λήθης καὶ ἀγνοίας καὶ τῶν λοιπῶν. Δι' αὐτοῦ δὲ τὰ πάντα συνέστηκεν. Οὐ χρῄζει θυσίας καὶ σπονδῆς, οὐδὲ πάντων τῶν φαινομένων· πάντες δὲ αὐτοῦ χρῄζουσι.»

«Τούτων οὕτως εἰρημένων περὶ Θεοῦ, καθὼς ἐμὲ ἐχώρησε περὶ αὐτοῦ λέγειν, ἔλθωμεν καὶ ἐπὶ τὸ ἀνθρώπινον γένος, ὅπως ἴδωμεν τίνες αὐτῶν μετέχουσι

(1) Fors. *τῷ πλήθει*, pro *τὸ πλῆθος*. Act. Apost. XIII, 16: *ἀναστὰς δὲ Παῦλος, καὶ κατασείσας τῇ χειρὶ, εἶπεν*. Rursus XXI, 40: *ὁ Παῦλος, ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν, κατέσεισε τῇ χειρὶ τῷ λαῷ*. Et similius XII, 17: *κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ σιγᾷν*: vide ibi Valckenarii scholia. Gregorius Nyss.: *ταῦτα δέ μου διεξιόντος, μεταξὺ κατασείσασα τῇ χειρὶ ἡ διδάσκαλος*· ubi Wolf. Anecd. t. II, p. 195. Lucianus Jup. Trag. 13: *ἄμεινον οὖν, οἶμαι, τῇ χειρὶ σημαίνειν καὶ παρακελεύεσθαι σιωπᾷν*.

(2) Vide Num. XXII, 28.

(3) Act. Ap. XVII, 25, de Deo: *οὐδὲ προσδεόμενός τινος*. Plutarchus Arist. et Cat. Compar. 4: *ἀπροσδεὴς μὲν γὰρ ὁ θεός*. Vide Nodell. in Classico Diario t. X, p. 162, et quæ apposui supra t. I, p. 127, ad sententiam, *ὁ Θεὸς οὐδενὸς δεῖται*.

τῆς ἀληθείας καὶ τίνες τῆς πλάνης. Φανερὸν γάρ ἐστιν ἡμῖν, ὦ βασιλεῦ, ὅτι τρία γένη εἰσὶν ἀνθρώπων ἐν τῷδε τῷ κόσμῳ· ὧν εἰσὶν οἱ τῶν παρ' ὑμῶν λεγομένων θεῶν προσκυνηταὶ, καὶ Ἰουδαῖοι, καὶ χριστιανοί· αὐτοὶ δὲ πάλιν, οἱ τοὺς πολλοὺς σεβόμενοι θεοὺς, εἰς τρία διαιροῦνται γένη, Χαλδαίους τε καὶ Ἕλληνας καὶ Αἰγυπτίους· οὗτοι γὰρ γεγόνασιν ἀρχηγοὶ καὶ διδάσκαλοι τοῖς λοιποῖς ἔθνεσι τῆς τῶν πολυωνύμων θεῶν λατρείας καὶ προσκυνήσεως.»

«Ἴδωμεν οὖν τίνες τούτων μετέχουσι τῆς ἀληθείας καὶ τίνες τῆς πλάνης.»

«Οἱ μὲν γὰρ Χαλδαῖοι, οἱ μὴ εἰδότες θεὸν, ἐπλανήθησαν ὀπίσω τῶν στοιχείων καὶ ἤρξαντο σέβεσθαι τὴν κτίσιν παρὰ τὸν κτίσαντα αὐτούς (1)· ὧν καὶ μορφώματά τινα ποιήσαντες ὠνόμασαν ἐκτυπώματα τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ τῆς θαλάσσης, ἡλίου τε καὶ σελήνης, καὶ τῶν λοιπῶν στοιχείων ἢ φωστήρων, καὶ, συγκλείσαντες ναοῖς, προσκυνοῦσι θεοὺς καλοῦντες, οὓς καὶ τηροῦσιν ἀσφαλῶς ἵνα μὴ κλαπῶσιν ὑπὸ λῃστῶν (2), καὶ οὐ συνῆκαν ὅτι πᾶν τὸ τηροῦν μεῖζον τοῦ τηρουμένου ἐστὶ, καὶ ὁ ποιῶν μείζων ἐστὶ τοῦ ποιουμένου· εἰ γὰρ ἀδυνατοῦσιν οἱ θεοὶ αὐτῶν περὶ τῆς ἰδίας σωτηρίας, πῶς ἄλλοις σωτηρίαν χαρίσονται; Πλάνην οὖν μεγάλην ἐπλανήθησαν οἱ Χαλδαῖοι, σεβόμενοι ἀγάλματα νεκρὰ καὶ ἀνωφελῆ. Καὶ θαυμάζειν μοι ἐπέρχεται, ὦ βασιλεῦ, πῶς οἱ λεγόμενοι φιλόσοφοι αὐτῶν οὐδόλως συνῆκαν ὅτι καὶ αὐτὰ τὰ στοιχεῖα φθαρτά ἐστιν. Εἰ δὲ τὰ στοιχεῖα φθαρτά ἐστι καὶ ὑποτασσόμενα κατὰ ἀνάγκην, πῶς εἰσὶ θεοί;

(1) Cf. p. 48, n. 4. (2) Cf. p. 81, 24.

εἰ δὲ τὰ στοιχεῖα οὐκ εἰσὶ θεοὶ, πῶς τὰ ἀγάλματα, ἃ γέγονεν εἰς τιμὴν αὐτῶν, θεοὶ ὑπάρχουσιν; »

« Ἔλθωμεν οὖν, ὦ βασιλεῦ, ἐπ' αὐτὰ τὰ στοιχεῖα, ὅπως ἀποδείξωμεν περὶ αὐτῶν ὅτι οὐκ εἰσὶ θεοὶ, ἀλλὰ φθαρτὰ καὶ ἀλλοιούμενα, ἐκ τοῦ μὴ ὄντος παραχθέντα προστάγματι τοῦ ὄντως Θεοῦ, ὅς ἐστιν ἄφθαρτός τε καὶ ἀναλλοίωτος καὶ ἀόρατος· αὐτὸς δὲ πάντα ὁρᾷ, καὶ, καθὼς βούλεται, ἀλλοιοῖ καὶ μεταβάλλει. Τί οὖν λέγω περὶ τῶν στοιχείων; »

« Οἱ νομίζοντες τὸν οὐρανὸν εἶναι θεὸν πλανῶνται. Ὁρῶμεν γὰρ αὐτὸν τρεπόμενον καὶ κατὰ ἀνάγκην κινούμενον, καὶ ἐκ πολλῶν συνεστῶτα· διὸ καὶ κόσμος καλεῖται. Κόσμος δὲ κατασκευή ἐστι τινὸς τεχνίτου· τὸ κατασκευασθὲν δὲ ἀρχὴν καὶ τέλος ἔχει. Κινεῖται δὲ ὁ οὐρανὸς κατὰ ἀνάγκην σὺν τοῖς αὐτοῦ φωστῆρσι· τὰ γὰρ ἄστρα τάξει καὶ διαστήματι φερόμενα ἀπὸ σημείου εἰς σημεῖον, οἱ μὲν (1) δύουσιν, οἱ δὲ ἀνατέλλουσι, καὶ κατὰ καιροὺς πορείαν ποιοῦνται τοῦ ἀποτελεῖν θέρη καὶ χειμῶνας, καθὰ ἐπιτέτακται αὐτοῖς παρὰ τοῦ Θεοῦ, καὶ οὐ παραβαίνουσι τοὺς ἰδίους ὅρους, κατὰ ἀπαραίτητον φύσεως ἀνάγκην, σὺν τῷ οὐρανίῳ κόσμῳ. Ὅθεν φανερόν ἐστι μὴ εἶναι τὸν οὐρανὸν θεὸν, ἀλλ' ἔργον Θεοῦ. »

« Οἱ δὲ νομίζοντες τὴν γῆν εἶναι θεὰν ἐπλανήθησαν. Ὁρῶμεν γὰρ αὐτὴν ὑπὸ τῶν ἀνθρώπων ὑβριζομένην καὶ κατακυριευομένην καὶ φυρομένην (2) καὶ ἄχρηστον γινομένην. Ἐὰν γὰρ ὀπτηθῇ, γίνεται νεκρά· ἐκ γὰρ τοῦ ὀστράκου φύεται οὐδέν. Ἔτι δὲ καὶ ἐὰν ἐπὶ πλέον

(1) Sic AC, quasi non ἄστρα scriptum foret, sed ἀστέρες.

(2) C, ὑβρ. σκαπτομένην καὶ φυρομένην.

σώματα, μᾶλλον δὲ καὶ αὐτὰς τὰς ψυχάς; Τίς οὕτως ἀγεννὴς, τίς οὕτως ἀσύνετος, ὡς μὴ μυρίους ὑποστῆναι προσκαίρους θανάτους, ἵνα τοῦ αἰωνίου ἀπαλλαγῇ καὶ ἀτελευτήτου θανάτου, τὴν ζωὴν δὲ κληρονομήσῃ τὴν μακαρίαν τε καὶ ἀνώλεθρον, καὶ τῷ φωτὶ περιλαμφθῇ τῆς μακαρίας καὶ ζωαρχικῆς Τριάδος (1); »

Τούτων ἀκούσας ὁ βασιλεὺς τῶν ῥημάτων, καὶ τὸ στερέμνιον καὶ ἀνένδοτον ἰδὼν τοῦ παιδὸς μήτε κολακείαις εἴκοντος (2) μήτε λόγων πειθοῖ, μὴ τιμωριῶν ἀπειλαῖς, ἐθαύμαζε μὲν ἐπὶ τῇ πιθανότητι τοῦ λόγου καὶ ταῖς ἀναντιῤῥήτοις ἀποκρίσεσιν, ἠλέγχετο δὲ ὑπὸ τοῦ συνειδότος, ἀληθῆ λέγειν αὐτὸν καὶ δίκαια ὑποδεικνύοντος· ἀλλ' ἀνθείλκετο ὑπὸ τῆς πονηρᾶς συνηθείας καὶ τῶν ἐν ἕξει βεβαιωθέντων ἐν αὐτῷ παθῶν, ὑφ' ὧν ὡς ἐν κημῷ κατείχετο καὶ χαλινῷ (3), τῷ φωτὶ μὴ συγχωρούμενος προσβλέψαι τῆς ἀληθείας. Ὅθεν πάντα λίθον, τὸ τοῦ λόγου, κινῶν (4), εἴχετο τοῦ πάλαι σκοποῦ, τὴν προμελετηθεῖσαν αὐτῷ μετὰ τοῦ Ἀραχῆ σκέψιν εἰς ἔργον ἀγαγεῖν βουλόμενος. Καὶ φησὶ τῷ παιδί·

« Ἔδει μέν σε, ὦ τέκνον, τοῖς ἐμοῖς ἁπλῶς εἴκειν ἐν πᾶσι προστάγμασιν· ἀλλ' ἐπεὶ, σκληρὸς ὢν καὶ ἀπειθὴς, ἰσχυρῶς οὕτως ἀντέστης μοι, τὴν ἰδίαν ἐνιστάμενος γνώμην κυριωτέραν πάντων ποιήσασθαι, δεῦρο δὴ τῇ ματαίᾳ ἐνστάσει χαίρειν ἄμφω εἰπόντες, πειθοῖ πολιτευσώμεθα. Καὶ ἐπεὶ ὁ σὲ ἀπατήσας

(1) Conf. p. 60 extr.
(2) AC, εἴκοντα. Fors. et εἶκον.
(3) Cf. Psalm. XXXI, 9.
(4) De hoc proverbio vide p. 9, n. 1. Joannes Antioch. in Monum. Cotel. t. I, pag. 160 : πάντα λίθον ἐκίνησε, τὸ τοῦ λόγου, τὴν ἐξαφθεῖσαν πίστιν κατασβέσαι φιλονεικῶν.

Βαρλαὰμ σιδηροδέσμιος παρ' ἐμοὶ τυγχάνει, ἐκκλησιάσας ἐκκλησίαν μεγάλην, καὶ πάντας ἡμετέρους τε καὶ Γαλιλαίους ἐπὶ τὸ αὐτὸ συγκαλέσας, κήρυκάς τε διαῤῥήδην βοᾷν θεσπίσας τοῦ μηδένα τῶν χριστιανῶν δεδοικέναι, ἀλλ' ἀφόβως πάντας συνεισελθεῖν, κοινῇ διασκεψώμεθα γνώμῃ. Καὶ ἢ, πείσαντες, ὑμεῖς μετὰ τοῦ ὑμετέρου Βαρλαὰμ τεύξεσθε ὧν ἐσπουδάκατε· ἢ, πεισθέντες, σὺν ἑκουσίᾳ τῇ γνώμῃ τοῖς προστάγμασί μου ὑπείκειν προθυμηθείητε. »

Ὁ δὲ φρόνιμος τῷ ὄντι καὶ ἐχέφρων νεανίας, διὰ τοῦ θεόθεν αὐτῷ (1) ἐμφανισθέντος ὁράματος τὴν τοῦ βασιλέως προδεδιδαγμένος σκαιωρίαν, ἔφη· «Τὸ θέλημα τοῦ Κυρίου γενέσθω, καὶ ἔστω καθὼς ἐκέλευσας· αὐτὸς γὰρ ὁ ἀγαθὸς Θεὸς καὶ (2) δεσπότης δῴη τῆς εὐθείας μὴ πλανηθῆναι ἡμᾶς· ἐπ' αὐτῷ γὰρ πέποιθεν ἡ ψυχή μου, καὶ αὐτὸς ἐλεήσει με (3). » Τότε δὴ τότε κελεύει ὁ βασιλεὺς πάντας ἀθροίζεσθαι εἰδωλολάτρας τε καὶ χριστιανοὺς, γραμμάτων μὲν πανταχοῦ διαπεφοιτηκότων, κηρύκων τε ἀνὰ πάσας τὰς κωμοπόλεις βοώντων τοῦ μηδένα τῶν χριστιανῶν δεδοικέναι ὥστε ἀδόκητόν τι ὑποστῆναι, ἀλλ' ἀδεῶς πάντας καθ' ἑταιρείαν καὶ συγγένειαν ἐπὶ τὸ αὐτὸ συνελθεῖν ἐπὶ φιλαλήθει (4) καὶ οὐ βεβιασμένῃ συζητήσει, μετὰ τοῦ ἐξάρχου καὶ καθηγεμόνος αὐτῶν μελλούσῃ γενέσθαι Βαρλαάμ. Ὡσαύτως δὲ καὶ τοὺς μύστας καὶ νεωκόρους τῶν εἰδώλων καὶ σοφοὺς τῶν Χαλδαίων καὶ Ἰνδῶν, τοὺς κατὰ πᾶσαν τὴν ὑπ' αὐτὸν ἀρχὴν ὄντας, συν-

(1) A sine αὐτῷ.

(2) A sine Θεὸς καί.

(3) Psalm. LVI, 1 : ἐλέησόν με, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου.

(4) A, φιλαλήθω. C, φιλαλήθει, e correctione.

ἐκαλέσατο, καί τινας οἰωνοσκόπους καὶ γόητας καὶ μάντεις, ὅπως ἂν χριστιανῶν περιγένοιντο.

Καὶ δὴ συνῆλθον πρὸς τὸν βασιλέα πλῆθος πολὺ τῆς μυσαρᾶς αὐτοῦ θρησκείας· χριστιανῶν δὲ εἷς εὑρέθη μόνος εἰς βοήθειαν ἐλθὼν τοῦ νομιζομένου Βαρλαὰμ, ὀνόματι Βαραχίας (1). Οἱ μὲν γὰρ τῶν πιστῶν θανόντες ἦσαν ὑπὸ τῆς τῶν κατὰ πόλιν ἀρχόντων μανίας κατασφαγέντες· οἱ δὲ ἐν ὄρεσιν ἀπεκρύπτοντο καὶ σπηλαίοις τῷ φόβῳ τῶν ἐπικειμένων δεινῶν. Ἄλλοι δὲ ἐδεδοίκεσαν τὴν ἀπειλὴν τοῦ βασιλέως, καὶ οὐκ ἐτόλμων ἑαυτοὺς εἰς φῶς ἀγαγεῖν· ἀλλὰ νυκτερινοὶ ἦσαν θεοσεβεῖς, ἐν τῷ λεληλόθι τῷ Χριστῷ λατρεύοντες καὶ μηδαμῶς παῤῥησιαζόμενοι. Ἐκεῖνος δὲ μόνος, γενναῖος ὢν τὴν ψυχὴν, εἰς συναγωνισμὸν ἦλθε τῆς ἀληθείας.

Προκαθίσας (2) τοίνυν ὁ βασιλεὺς ἐπὶ βήματος ὑψηλοῦ τε καὶ μετεώρου, συνεδριάζειν αὐτῷ τὸν υἱὸν ἐκέλευσεν. Ὁ δὲ, τῇ πρὸς τὸν πατέρα εὐλαβείᾳ καὶ τιμῇ τοῦτο μὴ θελήσας ποιῆσαι, ἐπὶ τῆς γῆς πλησίον αὐτοῦ ἐκάθισε. Παρέστησαν τοίνυν οἱ ἐπιστήμονες τῆς μωρανθείσης παρὰ τοῦ Θεοῦ σοφίας (3), ὧν ἐπλανήθη ἡ ἀσύνετος καρδία (4), καθὼς φησὶν ὁ Ἀπό-

(1) A ad marginem, manu altera: ὃν καὶ κληρονόμον τῆς βασιλείας αὐτοῦ ἐς ὕστερον ὁ καλὸς Ἰωάσαφ καταλιπὼν καὶ οἰκείαις χερσὶ στέψει, καὶ διαδήματι τιμήσας πρὸς τὸν ποθούμενον Βαρλαὰμ ἀπῆλθεν. Conjeci ἀπῆλθεν, quum bibliopegus reliquerit tantum ἀπ vel ἐπ.

(2) A, προκαθήσας. Permutatio solennis est. Demetrius Phal. § 201 ex Oratore recitat sententiam, cujus verba Βυζάντιον ἐπολιόρκησεν ne sumantur in exemplum verbi πολιορκίζω, monebo esse ἐπολιόρκησε in codice 1741.

(3) I Epist. ad Corinth. I, 20: οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου;

(4) Epist. ad Rom. I, 21: ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία.

στόλος· « Δοκοῦντες γὰρ (1) εἶναι σοφοὶ ἐμωράνθησαν, » καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώ- » ματι θνητῶν ἀνθρώπων καὶ τετραπόδων καὶ ἑρπετῶν. » Οὗτοι συνῆλθον συνᾶραι λόγον πρὸς τὸν τοῦ βασιλέως υἱὸν καὶ τοὺς περὶ αὐτὸν, καὶ ἐπληροῦτο ἐπ' αὐτοῖς τὸ τῆς παροιμίας, ὅτι πρὸς λέοντα δορκὰς μάχης ἥπτετο. Ὁ μὲν γὰρ τὸν ὕψιστον ἔθετο καταφυγὴν αὐτοῦ (2), καὶ ἐν τῇ σκιᾷ ἤλπισε τῶν αὐτοῦ πτερύγων (3)· οἱ δὲ τοῖς ἄρχουσιν ἐπεποίθησαν (4) τοῦ αἰῶνος τούτου τοῖς καταργουμένοις, καὶ τῷ κοσμοκράτορι τοῦ σκότους (5), ᾧ καθυπέταξαν ἑαυτοὺς ἐλεεινῶς καὶ ἀθλίως.

Ἄγεται τοίνυν ὁ Ναχὼρ τὸν Βαρλαὰμ ὑποκρινόμενος· καὶ οἱ μὲν περὶ τὸν βασιλέα τοῦ τοιούτου εἴχοντο σκοποῦ· ἑτέρα δὲ πάλιν ἡ σοφὴ πρόνοια ἄνωθεν ᾠκονόμει. Παρισταμένων γὰρ τούτων ἁπάντων φησὶν ὁ βασιλεὺς τοῖς ῥήτορσιν αὐτοῦ καὶ φιλοσόφοις, μᾶλλον δὲ τοῖς λεωπλάνοις (6) καὶ ἀσυνέτοις τὴν καρδίαν·

« Ἰδοὺ δὴ ἀγὼν ὑμῖν πρόκειται καὶ ἀγώνων ὁ μέγιστος. Δυοῖν γὰρ θάτερον γενήσεται ὑμῖν· ἢ τὰ ἡμέτερα κρατύναντας, καὶ (7) πλανᾶσθαι τὸν Βαρλαὰμ

(1) Ep. ad Rom. I, 22, 23.

(2) Psalm. XC, 9 : τὸν ὕψιστον ἔθου καταφυγήν σου.

(3) Psalm. LVI, 1 : ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ.

(4) Psalm. CXLV, 3 : μὴ πεποίθατε ἐπ' ἄρχοντας.

(5) Conf. p. 13, n. 3.

(6) C, λαοπλάνοις. A, λεοπλάνοις. Permutatio nota vocalium ω et ο. Isaacius Porphyr. De Præterm. p. 263 : τὴν διάθεον ἁρπαγὴν τῆς Ἑλένης. Rescribo τὴν διὰ θεῶν ἁρπ., ut est in cod. 817.

(7) A sine καί. Synesius Calvit. p. 63 : ἐπειδὴ προσέκειτο μᾶλλον, ἄλλης ἐπ' ἄλλῃ πιπτούσης, ἤδη δὲ σὺν δύο καὶ κατὰ πλείους. Inveni, quod amplector, in codicibus duobus, ἤδη δὲ καὶ σύνδυο.

καὶ τοὺς σὺν αὐτῷ ἐλέγξαντας, δόξης μεγίστης καὶ τιμῆς παρ' ἡμῶν τε καὶ πάσης τυχεῖν τῆς συγκλήτου καὶ στεφάνοις νίκης καταστεφθῆναι· ἢ ἡττηθέντας σὺν πάσῃ αἰσχύνῃ κακῶς κακῶς θανατωθῆναι, πάντα δὲ τὰ ὑμέτερα τῷ δήμῳ δοθῆναι, ὡς ἂν παντάπασιν ἐξαρθῇ τὸ μνημόσυνον ὑμῶν ἀπὸ τῆς γῆς. Τὰ μὲν γὰρ σώματα ὑμῶν θηρίοις δώσω παρανάλωμα, τὰ δὲ τέκνα ὑμῶν διηνεκεῖ καταδουλώσω δουλείᾳ.»

Τούτων οὕτως εἰρημένων τῷ βασιλεῖ, ὁ υἱὸς αὐτοῦ ἔφη· «Κρίμα δίκαιον σήμερον ἔκρινας, ὦ βασιλεῦ· κρατύναι Κύριος ταύτην σου τὴν γνώμην. Κἀγὼ δὲ τὰ αὐτά φημι τῷ ἐμῷ διδασκάλῳ.» Καὶ ἐπιστραφεὶς λέγει τῷ Ναχώρ, ὃς ἐνομίζετο Βαρλαὰμ εἶναι· «Οἶδας, ὦ Βαρλαάμ, ἐν τίνι με δόξῃ εὕρηκας καὶ τρυφῇ· καὶ λόγοις πλείστοις ἔπεισάς με τῶν μὲν πατρῴων ἀποστῆναι νόμων τε καὶ ἐθῶν, ἀγνώστῳ δὲ λατρεῦσαι θεῷ, ἀρρήτων τινῶν καὶ αἰωνίων ἀγαθῶν ἐπαγγελίαις ἑλκύσας μου τὸν νοῦν τοῖς σοῖς ἐξακολουθῆσαι δόγμασι καὶ τὸν ἐμὸν παραπικρᾶναι πατέρα τε καὶ δεσπότην; Νῦν οὖν ὡς ἐπὶ τρυτάνης νόμιζε σεαυτὸν ἑστάναι. Εἰ μὲν γάρ, νικήσας τὴν προκειμένην πάλην, ἀληθῆ σου τὰ δόγματα δείξεις ἅ μοι ἐδίδαξας, πλανωμένους δὲ ἐλέγξεις τοὺς σήμερον ἡμῖν ἀντιπίπτοντας, σὺ μὲν δοξασθήσῃ ὡς οὐδεὶς τῶν πώποτε γεγονότων καὶ κήρυξ ἀληθείας κληθήσῃ, ἐγὼ δὲ τῇ σῇ ἐμμενῶ διδαχῇ καὶ τῷ Χριστῷ λατρεύσω, καθὰ δὴ καὶ ἐκήρυξας, μέχρι τῆς τελευταίας μου ἀναπνοῆς· εἰ δέ, ἡττηθεὶς εἴτε δόλῳ εἴτε ἀληθείᾳ, αἰσχύνης μοι σήμερον πρόξενος γένῃ, θᾶττον ἐκδικήσω μου τὴν ὕβριν, χερσὶν οἰκείαις τήν τε καρδίαν σου καὶ τὴν γλῶτταν ἐξορύξας, κυσί τε βορὰν ταῦτα

σὺν τῷ λοιπῷ σου σώματι παραδοὺς, ἵνα παιδευθῶσι πάντες διὰ σοῦ μὴ πλανᾷν υἱοὺς βασιλέων. »

Τούτων ἀκούσας ὁ Ναχὼρ τῶν ῥημάτων (1), σκυθρωπὸς ἦν λίαν καὶ κατηφὴς, ὁρῶν ἑαυτὸν ἐμπίπτοντα τῷ βόθρῳ ᾧ εἰργάσατο (2) καὶ τῇ παγίδι ᾗ ἔκρυψε (3) συλλαμβανόμενον, καὶ τὴν ῥομφαίαν αὐτοῦ εἰς καρδίαν (4) αὐτοῦ κατανοῶν εἰσδυομένην. Συλλογισάμενος οὖν καθ' ἑαυτὸν, τῷ τοῦ βασιλέως υἱῷ μᾶλλον ἔγνω προστεθῆναι καὶ τὰ ἐκείνου κρατῦναι, τοῦ διαφυγεῖν τὸν ἐπηρτημένον αὐτῷ κίνδυνον, ὡς ἐκείνου εὐλόγως δυναμένου τιμωρήσασθαι αὐτὸν, εἴπερ παραπικραίνων εὑρεθείη. Τὸ δὲ πᾶν τῆς θείας ἦν προνοίας σοφῶς διὰ τῶν ἐναντίων τὰ ἡμέτερα βεβαιούσης. Ὡς γὰρ εἰς λόγους ἦλθον ἀλλήλοις οἱ μύσται τῶν εἰδώλων καὶ ὁ Ναχὼρ, καθάπερ τις ἄλλος Βαλαὰμ ὃς ἐπὶ τοῦ Βαλὰκ πάλαι, ἐπαράσασθαι τὸν Ἰσραὴλ προθέμενος, πολυειδέσιν αὐτὸν εὐλόγησεν εὐλογίαις (5), οὕτως καὶ ὁ Ναχὼρ ἰσχυρῶς τοῖς ἀσόφοις καὶ ἀσυνέτοις σοφοῖς ἀντικαθίστατο (6).

(1) Lector diligens adscripsit ad marginem codicis A, *στίχος*. Exciderunt sæpe auctoribus prosaicis versus, ac præsertim iambici. Multus fui ea de re ad Aristænetum p. 233, ac possem etiam hic multus esse, ni satius videretur brevitati circa talia nunc studere.

(2) Psalm. VII, 15 : *ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο*. Cf. Prov. XXVI, 27.

(3) Psalm. XXX, 4 : *ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι*.

(4) Ps. XXXVI, 15 : *ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὴν καρδίαν αὐτῶν*.

(5) Res narratur Num. XXII, XXIII, XXIV. Ibi XXIII, 11 : *εἰς κατάρασιν ἐχθρῶν μου κέκληκά σε, καὶ ἰδοὺ εὐλόγηκας εὐλογίαν*. Dixit *πολυειδέσιν εὐλογίαις*, quum ter Balaam benedixerit Israel.

(6) C, *ἀσόφοις ἀντικ*. Media perierunt propter homœoteleuton. Basilius Præc. c. 35 : *μὴ γίνου τῇ γνώμῃ ἀχάριστος· μέρος γὰρ εὐσεβείας τὸ ἀνταποδιδόναι τοῖς εὐποιοῦσι τὰς χάριτας*. Codex 2991 A :..... *ἀχάριστος, ἀλλ' ἔσο τοῖς τρόποις εὐχάριστος· μέρος*...

Καθεζομένου γὰρ τοῦ βασιλέως ἐπὶ τοῦ θρόνου, συνεδριάζοντος καὶ τοῦ υἱοῦ, καθάπερ ἔφημεν (1), παρεστώτων δὲ τῶν ὥσπερ ῥομφαίαν τὰς γλώσσας ἀκονησάντων (2) ἐπὶ καθαιρέσει τῆς ἀληθείας ἀσόφων ῥητόρων, οἳ, τὸ τοῦ Ἡσαΐου (3), « κύουσι πόνον καὶ » τίκτουσιν ἀνομίαν », συνελθόντων δὲ ἀπείρων λαῶν εἰς θέαν τοῦ ἀγῶνος ὥστε μαθεῖν ὁπότερον μέρος τὴν νίκην ἀποίσεται, λέγει τῷ Ναχὼρ εἷς τῶν ῥητόρων, ὁ τῶν σὺν αὐτῷ πάντων διαφορώτατος· « Σὺ εἶ ὁ ἀναισχύντως οὕτως καὶ ἰταμῶς εἰς τοὺς θεοὺς ἡμῶν ἐξυβρίζων Βαρλαὰμ, καὶ τὸν φίλτατον υἱὸν τοῦ βασιλέως τοιαύτῃ περιβαλὼν τῇ πλάνῃ καὶ τῷ ἐσταυρωμένῳ διδάξας λατρεύειν ; »

Καὶ ὁ Ναχώρ « Ἐγώ εἰμί » ἀπεκρίνατο, « ἐγώ εἰμι Βαρλαὰμ, ὁ τοὺς θεούς σου μὲν ἐξουθενῶν, καθὼς εἴρηκας, τὸν υἱὸν δὲ τοῦ βασιλέως οὐ πλάνῃ περιβαλὼν, ἀλλὰ πλάνης ἀπαλλάξας καὶ τῷ ἀληθινῷ προσοικειωσάμενος θεῷ. »

Καὶ ὁ ῥήτωρ « Τῶν μεγάλων » φησί, « καὶ θαυμασίων ἀνδρῶν τῶν πᾶσαν σοφίας ἐπιστήμην ἐξευρηκότων θεοὺς ὑψηλοὺς καὶ ἀθανάτους ἐκείνους ὀνομαζόντων, καὶ πάντων τῶν ἐπὶ γῆς βασιλέων καὶ ἐνδόξων αὐτοῖς προσκυνούντων καὶ σεβομένων, πῶς αὐτὸς γλῶσσαν κατ' αὐτῶν κινεῖς, καὶ ὅλως ἀποθρασύνεσθαι τὰ τοιαῦτα τολμᾷς ; Τίς δὲ ἡ ἀπόδειξις μὴ τούτους εἶναι θεοὺς, ἀλλὰ τὸν ἐσταυρωμένον ; »

Ὑπολαβὼν δὲ ὁ Ναχὼρ, τὸν μὲν ῥήτορα ἐκεῖνον οὐδόλως ἀποκρίσεως ἠξίωσε· κατασείσας δὲ τῇ χειρὶ

(1) Vid. p. 234, 16. ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν.
(2) Psalm. LXIII, 3 : ἠκόνησαν (3) Isai. LIX, 4.

τὸ πλῆθος σιγᾷν (1), ἀνοίξας τὸ στόμα αὐτοῦ, καθάπερ ὁ τοῦ Βαλαὰμ ὄνος (2), ἃ οὐ προέθετο εἰπεῖν ταῦτα λελάληκε· καὶ φησὶ πρὸς τὸν βασιλέα·

«Ἐγὼ, βασιλεῦ, προνοίᾳ Θεοῦ ἦλθον εἰς τὸν κόσμον· καὶ θεωρήσας τὸν οὐρανὸν καὶ γῆν καὶ θάλασσαν, ἥλιόν τε καὶ σελήνην καὶ τὰ λοιπὰ, ἐθαύμασα τὴν διακόσμησιν τούτων. Ἰδὼν δὲ τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ πάντα, ὅτι κατὰ ἀνάγκην κινεῖται, συνῆκα τὸν κινοῦντα καὶ διακρατοῦντα εἶναι Θεόν· πᾶν γὰρ τὸ κινοῦν ἰσχυρότερον τοῦ κινουμένου, καὶ τὸ διακρατοῦν ἰσχυρότερον τοῦ διακρατουμένου ἐστίν. Αὐτὸν οὖν λέγω εἶναι Θεὸν τὸν συστησάμενον τὰ πάντα καὶ διακρατοῦντα, ἄναρχον καὶ ἀΐδιον, ἀθάνατον καὶ ἀπροσδεῆ (3), ἀνώτερον πάντων τῶν παθῶν καὶ ἐλαττωμάτων, ὀργῆς τε καὶ λήθης καὶ ἀγνοίας καὶ τῶν λοιπῶν. Δι' αὐτοῦ δὲ τὰ πάντα συνέστηκεν. Οὐ χρῄζει θυσίας καὶ σπονδῆς, οὐδὲ πάντων τῶν φαινομένων· πάντες δὲ αὐτοῦ χρῄζουσι.»

«Τούτων οὕτως εἰρημένων περὶ Θεοῦ, καθὼς ἐμὲ ἐχώρησε περὶ αὐτοῦ λέγειν, ἔλθωμεν καὶ ἐπὶ τὸ ἀνθρώπινον γένος, ὅπως ἴδωμεν τίνες αὐτῶν μετέχουσι

(1) Fors. τῷ πλήθει, pro τὸ πλῆθος. Act. Apost. XIII, 16: ἀναστὰς δὲ Παῦλος, καὶ κατασείσας τῇ χειρὶ, εἶπεν. Rursus XXI, 40: ὁ Παῦλος, ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν, κατέσεισε τῇ χειρὶ τῷ λαῷ. Et similius XII, 17: κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ σιγᾷν: vide ibi Valckenarii scholia. Gregorius Nyss.: ταῦτα δέ μου διεξιόντος, μεταξὺ κατασείσασα τῇ χειρὶ ἡ διδάσκαλος· ubi Wolf. Anecd. t. II, p. 195. Lucianus Jup. Trag. 13: ἄμεινον οὖν, οἶμαι, τῇ χειρὶ σημαίνειν καὶ παρακελεύεσθαι σιωπᾷν.

(2) Vide Num. XXII, 28.

(3) Act. Ap. XVII, 25, de Deo: οὐδὲ προσδεόμενός τινος. Plutarchus Arist. et Cat. Compar. 4: ἀπροσδεὴς μὲν γὰρ ὁ θεός. Vide Nodell. in Classico Diario t. X, p. 162, et quæ apposui supra t. I, p. 127, ad sententiam, ὁ Θεὸς οὐδενὸς δεῖται.

τῆς ἀληθείας καὶ τίνες τῆς πλάνης. Φανερὸν γάρ ἐστιν ἡμῖν, ὦ βασιλεῦ, ὅτι τρία γένη εἰσὶν ἀνθρώπων ἐν τῷδε τῷ κόσμῳ· ὧν εἰσὶν οἱ τῶν παρ' ὑμῶν λεγομένων θεῶν προσκυνηταὶ, καὶ Ἰουδαῖοι, καὶ χριστιανοί· αὐτοὶ δὲ πάλιν, οἱ τοὺς πολλοὺς σεβόμενοι θεοὺς, εἰς τρία διαιροῦνται γένη, Χαλδαίους τε καὶ Ἕλληνας καὶ Αἰγυπτίους· οὗτοι γὰρ γεγόνασιν ἀρχηγοὶ καὶ διδάσκαλοι τοῖς λοιποῖς ἔθνεσι τῆς τῶν πολυωνύμων θεῶν λατρείας καὶ προσκυνήσεως. »

« Ἴδωμεν οὖν τίνες τούτων μετέχουσι τῆς ἀληθείας καὶ τίνες τῆς πλάνης. »

« Οἱ μὲν γὰρ Χαλδαῖοι, οἱ μὴ εἰδότες θεὸν, ἐπλανήθησαν ὀπίσω τῶν στοιχείων καὶ ἤρξαντο σέβεσθαι τὴν κτίσιν παρὰ τὸν κτίσαντα αὐτούς (1)· ὧν καὶ μορφώματά τινα ποιήσαντες ὠνόμασαν ἐκτυπώματα τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ τῆς θαλάσσης, ἡλίου τε καὶ σελήνης, καὶ τῶν λοιπῶν στοιχείων ἢ φωστήρων, καὶ, συγκλείσαντες ναοῖς, προσκυνοῦσι θεοὺς καλοῦντες, οὓς καὶ τηροῦσιν ἀσφαλῶς ἵνα μὴ κλαπῶσιν ὑπὸ λῃστῶν (2), καὶ οὐ συνῆκαν ὅτι πᾶν τὸ τηροῦν μεῖζον τοῦ τηρουμένου ἐστὶ, καὶ ὁ ποιῶν μείζων ἐστὶ τοῦ ποιουμένου· εἰ γὰρ ἀδυνατοῦσιν οἱ θεοὶ αὐτῶν περὶ τῆς ἰδίας σωτηρίας, πῶς ἄλλοις σωτηρίαν χαρίσονται; Πλάνην οὖν μεγάλην ἐπλανήθησαν οἱ Χαλδαῖοι, σεβόμενοι ἀγάλματα νεκρὰ καὶ ἀνωφελῆ. Καὶ θαυμάζειν μοι ἐπέρχεται, ὦ βασιλεῦ, πῶς οἱ λεγόμενοι φιλόσοφοι αὐτῶν οὐδόλως συνῆκαν ὅτι καὶ αὐτὰ τὰ στοιχεῖα φθαρτά ἐστιν. Εἰ δὲ τὰ στοιχεῖα φθαρτά ἐστι καὶ ὑποτασσόμενα κατὰ ἀνάγκην, πῶς εἰσὶ θεοί;

(1) Cf. p. 48, n. 4. (2) Cf. p. 81, 24.

εἰ δὲ τὰ στοιχεῖα οὐκ εἰσὶ θεοὶ, πῶς τὰ ἀγάλματα, ἃ γέγονεν εἰς τιμὴν αὐτῶν, θεοὶ ὑπάρχουσιν; »

« Ἔλθωμεν οὖν, ὦ βασιλεῦ, ἐπ' αὐτὰ τὰ στοιχεῖα, ὅπως ἀποδείξωμεν περὶ αὐτῶν ὅτι οὐκ εἰσὶ θεοὶ, ἀλλὰ φθαρτὰ καὶ ἀλλοιούμενα, ἐκ τοῦ μὴ ὄντος παραχθέντα προστάγματι τοῦ ὄντως Θεοῦ, ὅς ἐστιν ἄφθαρτός τε καὶ ἀναλλοίωτος καὶ ἀόρατος· αὐτὸς δὲ πάντα ὁρᾷ, καὶ, καθὼς βούλεται, ἀλλοιοῖ καὶ μεταβάλλει. Τί οὖν λέγω περὶ τῶν στοιχείων; »

« Οἱ νομίζοντες τὸν οὐρανὸν εἶναι θεὸν πλανῶνται. Ὁρῶμεν γὰρ αὐτὸν τρεπόμενον καὶ κατὰ ἀνάγκην κινούμενον, καὶ ἐκ πολλῶν συνεστῶτα· διὸ καὶ κόσμος καλεῖται. Κόσμος δὲ κατασκευή ἐστι τινὸς τεχνίτου· τὸ κατασκευασθὲν δὲ ἀρχὴν καὶ τέλος ἔχει. Κινεῖται δὲ ὁ οὐρανὸς κατὰ ἀνάγκην σὺν τοῖς αὐτοῦ φωστῆρσι· τὰ γὰρ ἄστρα τάξει καὶ διαστήματι φερόμενα ἀπὸ σημείου εἰς σημεῖον, οἱ μὲν (1) δύουσιν, οἱ δὲ ἀνατέλλουσι, καὶ κατὰ καιροὺς πορείαν ποιοῦνται τοῦ ἀποτελεῖν θέρη καὶ χειμῶνας, καθὰ ἐπιτέτακται αὐτοῖς παρὰ τοῦ Θεοῦ, καὶ οὐ παραβαίνουσι τοὺς ἰδίους ὅρους, κατὰ ἀπαραίτητον φύσεως ἀνάγκην, σὺν τῷ οὐρανίῳ κόσμῳ. Ὅθεν φανερόν ἐστι μὴ εἶναι τὸν οὐρανὸν θεὸν, ἀλλ' ἔργον Θεοῦ. »

« Οἱ δὲ νομίζοντες τὴν γῆν εἶναι θεὰν ἐπλανήθησαν. Ὁρῶμεν γὰρ αὐτὴν ὑπὸ τῶν ἀνθρώπων ὑβριζομένην καὶ κατακυριευομένην καὶ φυρομένην (2) καὶ ἄχρηστον γινομένην. Ἐὰν γὰρ ὀπτηθῇ, γίνεται νεκρά· ἐκ γὰρ τοῦ ὀστράκου φύεται οὐδέν. Ἔτι δὲ καὶ ἐὰν ἐπὶ πλέον

(1) Sic AC, quasi non ἄστρα scriptum foret, sed ἀστέρες.

(2) C, ὑβρ. σκαπτομένην καὶ φυρομένην.

βροχῇ, φθείρεται καὶ αὐτὴ καὶ οἱ καρποὶ αὐτῆς. Καταπατεῖται δὲ ὑπό τε ἀνθρώπων καὶ τῶν λοιπῶν ζώων, αἵμασι φονευομένων μιαίνεται, διορύσσεται (1), νεκρῶν θήκη γίνεται σωμάτων. Τούτων οὕτως ὄντων, οὐκ ἐνδέχεται τὴν γῆν εἶναι θεάν, ἀλλ' ἔργον Θεοῦ εἰς χρῆσιν ἀνθρώπων. »

« Οἱ δὲ νομίζοντες τὸ ὕδωρ εἶναι θεὸν ἐπλανήθησαν. Καὶ αὐτὸ γὰρ εἰς χρῆσιν τῶν ἀνθρώπων γέγονε, καὶ κατακυριεύεται ὑπ' αὐτῶν, μιαίνεται καὶ φθείρεται, καὶ ἀλλοιοῦται ἑψόμενον καὶ ἀλλασσόμενον χρώμασι, καὶ ὑπὸ τοῦ κρύους πηγνύμενον, καὶ εἰς πάντων τῶν ἀκαθάρτων πλύσιν ἀγόμενον. Διὸ ἀδύνατον τὸ ὕδωρ εἶναι θεόν, ἀλλ' ἔργον Θεοῦ. »

« Οἱ δὲ νομίζοντες τὸ πῦρ εἶναι θεὸν πλανῶνται. Καὶ αὐτὸ γὰρ εἰς χρῆσιν ἐγένετο ἀνθρώπων. Καὶ κατακυριεύεται ὑπ' αὐτῶν, περιφερόμενον ἐκ τόπου εἰς τόπον εἰς ἕψησιν καὶ ὄπτησιν παντοδαπῶν κρεῶν, ἔτι δὲ καὶ νεκρῶν σωμάτων. Φθείρεται δὲ καὶ κατὰ πολλοὺς τρόπους, ὑπὸ τῶν ἀνθρώπων σβεννύμενον. Διὸ οὐκ ἐνδέχεται τὸ πῦρ εἶναι θεόν, ἀλλ' ἔργον Θεοῦ. »

« Οἱ δὲ νομίζοντες τὴν τῶν ἀνέμων πνοὴν εἶναι θεὰν πλανῶνται. Φανερὸν γάρ ἐστιν ὅτι δουλεύει ἑτέρῳ (2), καὶ χάριν τῶν ἀνθρώπων κατεσκεύασται ὑπὸ τοῦ Θεοῦ πρὸς μεταγωγὴν πλοίων καὶ συγκομιδὰς τῶν σιτίων, καὶ εἰς λοιπὰς αὐτῶν χρείας αὔξει τε καὶ λήγει, κατ' ἐπιταγὴν Θεοῦ. Διὸ οὐ νενόμισται τὴν τῶν ἀνέμων πνοὴν εἶναι θεάν, ἀλλ' ἔργον Θεοῦ. »

« Οἱ δὲ νομίζοντες τὸν ἥλιον εἶναι θεὸν πλανῶνται. Ὁρῶμεν γὰρ αὐτὸν κινούμενον κατὰ ἀνάγκην καὶ τρεπόμενον, καὶ μεταβαίνοντα ἀπὸ σημείου εἰς σημεῖον,

(1) C, διορ. γεμίζεται. (2) C, δουλεύει Θεῷ.

δύνοντα καὶ ἀνατέλλοντα, τοῦ θερμαίνειν τὰ φυτὰ καὶ βλαστὰ εἰς χρῆσιν τῶν ἀνθρώπων, ἔτι δὲ καὶ μερισμοὺς ἔχοντα μετὰ τῶν λοιπῶν ἀστέρων, καὶ ἐλάττονα ὄντα τοῦ οὐρανοῦ πολὺ, καὶ ἐκλείποντα τοῦ φωτὸς, καὶ μηδεμίαν αὐτοκράτειαν ἔχοντα. Διὸ οὐ νενόμισται τὸν ἥλιον εἶναι θεὸν, ἀλλ' ἔργον Θεοῦ. »

« Οἱ δὲ νομίζοντες τὴν σελήνην εἶναι θεὰν πλανῶνται. Ὁρῶμεν γὰρ αὐτὴν κινουμένην κατὰ ἀνάγκην καὶ τρεπομένην, καὶ μεταβαίνουσαν ἀπὸ σημείου εἰς σημεῖον, δύνουσάν τε καὶ ἀνατέλλουσαν εἰς χρείαν τῶν ἀνθρώπων, καὶ ἐλάττονα οὖσαν τοῦ ἡλίου, αὐξουμένην τε καὶ μειουμένην, καὶ ἐκλείψεις ἔχουσαν. Διὸ οὐ νενόμισται τὴν σελήνην εἶναι θεὰν, ἀλλ' ἔργον Θεοῦ. »

« Οἱ δὲ νομίζοντες τὸν ἄνθρωπον εἶναι θεὸν πλανῶνται. Ὁρῶμεν γὰρ αὐτὸν κινούμενον κατὰ ἀνάγκην, καὶ τρεφόμενον καὶ γηράσκοντα, καὶ μὴ θέλοντος αὐτοῦ. Καὶ ποτὲ μὲν χαίρει, ποτὲ δὲ λυπεῖται, δεόμενος βρωμάτων καὶ ποτοῦ καὶ ἐσθῆτος. Εἶναι δὲ (1) αὐτὸν ὀργίλον καὶ ζηλωτὴν καὶ ἐπιθυμητὴν, καὶ μεταμελόμενον, καὶ πολλὰ ἐλαττώματα ἔχοντα. Φθείρεται δὲ κατὰ πολλοὺς τρόπους, ὑπὸ στοιχείων καὶ ζώων, καὶ τοῦ ἐπικειμένου αὐτῷ θανάτου. Οὐκ ἐνδέχεται οὖν εἶναι τὸν ἄνθρωπον θεὸν, ἀλλ' ἔργον Θεοῦ. »

« Πλάνην οὖν μεγάλην ἐπλανήθησαν οἱ Χαλδαῖοι, ὀπίσω τῶν ἐπιθυμημάτων αὐτῶν (2). Σέβονται γὰρ τὰ φθαρτὰ στοιχεῖα καὶ τὰ νεκρὰ ἀγάλματα, καὶ

(1) Sic A, syntaxi laborante, nec aliter codex 907, quem D vocabo deinceps, si fuerit ad partes vocandus. In C est ingens lacuna a verbis superioribus καί ποτε μὲν χαίρει, ad καὶ εἰσὶ παρανομοι οἱ τῶν ἐθνῶν καὶ ἐγγίζειν, infra pag. 252, 24.

(2) Inserendum πορευόμενοι videtur. Cf. t. II, p. 124, n. 1.

16*

οὐκ αἰσθάνονται ταῦτα θεοποιούμενοι. Ἔλθωμεν οὖν ἐπὶ τοὺς Ἕλληνας, ἵνα ἴδωμεν εἴ τι φρονοῦσι περὶ Θεοῦ. »

« Οἱ οὖν Ἕλληνες σοφοὶ λέγοντες εἶναι ἐμωράνθησαν (1) χεῖρον τῶν Χαλδαίων, παρεισάγοντες πολλοὺς θεοὺς γεγενῆσθαι, τοὺς μὲν ἄρρενας, τοὺς δὲ θηλείας (2), παντοίων παθῶν καὶ παντοδαπῶν δημιουργοὺς ἀνομημάτων. Ὅθεν γελοῖα καὶ μωρὰ καὶ ἀσεβῆ παρεισήγαγον οἱ Ἕλληνες, βασιλεῦ, ῥήματα, τοὺς μὴ ὄντας προσαγορεύοντες θεούς, κατὰ τὰς ἐπιθυμίας αὐτῶν τὰς πονηράς, ἵνα, τούτους συνηγόρους ἔχοντες τῆς κακίας, μοιχεύωσιν, ἁρπάζωσι, φονεύωσι, καὶ τὰ πάνδεινα ποιῶσιν. Εἰ γὰρ οἱ θεοὶ αὐτῶν τοιαῦτα ἐποίησαν, πῶς καὶ αὐτοὶ οὐ τοιαῦτα πράξουσιν; Ἐκ τούτων οὖν τῶν ἐπιτηδευμάτων τῆς πλάνης συνέβη τοὺς ἀνθρώπους πολέμους ἔχειν συχνούς, καὶ σφαγὰς καὶ αἰχμαλωσίας πικράς. »

« Ἀλλὰ καὶ καθ' ἕκαστον τῶν θεῶν αὐτῶν εἰ θελήσομεν ἐλθεῖν (3) τῷ λόγῳ, πολλὴν ὄψει τὴν ἀτοπίαν. »

Ὁ πρῶτος (4) παρεισάγεται αὐτοῖς πρὸ πάντων θεὸς ὁ λεγόμενος Κρόνος, καὶ τούτῳ θύουσι τὰ ἴδια τέκνα, ὃς ἔσχε παῖδας πολλοὺς ἐκ τῆς Ῥέας, καὶ μανεὶς ἤσθιε τὰ ἴδια τέκνα. Φασὶ δὲ τὸν Δία κόψαι αὐτοῦ τὰ ἀναγκαῖα (5) καὶ βαλεῖν εἰς τὴν θάλασσαν,

(1) Cf. p. 234, n. 3.

(2) Conf. p. 49.

(3) D, ἀλλὰ καὶ καθ' ἕκ. τ. θ. αὐτῶν ἠθελήσαμεν ἐξελθεῖν. Pro ἐλθεῖν, non ἐξελθεῖν, sed διελθεῖν fere velim.

(4) Codex A, ὁπῶς, quod mutavi. Infra δεύτερος est, quod ad restituendum ὁ πρῶτος duxit. D, ἀτοπίαν παρεισάγεται γὰρ παρ' αὐτοῖς. Trapezuntius : « inducitur autem ab eis ante omnes deos Saturnus. » Billyus : « car ils mettent le premier sur le rang Saturne. »

(5) D, τὰ αἰδοῖα. Nescio utrum

ὅθεν Ἀφροδίτην μυθεύεσθαι (1) γεννᾶσθαι. Δήσας οὖν τὸν ἴδιον πατέρα ὁ Ζεὺς ἔβαλεν εἰς τὸν Τάρταρον. Ὁρᾷς τὴν πλάνην καὶ ἀσέλγειαν ἣν παρεισάγουσι κατὰ τοῦ θεοῦ αὐτῶν; Ἐνδέχεται οὖν θεὸν εἶναι δέσμιον καὶ ἀπόκοπον; ὢ τῆς ἀνοίας! τίς τῶν νοῦν ἐχόντων ταῦτα φήσειεν; »

« Δεύτερος παρεισάγεται ὁ Ζεὺς, ὃν φασὶ βασιλεῦσαι τῶν θεῶν αὐτῶν, καὶ μεταμορφοῦσθαι εἰς ζῶα, ὅπως μοιχεύσῃ θνητὰς γυναῖκας. Παρεισάγουσι γὰρ τοῦτον μεταμορφούμενον εἰς ταῦρον πρὸς Εὐρώπην, καὶ εἰς χρυσὸν πρὸς Δανάην, καὶ εἰς κύκνον (2) πρὸς Λήδαν, καὶ εἰς σάτυρον πρὸς Ἀντιόπην, καὶ εἰς κεραυνὸν πρὸς Σεμέλην· εἶτα γενέσθαι ἐκ τούτων τέκνα πολλὰ, Διόνυσον, καὶ Ζῆθον (3) καὶ Ἀμφίονα, καὶ Ἡρακλῆν, καὶ Ἀπόλλωνα καὶ Ἄρτεμιν, καὶ Περσέα, Κάστορά τε καὶ Ἑλένην καὶ Πολυδεύκην, καὶ Μίνωα, καὶ Ῥαδάμανθυν, καὶ Σαρπηδόνα, καὶ τὰς ἐννέα

nominum eorum alteri præstet. Est ἀναγκαῖον eo sensu antiquum. Artemidorus, 1, 45, ea de re: ἀναγκαῖόν τι καλεῖται· ubi Rigalt. et Reisk. Acta Theclæ in Grabii Spicil. t. 1, p. 112: ὑπὸ τὰ ἀναγκαῖα τῶν ταύρων πεπυρωμένα σίδηρα ὑπέθηκαν. Misson. Itin. t. 1, p. 263: « Il a été conclu qu'un » prestre ajusté pour la musique » pourroit exercer la sacrifica- » ture aussi bien qu'un autre, » pourvu qu'il eust ses *nécessités*, » ou, si vous voulez, ses *super-* » *fluités*, dans sa poche. »

(1) D, ἀφροδίτη μυθεύεται.

(2) A, εἰς σκύμνον.

(3) Starkius in versione Symeonis Sethi de Stephanite et Ichnelate, p. 487: « opto, rex, » ut ad Zethi ætatem pertingas. » Quæ verba prima forte in oculos incurrebant, quum librum perrarum, diu ac frustra quæsitum, tandem avide aperirem jam meum, idque beneficio Sinneri v. humanissimi ac doctiss. Quæ latinis respondent græca hæc sunt: βασιλεῦ, εἰς τὸν αἰῶνα ζῆθ. Abeat procul ille ζῆθ, homo nec Græcus, nec Indus, nec Persa, cui substituatur verbum imperativum ζῆθι: fietque formula ex Oriente sumta, quam explicui supra p. 24, et quæ rursus infra occurret p. 264, 3.

θυγατέρας ἃς προσηγόρευσαν Μούσας. Εἶθ' οὕτως παρεισάγουσι τὰ κατὰ τὸν Γανυμήδην. Συνέβη οὖν, βασιλεῦ, τοῖς ἀνθρώποις μιμεῖσθαι ταῦτα πάντα, καὶ γίνεσθαι μοιχοὺς καὶ ἀρρενομανεῖς, καὶ ἄλλων δεινῶν ἔργων ἐργάτας, κατὰ μίμησιν τοῦ θεοῦ (1) αὐτῶν. Πῶς οὖν ἐνδέχεται θεὸν εἶναι μοιχὸν ἢ ἀνδροβάτην, ἢ πατροκτόνον; »

« Σὺν τούτῳ δὲ καὶ Ἥφαιστόν τινα παρεισάγουσι θεὸν εἶναι, καὶ τοῦτον χωλὸν, καὶ κρατοῦντα σφῦραν καὶ πυρόλαβον, καὶ χαλκεύοντα χάριν τροφῆς. Ἄρα ἐπιδεής ἐστιν· ὅπερ οὐκ ἐνδέχεται θεὸν εἶναι χωλὸν καὶ προσδεόμενον ἀνθρώπων. »

« Εἶτα τὸν Ἑρμῆν παρεισάγουσι θεὸν εἶναι ἐπιθυμητὴν, καὶ κλέπτην καὶ πλεονέκτην, καὶ μάγον, καὶ κυλλὸν, καὶ λόγων ἑρμηνευτήν. Ὅπερ οὐκ ἐνδέχεται θεὸν εἶναι τοιοῦτον. »

« Τὸν δὲ Ἀσκληπιὸν παρεισάγουσι θεὸν εἶναι, ἰατρὸν ὄντα καὶ κατασκευάζοντα φάρμακα καὶ σύνθεσιν ἐμπλάστρων, χάριν τροφῆς (ἐπενδεὴς γὰρ ἦν), ὕστερον δὲ κεραυνοῦσθαι αὐτὸν ὑπὸ τοῦ Διὸς διὰ Τυνδάρεων (2) Λακεδαίμονος υἱὸν, καὶ ἀποθανεῖν. Εἰ δὲ Ἀσκληπιὸς θεὸς ὢν καὶ κεραυνωθεὶς οὐκ ἠδυνήθη ἑαυτῷ βοηθῆσαι, πῶς ἄλλοις βοηθήσει; »

« Ἄρης δὲ παρεισάγεται θεὸς εἶναι πολεμιστὴς καὶ

(1) A, τῶν θεῶν.

(2) A, διαπινδάρεως. D, διαπινδάρεων. Trapezuntius : « propter » Darii Lacedæmonii filium. » Billyus : « pour l'amour du fils de » Daire Lacédémonien. » Qui interpretes, si ad permutationem vocalium attendissent, facilem quam feci medicinam et ipsi fecissent. Fuisse Tyndareum ab Æsculapio in vitam revocatum notum est. Alios, qui dixerint Tyndareum fuisse Lacedæmonis filium, nunc non memini.

ζηλωτὴς, καὶ ἐπιθυμητὴς θρεμμάτων (1) καὶ ἑτέρων τινῶν· ὕστερον δὲ αὐτὸν μοιχεύοντα τὴν Ἀφροδίτην δεθῆναι αὐτὸν (2) ὑπὸ τοῦ νηπίου Ἔρωτος καὶ ὑπὸ Ἡφαίστου. Πῶς οὖν θεός ἐστιν ὁ ἐπιθυμητὴς καὶ πολεμιστὴς καὶ δέσμιος καὶ μοιχός; »

« Τὸν δὲ Διόνυσον παρεισάγουσι θεὸν εἶναι, νυκτερινὰς ἄγοντα ἑορτὰς καὶ διδάσκαλον μέθης, καὶ ἀποσπῶντα τὰς τῶν πλησίον γυναῖκας, καὶ μαινόμενον καὶ φεύγοντα· ὕστερον δὲ αὐτὸν σφαγῆναι ὑπὸ τῶν Τιτάνων. Εἰ οὖν Διόνυσος σφαγεὶς οὐκ ἠδυνήθη ἑαυτῷ βοηθῆσαι, ἀλλὰ καὶ μαινόμενος ἦν καὶ μέθυσος καὶ δραπέτης, πῶς ἂν εἴη θεός; »

« Τὸν δὲ Ἡρακλῆν παρεισάγουσι μεθυσθῆναι καὶ μανῆναι, καὶ τὰ ἴδια τέκνα σφάξαι, εἶτα πυρὶ αναλωθῆναι καὶ οὕτως ἀποθανεῖν. Πῶς δ' ἂν εἴη θεὸς, μέθυσος καὶ τεκνοκτόνος, καὶ κατακαιόμενος; ἢ πῶς ἄλλοις βοηθήσει, ἑαυτῷ βοηθῆσαι μὴ δυνηθείς; »

« Τὸν δὲ Ἀπόλλωνα παρεισάγουσι θεὸν εἶναι ζηλωτὴν, ἔτι δὲ καὶ τόξον καὶ φαρέτραν κρατοῦντα, ποτὲ δὲ καὶ κιθάραν καὶ ἐπαυθίδα (3), καὶ μαντευόμενον τοῖς ἀνθρώποις χάριν μισθοῦ. Ἄρα ἐπενδεής ἐστιν· ὅπερ οὐκ ἐνδέχεται θεὸν εἶναι ἐνδεῆ καὶ ζηλωτὴν καὶ κιθαρῳδόν. »

« Ἄρτεμιν δὲ παρεισάγουσιν ἀδελφὴν αὐτοῦ εἶναι, κυνηγὸν οὖσαν, καὶ τόξον ἔχειν μετὰ φαρέτρας, καὶ ταύτην ῥέμβεσθαι κατὰ τῶν ὀρέων μόνην μετὰ τῶν

(1) Trapezuntius : « cupidus » ovium. » Billyus : « convoiteux » de brebis. » Manifestum est requiri aliud, ni significare voluerit a Marte belli deo agi ac ferri greges resque alias.

(2) Vel prius αὐτὸν, vel hoc, esse delendum videtur.

(3) Sic AD. Trapezuntius : « citharam et tibiam. » Billyus : « la harpe et la fleute. » Forsan καὶ πηκτίδα.

κυνῶν, ὅπως θηρεύσει ἔλαφον ἢ κάπρον. Πῶς οὖν ἔσται θεὸς ἡ τοιαύτη γυνὴ καὶ κυνηγὸς καὶ ῥεμβομένη μετὰ τῶν κυνῶν; »

Ἀφροδίτην (1) δὲ λέγουσι καὶ αὐτὴν θεὰν εἶναι μοιχαλίδα. Ποτὲ γὰρ ἔσχε μοιχὸν τὸν Ἄρην, ποτὲ δὲ Ἀγχίσην, ποτὲ δὲ Ἄδωνιν, οὗτινος καὶ τὸν θάνατον κλαίει, ζητοῦσα τὸν ἐραστὴν αὐτῆς· ἣν λέγουσιν καὶ εἰς Ἅδου καταβαίνειν, ὅπως ἐξαγοράσῃ τὸν Ἄδωνιν ἀπὸ τῆς Περσεφόνης. Εἶδες, ὦ βασιλεῦ, μείζονα ταύτης ἀφροσύνην; θεὰν παρεισάγειν τὴν μοιχεύουσαν καὶ θρηνοῦσαν καὶ κλαίουσαν; »

« Ἄδωνιν δὲ παρεισάγουσι θεὸν εἶναι κυνηγὸν, καὶ τοῦτον βιαίως ἀποθανεῖν πληγέντα ὑπὸ τοῦ ὑὸς (2), καὶ μὴ δυνηθέντα βοηθῆσαι τῇ ταλαιπωρίᾳ ἑαυτοῦ. Πῶς οὖν τῶν ἀνθρώπων φροντίδα ποιήσεται ὁ μοιχὸς καὶ κυνηγὸς καὶ βιοθάνατος; »

« Ταῦτα πάντα καὶ πολλὰ τοιαῦτα καὶ πολλῷ πλεῖον αἰσχρότερα καὶ πονηρὰ παρεισήγαγον οἱ Ἕλληνες, βασιλεῦ, περὶ τῶν θεῶν αὐτῶν, ἃ οὔτε λέγειν θέμις, οὔτ᾽ ἐπὶ μνήμης ὅλως φέρειν· ὅθεν λαμβάνοντες οἱ ἄνθρωποι ἀφορμὴν ἀπὸ τῶν θεῶν αὐτῶν, ἔπραττον πᾶσαν ἀνομίαν καὶ ἀσέλγειαν καὶ ἀσέβειαν, καταμιαίνοντες γῆν τε καὶ ἀέρα ταῖς δειναῖς αὐτῶν πράξεσιν. »

(1) A, μόνην μετὰ τῶν κυνῶν· Ἀφροδίτην. Omissa sunt media propter homœoteleuton. Theophilus Alex. Homil. « Cujus rei » homo » p. 20 : περιέδειξέ σοι ὁ Θεὸς τὴν θανατηφόρον βλάβην τοῦ ὄφεως τούτου καὶ διὰ τοῦ ἵππου καὶ διὰ τοῦ υἱοῦ ἠγαπημένου. Cod. 1013: καὶ διὰ τοῦ ἵππου, καὶ διὰ τοῦ οἰκέτου, καὶ διὰ τοῦ υἱοῦ ἠγ. Quæ necessaria verba male typotheta omisit; nam fuerunt in Morellii editoris apographo, qui ea latine vertit, p. 19.

(2) Forsan ὑπό του ὑός. D, ὑπὸ τοῦ υἱοῦ.

« Αἰγύπτιοι δὲ, ἀβελτερώτεροι (1) καὶ ἀφρονέστεροι τούτων ὄντες, χεῖρον πάντων τῶν ἐθνῶν ἐπλανήθησαν. Οὐ γὰρ ἠρκέσθησαν τοῖς τῶν Χαλδαίων καὶ Ἑλλήνων σεβάσμασιν, ἀλλ' ἔτι καὶ ἄλογα ζῶα παρεισήγαγον θεοὺς εἶναι χερσαῖά τε καὶ ἔνυδρα, καὶ τὰ φυτὰ καὶ βλαστὰ, καὶ ἐμιάνθησαν ἐν πάσῃ μανίᾳ καὶ ἀσελγείᾳ χεῖρον πάντων τῶν ἐθνῶν ἐπὶ τῆς γῆς. »

« Ἀρχῆθεν γὰρ ἐσέβοντο τὴν Ἶσιν, ἔχουσαν ἀδελφὸν καὶ ἄνδρα τὸν Ὄσιριν, τὸν σφαγέντα ὑπὸ τοῦ ἀδελφοῦ αὐτοῦ Τύφωνος. Καὶ διὰ τοῦτο φεύγει ἡ Ἶσις μετὰ Ὥρου τοῦ υἱοῦ αὐτῆς εἰς Βύβλον τῆς Συρίας, ζητοῦσα τὸν Ὄσιριν, πικρῶς θρηνοῦσα, ἕως ηὔξησεν ὁ Ὧρος καὶ ἀπέκτεινε τὸν Τύφωνα. Οὔτε οὖν ἡ Ἶσις (2) ἴσχυσε βοηθῆσαι τῷ ἰδίῳ ἀδελφῷ καὶ ἀνδρί· οὔτε ὁ Ὄσιρις σφαζόμενος ὑπὸ τοῦ Τύφωνος ἠδυνήθη ἀντιλαβέσθαι ἑαυτοῦ· οὔτε Τύφων ὁ ἀδελφοκτόνος, ἀπολλύμενος ὑπὸ τοῦ Ὥρου καὶ τῆς Ἴσιδος, εὐπόρησε ῥύσασθαι ἑαυτὸν τοῦ θανάτου. Καὶ ἐπὶ τοιούτοις ἀτυχήμασι γνωρισθέντες αὐτοὶ θεοὶ ὑπὸ τῶν ἀσυνέτων

(1) A, ἀβελτόπεροι. D, ἀβελτώπεροι. Non videbatur esse ἀβέλπερος inter pauca numerandum adjectiva, quæ comparativum curtum habent, ut εὐπύπωτος, εὐχείρωτος, &c. Menander Histor. Fragm. VIII, p. 428 : ὅτι ἀναπλερωτόν τι χρῆμα ἡ νίκη, καὶ διαδιδράσκειν οἵατι οὖσα ῥᾳδίως. Hæc est viri doct. scriptura conjecturalis pro pristina ἀναπλερώτατόν τι χρ. Equidem nil mutari malim. Erit ἀναπλερώτατον, superlativus decurtatus, pro ἀναπλερωτότατον, quod ob tautismum fugisse videntur. Vide Wyttenb. ad Plut. De disc. adul. pag. 51 D.

(2) A, Ἶσις sine articulo, non valde quidem necessario. Articulum necessarium τῶν reddidi tom. III, pag. 74, 24, Joanni Gabræ, quod tunc monere neglexeram. Choricius in Summ. § 16 : καὶ σὺ τῶν Ἀρραβίων ἑκάστῳ τὴν ἐπιβάλλουσαν διωρίσας οὕτω μοῖραν, ὥσπερ εἰς λόγους ἐλθὼν που τῇ τύχῃ οἰκητόρων. Bene codices διώρισας et τῶν οἰκητ.

Αἰγυπτίων ἐνομίσθησαν· οἵτινες, μηδ' ἐν τούτοις ἀρκεσθέντες ἢ τοῖς λοιποῖς σεβάσμασι τῶν ἐθνῶν, καὶ τὰ ἄλογα ζῶα παρεισήγαγον θεοὺς εἶναι.»

«Τινὲς γὰρ αὐτῶν ἐσεβάσθησαν πρόβατον, τινὲς δὲ τράγον, ἕτεροι δὲ μόσχον καὶ τὸν χοῖρον, ἄλλοι δὲ τὸν κόρακα καὶ τὸν ἱέρακα καὶ τὸν γῦπα καὶ τὸν ἀετόν, καὶ ἄλλοι τὸν κροκόδειλον, τινὲς δὲ τὸν αἴλουρον καὶ τὸν κύνα, καὶ τὸν λύκον καὶ τὸν πίθηκον, καὶ τὸν δράκοντα καὶ τὴν ἀσπίδα, καὶ ἄλλοι τὸ κρόμυον καὶ τὸ σκόροδον καὶ ἀκάνθας, καὶ τὰ λοιπὰ κτίσματα. Καὶ οὐκ αἰσθάνονται οἱ ταλαίπωροι περὶ πάντων τούτων ὅτι οὐδὲν ἰσχύουσιν. Ὁρῶντες γὰρ τοὺς θεοὺς αὐτῶν βιβρωσκομένους ὑπὸ ἑτέρων ἀνθρώπων καὶ καιομένους καὶ σφαττομένους, καὶ σηπομένους, οὐ συνῆκαν περὶ αὐτῶν ὅτι οὐκ εἰσὶ θεοί.»

«Πλάνην οὖν μεγάλην ἐπλανήθησαν οἵ τε Αἰγύπτιοι καὶ οἱ Χαλδαῖοι καὶ οἱ Ἕλληνες τοιούτους παρεισάγοντες θεούς, καὶ ἀγάλματα αὐτῶν ποιοῦντες, καὶ θεοποιούμενοι τὰ κωφὰ καὶ ἀναίσθητα εἴδωλα. Καὶ θαυμάζω πῶς ὁρῶντες τοὺς θεοὺς αὐτῶν ὑπὸ τῶν δημιουργῶν πριζομένους καὶ πελεκωμένους, παλαιουμένους τε ὑπὸ τοῦ χρόνου καὶ ἀναλυομένους, καὶ χωνευομένους, οὐκ ἐφρόνησαν περὶ αὐτῶν ὅτι οὐκ εἰσὶ θεοί. Ὅτε γὰρ περὶ τῆς ἰδίας σωτηρίας οὐδὲν ἰσχύουσι, πῶς τῶν ἀνθρώπων πρόνοιαν ποιήσονται; Ἀλλ' οἱ ποιηταὶ αὐτῶν καὶ φιλόσοφοι, τῶν τε Χαλδαίων καὶ Ἑλλήνων καὶ Αἰγυπτίων, θελήσαντες τοῖς ποιήμασιν αὐτῶν καὶ συγγραφαῖς σεμνῦναι τοὺς παρ' αὐτοῖς θεούς, μειζόνως τὴν αἰσχύνην αὐτῶν ἐξεκάλυψαν καὶ γυμνὴν πᾶσι προὔθηκαν. Εἰ γὰρ τὸ σῶμα τοῦ ἀνθρώπου πολυμερὲς

ὃν οὐκ ἀποβάλλεταί τι τῶν ἰδίων μελῶν, ἀλλὰ, πρὸς πάντα τὰ μέλη ἀδιάῤῥηκτον ἕνωσιν ἔχον, ἑαυτῷ ἐστὶ σύμφωνον, πῶς ἐν φύσει θεοῦ μάχη καὶ διαφωνία ἔσται τοσαύτη; εἰ γὰρ μία φύσις τῶν θεῶν ὑπῆρχεν, οὐκ ὤφειλεν θεὸς θεὸν διώκειν, οὔτε σφάζειν, οὔτε κακοποιεῖν· εἰ δὲ οἱ θεοὶ ὑπὸ θεῶν ἐδιώχθησαν καὶ ἐσφάγησαν, καὶ ἡρπάγησαν καὶ ἐκεραυνώθησαν, οὐκ ἔτι μία φύσις ἐστὶν, ἀλλὰ γνῶμαι διῃρημέναι, πᾶσαι κακοποιοὶ, ὥστε οὐδεὶς ἐξ αὐτῶν ἐστὶ θεός. Φανερὸν οὖν ἐστιν, ὦ βασιλεῦ, πλάνην εἶναι πᾶσαν τὴν περὶ τῶν θεῶν φυσιολογίαν. »

« Πῶς δὲ οὐ συνῆκαν οἱ σοφοὶ καὶ λόγιοι τῶν Ἑλλήνων ὅτι καὶ οἱ νόμους (1) θέμενοι κρίνονται ὑπὸ τῶν ἰδίων νόμων; Εἰ γὰρ οἱ νόμοι δίκαιοί εἰσιν, ἄδικοι πάντως οἱ θεοὶ αὐτῶν εἰσὶ, παράνομα ποιήσαντες, ἀλληλοκτονίας καὶ φαρμακίας, καὶ μοιχείας καὶ κλοπὰς, καὶ ἀρσενοκοιτίας. Εἰ δὲ καλῶς ἔπραξαν ταῦτα, οἱ νόμοι ἄρα ἄδικοί εἰσι, κατὰ τῶν θεῶν συντεθέντες. Νυνὶ δὲ οἱ νόμοι καλοί εἰσι καὶ δίκαιοι, τὰ καλὰ ἐπαινοῦντες καὶ τὰ κακὰ ἀπαγορεύοντες· τὰ δὲ ἔργα τῶν θεῶν αὐτῶν παράνομα· παράνομοι ἄρα οἱ θεοὶ αὐτῶν, καὶ ἔνοχοι πάντες θανάτου καὶ ἀσεβεῖς οἱ τοιούτους θεοὺς παρεισάγοντες. Εἰ μὲν γὰρ μυθικαὶ αἱ περὶ αὐτῶν ἱστορίαι, οὐδέν εἰσιν, εἰ μὴ μόνον λόγοι· εἰ δὲ φυσικαὶ, οὐκ ἔτι θεοί εἰσιν οἱ ταῦτα ποιήσαντες καὶ παθόντες· εἰ δὲ ἀλληγορικαὶ, μῦθοί εἰσι καὶ οὐκ ἄλλο τι. »

(1) A, ὅτι νόμους. D, καὶ νόμους. Sumsi utramque vocem et addidi οἱ, quo oratio carere non posse videbatur. Ad κρίν. est in A glossa, vel varietas, ἤτοι κατακρίνονται.

« Ἀποδέδεικται τοίνυν, ὦ βασιλεῦ, ταῦτα πάντα τὰ πολύθεα σεβάσματα πλάνης ἔργα καὶ ἀπωλείας ὑπάρχειν. Οὐ χρὴ οὖν θεοὺς ὀνομάζειν ὁρατοὺς καὶ μὴ ὁρῶντας· ἀλλὰ τὸν ἀόρατον καὶ πάντας δημιουργήσαντα δεῖ σέβεσθαι Θεόν. »

« Ἔλθωμεν οὖν, ὦ βασιλεῦ, καὶ ἐπὶ τοὺς Ἰουδαίους, ὅπως ἴδωμεν τί φρονοῦσι καὶ αὐτοὶ περὶ θεοῦ. Οὗτοι γὰρ, τοῦ Ἀβραὰμ ὄντες ἀπόγονοι καὶ Ἰσαάκ τε καὶ Ἰακὼβ, παρῴκησαν εἰς Αἴγυπτον. Ἐκεῖθεν δὲ ἐξήγαγεν αὐτοὺς ὁ Θεὸς « ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ (1) » διὰ Μωσέως τοῦ νομοθέτου αὐτῶν, καὶ τέρασι πολλοῖς καὶ σημείοις (2) ἐγνώρισεν αὐτοῖς τὴν ἑαυτοῦ δύναμιν. Ἀλλ', ἀγνώμονες καὶ αὐτοὶ φανέντες καὶ ἀχρηστοι, πολλάκις ἐλάτρευσαν τοῖς τῶν ἐθνῶν σεβάσμασι, καὶ τοὺς ἀπεσταλμένους πρὸς αὐτοὺς προφήτας καὶ δικαίους ἀπέκτειναν. Εἶτα ὡς εὐδόκησεν ὁ υἱὸς τοῦ Θεοῦ ἐλθεῖν ἐπὶ τῆς γῆς, ἐμπαροινήσαντες εἰς αὐτὸν, προέδωκαν Πιλάτῳ τῷ ἡγεμόνι τῶν Ῥωμαίων καὶ σταυρῷ κατεδίκασαν, μὴ αἰδεσθέντες τὰς εὐεργεσίας αὐτοῦ, καὶ τὰ ἀναρίθμητα θαύματα ἅπερ ἐν αὐτοῖς εἰργάσατο. Διὸ ἀπώλοντο τῇ ἰδίᾳ παρανομίᾳ. Σέβονται γὰρ καὶ νῦν Θεὸν τὸν μόνον παντοκράτορα, ἀλλ' οὐ κατ' ἐπίγνωσιν· τὸν γὰρ Χριστὸν ἀρνοῦνται τὸν υἱὸν τοῦ Θεοῦ, καὶ εἰσὶ παρόμοιοι τοῖς ἔθνεσι, κἂν ἐγγίζειν πως τῇ ἀληθείᾳ δοκῶσιν, ἧς ἑαυτοὺς ἐμάκρυναν. Ταῦτα περὶ τῶν Ἰουδαίων. »

« Οἱ δὲ χριστιανοὶ γενεαλογοῦνται ἀπὸ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ. Οὗτος δὲ ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ὑψίστου ὁμολογεῖται, ἐν Πνεύματι Ἁγίῳ ἀπ' οὐρανοῦ καταβὰς

(1) Psalm. cxxxv, 12. (2) Cf. p. 53, n. 2.

διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων· καὶ, ἐκ παρθένου ἁγίας γεννηθεὶς ἀσπόρως τε καὶ ἀφθόρως, σάρκα ἀνέλαβε, καὶ ἀνεφάνη ἀνθρώποις, ὅπως ἐκ τῆς πολυθέου πλάνης αὐτοὺς ἀνακαλέσηται. Καὶ, τελέσας τὴν θαυμαστὴν αὐτοῦ οἰκονομίαν, διὰ σταυροῦ θανάτου ἐγεύσατο ἑκουσίᾳ βουλῇ κατ᾽ οἰκονομίαν μεγάλην· μετὰ δὲ τρεῖς ἡμέρας ἀνεβίω καὶ εἰς οὐρανοὺς ἀνῆλθεν. Οὗ τὸ κλέος τῆς παρουσίας ἐκ τῆς παρ᾽ αὐτοῖς καλουμένης εὐαγγελικῆς ἁγίας γραφῆς ἔξεστί σοι γνῶναι, βασιλεῦ, ἐὰν ἐντύχῃς. Οὗτος δώδεκα ἔσχε μαθητὰς, οἳ, μετὰ τὴν ἐν οὐρανοῖς ἄνοδον αὐτοῦ, ἐξῆλθον εἰς τὰς ἐπαρχίας τῆς οἰκουμένης, καὶ ἐδίδαξαν τὴν ἐκείνου μεγαλωσύνην· καθάπερ εἷς ἐξ αὐτῶν τὰς καθ᾽ ἡμᾶς περιῆλθε χώρας, τὸ δόγμα κηρύττων τῆς ἀληθείας. Ὅθεν οἱ εἰσέτι διακονοῦντες τῇ δικαιοσύνῃ τοῦ κηρύγματος αὐτῶν, καλοῦνται χριστιανοί. Καὶ οὗτοι εἰσὶν οἱ ὑπὲρ πάντα τὰ ἔθνη τῆς γῆς εὑρόντες τὴν ἀλήθειαν· γινώσκουσι γὰρ τὸν Θεὸν, κτίστην καὶ δημιουργὸν τῶν ἁπάντων ἐν Υἱῷ μονογενεῖ καὶ Πνεύματι Ἁγίῳ, καὶ ἄλλον θεὸν πλὴν τούτου οὐ σέβονται. Ἔχουσι τὰς ἐντολὰς αὐτοῦ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ ἐν ταῖς καρδίαις κεχαραγμένας, καὶ ταύτας φυλάττουσι, προσδοκῶντες ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Οὐ μοιχεύουσιν, οὐ πορνεύουσιν, οὐ ψευδομαρτυροῦσιν, οὐκ ἐπιθυμοῦσι τὰ ἀλλότρια, τιμῶσι πατέρα καὶ μητέρα, καὶ τοὺς πλησίον φιλοῦσι, δίκαια κρίνουσιν, ὅσα οὐ θέλουσιν αὐτοῖς γίνεσθαι ἑτέρῳ οὐ ποιοῦσι, τοὺς ἀδικοῦντας αὐτοὺς παρακαλοῦσι καὶ προσφιλεῖς αὐτοὺς ἑαυτοῖς ποιοῦσι, τοὺς ἐχθροὺς εὐεργετεῖν σπουδάζουσι, πρᾳεῖς εἰσὶ καὶ ἐπιεικεῖς, ἀπὸ πάσης συνουσίας ἀνόμου καὶ ἀπὸ πάσης

ἀκαθαρσίας ἐγκρατεύονται, χήραν οὐχ ὑπερορῶσιν, ὀρφανὸν οὐ λυποῦσιν· ὁ ἔχων τῷ μὴ ἔχοντι ἀφθόνως ἐπιχορηγεῖ· ξένον ἐὰν ἴδωσιν, ὑπὸ στέγην εἰσάγουσι, καὶ χαίρουσιν ἐπ' αὐτῷ ὡς ἐπὶ ἀδελφῷ ἀληθινῷ· οὐ γὰρ κατὰ σάρκα ἀδελφοὺς ἑαυτοὺς καλοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. Ἕτοιμοί εἰσιν ὑπὲρ Χριστοῦ τὰς ψυχὰς αὐτῶν προέσθαι· τὰ γὰρ προστάγματα αὐτοῦ ἀσφαλῶς φυλάττουσιν, ὁσίως καὶ δικαίως ζῶντες, καθὼς κύριος ὁ Θεὸς αὐτοῖς προσέταξεν, εὐχαριστοῦντες αὐτῷ κατὰ πᾶσαν ὥραν ἐν παντὶ βρώματι καὶ ποτῷ καὶ τοῖς λοιποῖς ἀγαθοῖς. »

« Ὄντως οὖν αὕτη ἐστὶν ἡ ὁδὸς τῆς ἀληθείας, ἥτις τοὺς ὁδεύοντας αὐτὴν εἰς τὴν αἰώνιον χειραγωγεῖ βασιλείαν, τὴν ἐπηγγελμένην παρὰ Χριστοῦ ἐν τῇ μελλούσῃ ζωῇ. Καὶ ἵνα γνῷς, βασιλεῦ, ὅτι οὐκ ἀπ' ἐμαυτοῦ ταῦτα λέγω, ταῖς γραφαῖς ἐγκύψας τῶν χριστιανῶν, εὑρήσεις οὐδὲν ἔξω τῆς ἀληθείας με λέγειν. »

« Καλῶς οὖν συνῆκεν ὁ υἱός σου, καὶ δικαίως ἐδιδάχθη λατρεύειν ζῶντι Θεῷ καὶ σωθῆναι εἰς τὸν μέλλοντα ἐπέρχεσθαι αἰῶνα. Μεγάλα γὰρ καὶ θαυμαστὰ τὰ ὑπὸ τῶν χριστιανῶν λεγόμενα καὶ πραττόμενα· οὐ γὰρ ἀνθρώπων ῥήματα λαλοῦσιν, ἀλλὰ τὰ τοῦ Θεοῦ. Τὰ δὲ λοιπὰ ἔθνη πλανῶνται, καὶ πλανῶσιν ἑαυτούς· ὁδεύοντες γὰρ ἐν σκότει προσρήσσονται ἑαυτοῖς ὡς μεθύοντες. »

« Ἕως ὧδε ὁ πρὸς σέ μου λόγος, βασιλεῦ, ὁ ὑπὸ τῆς ἀληθείας ἐν τῷ νοΐ μου ὑπαγορευθείς. Διὸ παυσάσθωσαν οἱ ἀνόητοί σου σοφοὶ ματαιολογοῦντες κατὰ τοῦ Κυρίου· συμφέρει γὰρ ὑμῖν Θεὸν κτίστην σέβεσθαι

καὶ τὰ ἄφθαρτα αὐτοῦ ἐνωτίζεσθαι ῥήματα, ἵνα, κρίσιν ἐκφυγόντες καὶ τιμωρίαν, ζωῆς αἰωνίου δειχθείητε κληρονόμοι.»

Ταῦτα ὡς διεξῆλθεν ὁ Ναχώρ, ὁ μὲν βασιλεὺς τῷ θυμῷ ἠλλοιοῦτο· οἱ δὲ ῥήτορες αὐτοῦ καὶ νεωκόροι ἄφωνοι ἵσταντο, μὴ δυνάμενοι ἀντιλέγειν, ἀλλ' ἢ σαθρά τινα καὶ οὐδαμινὰ λογύδρια. Ὁ δὲ τοῦ βασιλέως υἱὸς ἠγαλλιᾶτο τῷ πνεύματι, καὶ φαιδρῷ τῷ προσώπῳ ἐδόξαζε τὸν Κύριον, τὸν ἐξ ἀπόρου πόρον διδόντα τοῖς πεποιθόσιν ἐπ' αὐτὸν, ὃς καὶ διὰ τοῦ πολεμίου καὶ ἐχθροῦ τὴν ἀλήθειαν ἐκράτυνε· καὶ ὁ τῆς πλάνης ἔξαρχος συνήγορος τοῦ ὀρθοῦ λόγου ἐδείκνυτο.

Ὁ μέντοι βασιλεὺς, καίπερ δεινῶς ὀργιζόμενος τῷ Ναχὼρ, οὐδὲν ὅμως ἐργάσασθαι κακὸν εἰς αὐτὸν ἠδύνατο, διὰ τὸ προλεχθὲν ἐπὶ πάντων θέσπισμα, ἀδεῶς αὐτὸν λέγειν ὑπὲρ τῶν χριστιανῶν προτρεπόμενον· πολλὰ δὲ αὐτὸς ἀντιλέγων ὑπεμίμνησκε δι' αἰνιγμάτων ὑπενδοῦναι τῆς ἐνστάσεως καὶ ἡττηθῆναι τῇ διαλέξει τῶν ῥητόρων. Ὁ δὲ μειζόνως ὑπερίσχυε, διαλύων πάσας αὐτῶν τὰς προτάσεις καὶ συλλογισμοὺς, καὶ ἐλέγχων τὸ ἀπατηλὸν τῆς πλάνης. Σχεδὸν δὲ μέχρις ἑσπέρας παραταθείσης τῆς διαλέξεως, ἐκέλευσεν ὁ βασιλεὺς διαλυθῆναι τὸ συνέδριον, ὡς τῇ ἐπιούσῃ βουλόμενος αὖθις περὶ τούτου διασκέψασθαι.

Ὁ δὲ υἱὸς ἔφη τῷ βασιλεῖ· «Ὡς ἐν ἀρχῇ δικαίαν ἐκέλευσας κρίσιν γενέσθαι, δέσποτα, δικαιοσύνην καὶ τῷ τέλει ἐπίθες, τῶν δύο τὸ ἕτερον ποιῶν· ἢ τὸν ἐμὸν διδάσκαλον ἐπίτρεψον μεῖναι μετ' ἐμοῦ τῇ νυκτὶ

ταύτῃ, ὡς ὁμοῦ διασκεψώμεθα περὶ ὧν χρὴ τὴν ἄριστον λαλῆσαι τοῖς πολεμοῦσιν ἡμᾶς, τοὺς σοὺς δὲ πάλιν σὺ μεθ' ἑαυτοῦ λαβὼν, τὰ εἰκότα μελετήσατε καθὼς βούλεσθε· ἢ, τοὺς σοὺς ἐμοὶ παραχωρήσας τῇ νυκτὶ ταύτῃ, λάβε τὸν ἐμὸν πρὸς ἑαυτόν. Εἰ δὲ ἀμφότεροι ὦσι παρὰ σοὶ, ὁ μὲν ἐμὸς ἐν θλίψει καὶ φόβῳ, οἱ δὲ σοὶ ἐν χαρᾷ καὶ ἀνέσει, οὔ μοι δοκεῖ δικαίαν εἶναι κρίσιν, ἀλλὰ δυναστείαν τῆς ἐξουσίας καὶ παράβασιν τῶν συνθηκῶν.»

Ἡττηθεὶς δὲ ὁ βασιλεὺς τῷ ἀστείῳ τοῦ ῥήματος, τοὺς σοφοὺς αὐτοῦ καὶ ἱερεῖς πρὸς ἑαυτὸν λαβόμενος, τὸν Ναχὼρ παραχωρεῖ τῷ υἱῷ, ἐλπίδας ἔτι κεκτημένος ἐπ' αὐτὸν καὶ φυλάττειν τὰ ὡμολογημένα δοκῶν.

Ἀπέρχεται τοίνυν ὁ τοῦ βασιλέως υἱὸς εἰς τὸ ἑαυτοῦ παλάτιον, ὥσπερ τις ὀλυμπιονίκης τῶν ἀντιπάλων κρατήσας, ἔχων μεθ' ἑαυτοῦ τὸν Ναχώρ. Καὶ κατὰ μόνας καλέσας αὐτὸν ἔφη·

« Μὴ νομίσῃς λανθάνειν ἐμὲ τὰ κατὰ σέ· οἶδα γάρ σε ἀκριβῶς μὴ τὸν θειότατον εἶναι Βαρλαάμ, ἀλλὰ Ναχὼρ τὸν ἀστρολόγον. Καὶ θαυμάζω πῶς ἔδοξεν ὑμῖν τοιαύτην ὑποκριθῆναι ὑπόκρισιν καὶ τοσαύτῃ ἀμβλυωπίᾳ νομίσαι περιβαλεῖν με μέσης ἡμέρας, ἵνα λύκον δέξωμαι ἀντὶ προβάτου. Ἀλλὰ καλῶς ὁ λόγος ἀδεται, ὅτι « καρδία μωροῦ μάταια νοήσει (1) ». Τὸ μὲν οὖν ἐνθύμημα τοῦτο καὶ βούλευμα ὑμῶν ἕωλον ἦν καὶ πάντῃ ἀνόητον· τὸ δὲ ἔργον ὃ εἰργάσω πάσης ἐστὶ συνέσεως πεπληρωμένον. Διὸ χαῖρε, Ναχὼρ, καὶ ἀγαλλιῶ· πολλὰς γάρ σοι χάριτας ὁμο-

(1) Isai. xxxii, 6.

λογῷ, ὅτι συνήγορος σήμερον τῆς ἀληθείας γέγονας, καὶ οὐκ ἐμίανας τὰ χείλη σου λόγοις μιαροῖς καὶ ὑποκρίσει δολίᾳ, ἀλλὰ τῶν πολλῶν μᾶλλον ἐξεκάθαρας μολυσμάτων, τὴν πλάνην τῶν ψευδωνύμων διελέγξας θεῶν καὶ τὴν ἀλήθειαν τῶν χριστιανικῶν δογμάτων κρατύνας. Ἐγὼ δὲ ἐσπούδασα ἀγαγεῖν σε μετ' ἐμοῦ δυοῖν ἕνεκα· ἵνα μὴ, καθὰ μόνας ὁ βασιλεὺς λαβών σε, τιμωρήσηται ἐφ' ᾧ οὐ τὰ καταθύμια αὐτῷ ἐφθέγξω, καὶ ἵνα τὴν χάριν ταύτην, ἣν σήμερον εἰργάσω, ἀνταμείψωμαι. Τίς δὲ ἡ ἀντάμειψις; τὸ ὑποδεῖξαί σοι ἐκκλῖναι τῆς πονηρᾶς ὁδοῦ καὶ ὀλισθηρᾶς ἣν ὥδευσας ἕως νῦν, πορευθῆναι δὲ τὴν εὐθεῖαν καὶ σωτήριον τρίβον, ἣν οὐκ ἀγνοῶν, ἀλλ' ἐθελοντὶ κακουργῶν, ἐξέφυγες, βαράθροις καὶ κρημνοῖς ἀνομίας σεαυτὸν κατακρημνίσας. Σύνες οὖν, ὦ Ναχὼρ, συνετὸς ὢν, καὶ προθυμήθητι τὸν Χριστὸν μόνον καὶ τὴν παρ' αὐτῷ κρυπτομένην ζωὴν κερδᾶναι, τῶν ῥεόντων τούτων καὶ φθειρομένων ὑπεριδών. Οὐ γὰρ τὸν πάντα ζήσῃ αἰῶνα· ἀλλὰ, θνητὸς ὢν, ἀπελεύσῃ ὅσον οὔπω, καθὼς καὶ οἱ πρὸ σοῦ πάντες. Καὶ οὐαί σοι, εἰ τὸν βαρὺν φόρτον τῆς ἁμαρτίας ἐπιφερόμενος ἀπελεύσῃ ἐκεῖ ὅπου κρίσις δικαία καὶ ἀνταπόδοσις τῶν ἔργων ἐστὶ, καὶ μὴ ἀποῤῥίψῃς τοῦτον, ῥᾳδίας οὔσης τῆς ἀποθέσεως. »

Ὁ Ναχὼρ τοίνυν, κατανυγεὶς τὴν ψυχὴν ἐπὶ τοῖς λόγοις τούτοις, ἔφη· « Καλῶς εἶπας, ὦ βασιλεῦ, καλῶς. Οἶδα γὰρ κἀγὼ τὸν ἀληθινὸν καὶ ἀψευδῆ Θεὸν, δι' οὗ τὰ πάντα γέγονε, καὶ τὴν μέλλουσαν κρίσιν ἐπίσταμαι, ἀπὸ πολλῶν γραφικῶν ῥημάτων ταύτην ἀκηκοώς· ἀλλ' ἡ πονηρὰ συνήθεια καὶ ἡ τοῦ

παλαιοῦ ἐπήρεια πτερνιστοῦ τοὺς ὀφθαλμοὺς ἐτύφλωσε τῆς καρδίας μου, καὶ σκότος βαθὺ περιέχυσέ μου τῷ λογισμῷ. Νυνὶ δὲ ἐπὶ τῷ ῥήματί σου, τὸ κάλυμμα τὸ ζοφῶδες ἀποῤῥίψας, τῷ φωτὶ προσδραμοῦμαι τοῦ προσώπου Κυρίου. Ἴσως ἐλεήσει με, καὶ θύραν ἀνοίξει μετανοίας τῷ πονηρῷ δούλῳ καὶ ἀποστάτῃ, εἰ καὶ ἀδύνατον δοκεῖ μοι ἄφεσιν γενέσθαι τῶν ψάμμου βαρυτέρων μου πλαισμάτων, ὧν ἐν γνώσει καὶ ἀγνοίᾳ ἥμαρτον νηπιόθεν καὶ μέχρι ταύτης μου τῆς ἡλικίας καὶ πολιᾶς. »

Ταῦτα ὡς ἤκουσεν ὁ τοῦ βασιλέως υἱὸς, εὐθὺς διανίσταται καὶ θερμότερος τὴν ψυχὴν γίνεται. Καὶ τὸν λογισμὸν τοῦ Ναχὼρ πρὸς ἀπόγνωσιν συγκύπτοντα ἀναλαμβάνειν ἄρχεται, καὶ στεῤῥότερον περὶ τὴν Χριστοῦ πίστιν διατιθέναι, « Μηδεὶς, ὦ Ναχώρ », λέγων, « μηδεὶς ἔστω σοι περὶ τούτου δισταγμός. Γέγραπται γὰρ (1) δυνατὸν εἶναι τῷ Θεῷ καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ· ὅπερ τί ἄλλο ἢ τοῦτό ἐστιν, ὡς ὁ πατὴρ ἔφη Βαρλαὰμ, τὸ ἐξ ἀνελπίστων καὶ πάσαις καταχρανθέντων ἀνομίαις δύνασθαι σωθῆναι, καὶ δούλους γενέσθαι Χριστοῦ, ὃς δι' ἄκραν φιλανθρωπίας ὑπερβολὴν πᾶσι τοῖς ἐπιστρέφουσι τὰς οὐρανίους διήνοιξε πύλας, οὐδενὶ τῶν πάντων τὴν τῆς σωτηρίας ἀποκλείσας ὁδὸν, ἀλλὰ συμπαθῶς τοὺς μετανοοῦντας δεχόμενος; Διὰ ταῦτα γὰρ καὶ τοῖς περὶ πρώτην καὶ τρίτην, ἕκτην τε καὶ ἐννάτην, καὶ ἑνδεκάτην ὥραν προσελθοῦσι τῷ ἀμπελῶνι καθ' ἴσον ἀφορίζεται ὁ μισθὸς, ὡς τὸ ἅγιον φησὶν εὐαγγέλιον (2)· ὥστε, κἂν μέχρι τοῦ νῦν ἐν ἁμαρτίαις

(1) Apud Matth. III, 9. (2) Matth. XX.

κατεγήρασας, ἐὰν θερμῶς προσέλθῃς, τῶν αὐτῶν τοῖς ἐκ νεότητος ἀγωνισάμενοις ἀξιωθήσῃ γερῶν.»

Πολλὰ δὲ καὶ ἕτερα περὶ μετανοίας λαλήσας ὁ θειότατος νεανίας τῷ παλαιωθέντι ἐν κακοῖς Ναχώρ, καὶ ἵλεων γενέσθαι τὸν Χριστὸν ὑποσχόμενος καὶ ἐγγυησάμενος τὴν ἄφεσιν, καὶ πληροφορήσας αὐτὸν ὡς ἕτοιμός ἐστιν ὁ ἀγαθὸς ἀεὶ τοῦ δέχεσθαι τὴν μετάνοιαν, τὴν νενοσηκυῖαν ψυχὴν αὐτοῦ οἷά τισι φαρμάκοις καταμαλάξας, καθαρὰν ἐχαρίσατο τὴν ὑγίειαν. Ἔφη γὰρ εὐθὺς ὁ Ναχὼρ πρὸς αὐτόν· «Σὺ μέν, ὦ εὐγενέστατε τὴν ψυχὴν μᾶλλον ἢ τὸ σῶμα, καλῶς μεμυημένος τὰ θαυμαστὰ μυστήρια ταῦτα, μένοις ἐν τῇ καλῇ ὁμολογίᾳ μέχρι τέλους, καὶ μηδεὶς ταύτην χρόνος ἢ τρόπος τῆς σῆς ἐκτέμοι καρδίας· ἐγὼ δὲ πορεύσομαι ἐξ αὐτῆς τὴν ἐμὴν ζητῶν σωτηρίαν, καὶ διὰ μετανοίας τὸν Θεὸν ἐξιλεωσόμενος ὃν παρώργισα. Οὐκ ἔτι γὰρ τὸ τοῦ βασιλέως ὄψομαι πρόσωπον, εἰ σὺ μόνον θελήσειας.»

Περιχαρὴς δὲ γενόμενος ὁ τοῦ βασιλέως υἱὸς καὶ ἀσμένως τὸν λόγον δεξάμενος, περιλαβὼν αὐτὸν καταφιλεῖ, καί, ἐκτενῶς πρὸς τὸν Θεὸν εὐξάμενος, ἐκπέμπει τοῦ παλατίου.

Ἐξελθὼν δὲ ὁ Ναχὼρ κατανενυγμένος τὴν ψυχήν, ἐπὶ τὴν βαθυτάτην ἄλλεται ὡς ἔλαφος ἔρημον, καὶ μοναχοῦ τινος, ἱερωσύνης περικειμένου ἀξίαν, καταλαμβάνει σπήλαιον, ἔνθα ἐκέκρυπτο ἐκεῖνος διὰ τὸν ἐπικείμενον φόβον. Τούτῳ δὲ θερμότατα προσπίπτει, πλύνει τοὺς πόδας δάκρυσι, τήν ποτε μιμούμενος πόρνην (1), καὶ τὸ θεῖον ἐξαιτεῖται βάπτισμα. Ὁ

(1) Luc. VII, 37, 38: γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός... ἤρ-

τοίνυν ἱερεὺς, θείας ὢν χάριτος πεπληρωμένος, ἥσθη τε λίαν, καὶ, παραχρῆμα, ὥσπερ ἔθος (1), κατηχήσας αὐτὸν, δι' ἡμερῶν οὐκ ὀλίγων τελειοῖ τῷ βαπτίσματι εἰς ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Ἔμεινε δὲ Ναχὼρ μετ' αὐτοῦ μετανοῶν ἀεὶ ἐφ' οἷς ἥμαρτε, καὶ εὐλογῶν τὸν Θεὸν τὸν μὴ βουλόμενον ἀπολέσθαι τινὰ, ἀλλὰ πάντων τὴν ἐπιστροφὴν ἐκδεχόμενον (2) καὶ μετανοοῦντας φιλανθρώπως δεχόμενον.

Ἕωθεν δὲ μαθὼν τὰ κατὰ τὸν Ναχὼρ ὁ βασιλεὺς, καὶ ἀπογνοὺς ἧς εἶχεν ἐλπίδος ἐπ' αὐτῷ, ἰδὼν δὲ καὶ τοὺς σοφοὺς αὐτοῦ καὶ παραφρονας ῥήτορας οὕτως ἀνὰ κράτος ἡττηθέντας, ἐν ἀμηχανίᾳ ἦν. Καὶ ἐκείνους μὲν ὕβρεσι δειναῖς καὶ ἀτιμίαις βαλὼν, οὓς δὲ καὶ βουνεύροις σφοδρῶς μαστιγώσας καὶ ἀσβόλη τὰς ὄψεις περιχρίσας, ἐξέβαλε τοῦ ἰδίου προσώπου· αὐτὸς δὲ καταγινώσκειν ἤρξατο τῆς τῶν ψευδωνύμων θεῶν ἀσθενείας, εἰ καὶ μὴ τελείως τῷ φωτὶ Χριστοῦ προσβλέψαι τέως ἠθέλησε. Τὸ γὰρ τῆς περικειμένης αὐτῷ ἀχλύος παχὺ νέφος κατεῖχεν ἔτι τὰς ὁράσεις αὐτοῦ τῆς καρδίας. Ἀλλ' οὖν οὐκ ἔτι τοὺς νεωκόρους ἐτίμα, οὔτε μὴν ἑορτὰς ἦγε καὶ σπονδὰς ἐπετέλει τοῖς εἰδώλοις· ἀλλὰ σαλευομένην εἶχε τὴν διάνοιαν ἀμφοτέρωθεν, ἔνθεν μὲν τῆς ἀσθενείας καταγινώσκων τῶν θεῶν αὐτοῦ, ἐκεῖθεν δὲ τὴν ἀκρίβειαν δεδοικὼς τῆς εὐαγγελικῆς πολιτείας καὶ δυσαποσπάστως τῶν

ξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι.

(1) A sine ὥσπερ ἔθος.

(2) Ezech. XVIII, 23 : μὴ θελήσει θελήσω τὸν θάνατον τοῦ ἀνόμου, λέγει Κύριος, ὡς τὸ ἀποστρέψαι αὐτὸν ἐκ τῆς ὁδοῦ τῆς πονηρίας.— C, δεχόμενον.

πονηρῶν ἔχων ἐθῶν (1). Πάνυ γὰρ ταῖς ἡδοναῖς κατεδουλοῦτο τοῦ σώματος, καὶ ὅλος ἦν πρὸς τὰ πάθη αἰχμαλώτου δίκην ἀγόμενος, καὶ μεθύων, ὅ φησιν Ἡσαΐας (2), ἄνευ οἴνου, καὶ ὥσπερ ὑπὸ κημοῦ τῆς πονηρᾶς συνηθείας ἑλκόμενος.

Οὕτως οὖν τοῦ βασιλέως δυσὶ παλαίοντος λογισμοῖς, ὁ εὐγενέστατος αὐτοῦ υἱὸς, καὶ τῷ ὄντι βασιλικωτάτην κεκτημένος ψυχὴν, ἠρεμῶν ἦν ἐν τῷ παλατίῳ αὐτοῦ, τὸ τῆς φύσεως αὐτοῦ γενναῖον κόσμιόν τε καὶ βεβηκὸς διὰ τῶν ἔργων πᾶσι παριστῶν. Θέατρα γὰρ καὶ ἀγῶνες ἵππων καὶ κυνηγεσίων μελέτη, καὶ πᾶσαι αἱ τῆς νεότητος κεναὶ σχολαὶ καὶ ἀπάται, τὰ τῶν ἀφρόνων ψυχῶν δελεάσματα, παρ' οὐδὲν ἐλογίζοντο αὐτῷ· ἀλλ' ὅλος τῶν τοῦ Χριστοῦ ἐξήρτητο ἐντολῶν, καὶ αὐτὸν ἐπόθει τρωθεὶς τὴν ψυχὴν ἔρωτι θείῳ· αὐτὸν ἐπόθει τὸν ὄντως ποθητὸν, ὅς ἐστιν ὅλος γλυκασμὸς καὶ ἐπιθυμία, καὶ ἀκόρεστος ἔφεσις. Εἰς μνήμην δὲ ἐρχόμενος τοῦ διδασκάλου Βαρλαὰμ, καὶ τὸν ἐκείνου ἐνοπτριζόμενος βίον, ἔρωτι τὴν ψυχὴν ἐθέλγετο, καὶ ὅπως αὐτὸν ἴδοι ἐφρόντιζεν ἐπιμελέστατα, καὶ, τοὺς λόγους αὐτοῦ ἐν τῇ καρδίᾳ περιφέρων ἀλήστως, οἱονεὶ ξύλον ἦν πεφυτευμένον παρὰ τοῖς ψαλμικοῖς ὕδασιν (3), ἀρδευόμενον ἀδιαλείπτως καὶ ὡραίους προσάγων (4) καρποὺς τῷ Κυρίῳ. Πολλὰς γὰρ ψυχὰς τῶν τοῦ Διαβόλου ἐρρύσατο

(1) C, ἔχων θεῶν.

(2) Isai. LI, 21: μεθύουσα οὐκ ἀπὸ οἴνου.

(3) Respectu ad Psalm. I, 3: ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ.

(4) AC, προσάγων, quod mutandum videbatur, scilicet relatum ad ξύλον. Passim ων et ον permutata fuerunt. Philostratus V. S. procem. p. 483, de sophistæ

ἀρκύων καὶ τῷ Χριστῷ προσήγαγε σεσωσμένας· πολλοὶ γὰρ εἰς αὐτὸν φοιτῶντες λόγων ἀπήλαυον σωτηρίων, ἐξ ὧν οὐκ ὀλίγοι, τὴν πλάνην φυγόντες, τῷ σωτηρίῳ προσέδραμον λόγῳ· ἄλλοι δὲ, μακρὰν τοῖς τοῦ βίου χαίρειν εἰπόντες, τὴν ἀσκητικὴν ὑπεισῆλθον παλαίστραν. Αὐτὸς δὲ εὐχαῖς ἐσχόλαζε καὶ νηστείαις, καὶ συχνῶς ταύτην ἀνέπεμπε τὴν φωνὴν, « Ὦ Κύριε », λέγων, « κύριέ μου καὶ βασιλεῦ, ᾧ ἐγὼ ἐπίστευσα, ἐφ' ὃν ἐγὼ κατέφυγον καὶ τῆς πλάνης ἐρρύσθην, ἀπόδος μισθὸν ἄξιον τῷ θεράποντί σου Βαρλαὰμ, ἀνθ' ὧν μοι τῷ πλανηθέντι σὲ ὑπέδειξε, τὴν ὁδὸν τῆς ἀληθείας καὶ τῆς ζωῆς· καὶ μὴ στερήσῃς με αὖθις ἰδεῖν τὸν ἐν σώματι Ἄγγελον ἐκεῖνον, οὗ οὐκ ἔστιν ὁ κόσμος ἐπάξιος, καὶ σὺν αὐτῷ τελέσαι τὸ λοιπὸν τῆς ζωῆς μου, ἵνα, κατ' ἴχνος τῆς αὐτοῦ πολιτείας περιπατήσας, εὐαρεστήσω σοι τῷ Θεῷ καὶ δεσπότῃ. »

Κατ' ἐκεῖνο δὲ καιροῦ πανήγυρις ἦν τῶν ψευδωνύμων θεῶν δημοτελὴς ἐν τῇ πόλει ἐκείνῃ (1)· ἔδει δὲ τὸν βασιλέα παρεῖναι τῇ ἑορτῇ καὶ θυσιῶν δαψιλείᾳ ταύτην κοσμῆσαι. Ἀλλ' ἐδεδίεσαν οἱ νεωκόροι, ὁρῶντες αὐτὸν ἀμελῶς περὶ τὸ σέβας αὐτῶν καὶ χλιαρῶς διακείμενον, μή ποτε ἀμελήσειε τῆς ἐν τῷ ναῷ παρουσίας, καὶ στερηθεῖεν αὐτοὶ τῆς διδομένης αὐτοῖς βασιλικῆς δωρεᾶς καὶ τῶν λοιπῶν προσόδων.

appellatione : Αἰσχίνης καὶ Δημοσθένης περὔφερον μὲν αὐτὸ ἀλλήλοις, οὐχ ὡς ὄνειδος δὲ, ἀλλ' ὡς διαβεβλημένοι τοῖς δικάζουσιν. Codex Vatic. apud Olearium, διαβεβλημένων : imo διαβεβλημένον, ut est scriptum recte in codice regio 3059.

(1) Aristænetus, I, 5 : πανηγύρεως ἐν προαστείῳ πανδημεὶ τελουμένης· ubi vid. nota. Theodorus Prodrom. in Notit. Mss. t. VII, p. 244 : τὴν χθὲς, θεοειδέστατε δέσποτα, ἐκ τῆς δημοπλῆς (leg. δημοπλοῦς) καὶ λαμπρᾶς καὶ τῷ μεγαλοπρεπεῖ σου πρεπούσης παλινοστίου ἑορτῆς.

Ἀναστάντες οὖν καταλαμβάνουσιν ἄντρον ἐν βαθυτάτῃ διακείμενον τῇ ἐρήμῳ, ἔνθα κατῴκει ἀνήρ τις μαγικαῖς σχολάζων τέχναις, καὶ τῆς εἰδωλικῆς πλάνης θερμότατος ὑπάρχων προαστάτης· Θευδᾶς ὄνομα αὐτῷ· ὃν καὶ ὁ βασιλεὺς ἐτίμα διαφερόντως, καὶ φίλον ἡγεῖτο καὶ διδάσκαλον, διὰ τῆς αὐτοῦ λέγων μαντείας εὐθυνουμένην προκόπτειν τὴν αὐτοῦ βασιλείαν. Ὡς εἰς αὐτὸν τοίνυν οἱ μὴ ἱερεῖς (1) τῶν εἰδώλων ἀφικόμενοι, τοῦτον εἰς βοήθειαν προσεκαλοῦντο, καὶ τὴν ἐγγινομένην τῷ βασιλεῖ τῶν θεῶν κατάγνωσιν δήλην ἐποίουν, οἷά τε ὁ τοῦ βασιλέως πεποιήκει υἱός, οἷα δὲ κατ' αὐτῶν ὁ Ναχὼρ δεδημηγορήκει. Καὶ ὥς « Εἰ μὴ αὐτός », φησίν, « ἐλεύσῃ βοηθήσων ἡμῖν, πᾶσα ἐξέλιπεν ἐλπίς, πάντα ἀπόλωλε τὰ τῶν θεῶν σεβάσματα· σὺ γὰρ μόνος ἡμῖν ὑπελείφθης τῆς συμφορᾶς παραμύθιον, καὶ ἐπὶ σοὶ τὰς ἐλπίδας ἐθέμεθα. »

Ἐκστρατεύει τοίνυν ὁ Θευδᾶς μετὰ τῆς συμπαρούσης (2) αὐτῷ σατανικῆς στρατιᾶς, καὶ κατὰ τῆς ἀληθείας ὁπλίζεται, πολλὰ τῶν πονηρῶν Πνευμάτων καλέσας, ἃ πρὸς τὰ φαῦλα συνεργεῖν οἶδε προθύμως, καὶ οἷς ἐκεῖνος ἀεὶ διακόνοις ἐχρῆτο· μεθ' ὧν παραγίνεται πρὸς τὸν βασιλέα. Ὡς δὲ ἐμηνύθη τῷ βασιλεῖ ἡ ἄφιξις αὐτοῦ, καὶ εἰσῆλθε, ῥάβδον μὲν κατέχων βαΐνην, μηλωτάριον (3) δὲ περιεζωσμένος, ἀνέστη ὁ βασιλεὺς τοῦ θρόνου, καὶ τοῦτον προσυπαν-

(1) A, μιερεῖς. Forsan οἱ μιαροὶ ἱερεῖς, οἱ μυσαροὶ ἱερεῖς.

(2) A, παρούσης, absente præpositione. Libanius Epist. 20: σταθμός τίς ἐστ περὶ τὸν Εὐφράτην· Καλλίνικος ὄνομα αὐτῷ. Καλλινίκου γὰρ ἐνταῦθα σφαγέντος, ὁ σοφιστὴς γίνεται προσηγορία τῷ τόπῳ. Poterit rescribi ἀποσφαγέντος e cod. 3035.

(3) Cf. p. 154, n. 3.

τήσας ἠσπάσατο, καὶ, θρόνον ἐνεγκὼν, πλησίον αὐτοῦ συνεδριάζειν πεποίηκεν. Εἶτα λέγει Θευδᾶς τῷ βασιλεῖ· « Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι, τῇ τῶν μεγίστων θεῶν εὐμενείᾳ σκεπόμενος. Ἤκουσα γὰρ ἀγῶνά σε μέγαν ἀγωνίσασθαι κατὰ τῶν Γαλιλαίων καὶ λαμπροτάτοις διαδήμασι νίκης καταστεφθῆναι. Διὸ ἐλήλυθα, ἵνα εὐχαριστήριον ἑορτὴν ὁμοῦ τελέσωμεν, νεανίσκους τε ὡραίους καὶ κόρας εὐόπτους τοῖς ἀθανάτοις θεοῖς καταθύσωμεν, ταύρους τε ἑκατὸν καὶ ζῶα τούτοις πλεῖστα προσενέγκωμεν, ὡς ἂν ἔχοιμεν αὐτοὺς καὶ εἰς τὸ ἑξῆς συμμάχους ἀηττήτους, ὅλον ἡμῖν τὸν βίον ἐξομαλίζοντας. »

Πρὸς ταῦτα ὁ βασιλεύς « Οὐ νενικήκαμεν », ἔφη, « ὦ πρεσβύτα· οὐ νενικήκαμεν, ἀλλ' ἀνὰ κράτος μᾶλλον ἡττήμεθα. Οἱ γὰρ ὑπὲρ ἡμῶν καθ' ἡμῶν ἐξαίφνης γεγόνασι. Παράβακχόν τε καὶ μανικὴν καὶ ἀσθενῆ τὴν ἡμετέραν εὑρόντες παράταξιν, τέλεον ταύτην κατέβαλον. Νυνὶ δὲ, εἴ τίς σοι δύναμις πρόσεστι καὶ ἰσχὺς εἰς τὸ βοηθῆσαι τῇ κάτω κειμένῃ θρησκείᾳ ἡμῶν καὶ ταύτην αὖθις ἀνορθῶσαι, ἀνάγγειλόν μοι. »

Ὁ δὲ Θευδᾶς τοιαύτας ἐδίδου τὰς ἀποκρίσεις τῷ βασιλεῖ· « Τὰς μὲν τῶν Γαλιλαίων ἐνστάσεις καὶ ματαιολογίας μὴ φοβοῦ, βασιλεῦ· τίνα γάρ εἰσι τὰ παρ' αὐτῶν λεγόμενα πρὸς ἄνδρας λογικοὺς καὶ ἐχέφρονας; ἅτινα, ἐμοὶ δόξαν, ῥᾳδίως καταβληθήσεται μᾶλλον ἢ φύλλον ἀνέμῳ κατασεισθέν. Οὐδὲ γὰρ κατὰ πρόσωπόν μου ἐλθεῖν ὑπομενοῦσι, μὴ ὅτι γε καὶ λόγον συνᾶραι καὶ εἰς προτάσεις μοι καὶ ἀντιθέσεις χωρῆσαι. Ἀλλ', ἵνα τοῦτό τε τὸ προκείμενον ἀγώνισμα καὶ πᾶν

ὁτιοῦν ἂν βουληθείημεν ἐπ' εὐθείας ἡμῖν γένοιτο καὶ κατὰ ῥοῦν τὰ πράγματα χωρήσειε, τὴν ἑορτὴν κόσμησον ταύτην τὴν δημοτελῆ, καὶ τὴν εὐμένειαν τῶν θεῶν ὥσπερ τι κραταιὸν περιβαλοῦ ὅπλον· καὶ εὖ σοι γένηται. »

Οὕτω καυχησάμενος ὁ ἐν κακίᾳ δυνατὸς εἶναι ἀνομίαν τε ὅλην τὴν ἡμέραν (1) μελετήσας (συμφθεγγέσθω γὰρ ἡμῖν ὁ Δαυΐδ), ἀνατροπὴν δὲ θολερὰν, καθά φησιν Ἡσαΐας (2) τῷ πλησίον ποτίσας, συνεργίᾳ τῶν συμπαραμαρτούντων αὐτῷ πονηρῶν Πνευμάτων ἐπιλαθέσθαι τὸν βασιλέα παντάπασι τῶν πρὸς σωτηρίαν ὑπομιμνησκόντων λογισμῶν πεποίηκε καὶ τῶν συνήθων πάλιν ἐπιμελῶς ἔχεσθαι. Ἔνθεν τοι καὶ γραμμάτων βασιλικῶν πανταχοῦ διαπεφοιτηκότων τοῦ συνελθεῖν πάντας ἐν τῇ μυσαρᾷ πανηγύρει αὐτῶν, ἦν ἰδεῖν συῤῥέοντα τὰ πλήθη, πρόβατά τε καὶ βόας καὶ διάφορα γένη ζώων ἀγόμενα. Πάντων τοίνυν συνεληλυθότων, ἀναστὰς ὁ βασιλεὺς μετὰ τοῦ ἀπατεῶνος Θευδᾶ, πρὸς τὸν ναὸν ἐχώρει, ταύρους καταθύσαι φέρων ἑκατὸν εἴκοσι καὶ ζῶα πολλά. Καὶ ἐτέλουν τὴν ἐπάρατον αὐτῶν ἑορτὴν, ὡς περιηχεῖσθαι μὲν τὴν πόλιν ὑπὸ τῆς τῶν ἀλόγων ζώων φωνῆς, τῇ δὲ τῶν θυσιῶν κνίσσῃ καὶ αὐτὸν μολύνεσθαι τὸν ἀέρα.

Τούτων οὕτω τελεσθέντων, καὶ τῶν τῆς πονηρίας Πνευμάτων λίαν ἐγκαυχησαμένων ἐπὶ τῇ νίκῃ τοῦ Θευδᾶ, καὶ χάριτας αὐτῷ ὁμολογησάντων τῶν νεωκόρων, εἰς τὸ παλάτιον αὖθις ἐπανῆκεν ὁ βασιλεύς.

(1) Psalm. LI, 1: τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατὸς ἀνομίαν; ὅλην τὴν ἡμέραν ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου.

(2) Imo Hab. II, 15: ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπῇ θολερᾷ. — C, δολερὰν.

Καὶ φησὶ τῷ Θευδᾷ· « Ἰδοὺ δὴ, καθὰ ἐκέλευσας, οὐδεμίαν ἐνελίπομεν σπουδὴν ἐπὶ τῇ λαμπροφορίᾳ τῆς πανηγύρεως καὶ δαψιλείᾳ τῶν θυσιῶν. Καιρὸς οὖν ἤδη τὰ ἐπηγγελμένα πληρῶσαι καὶ τὸν ἀποστατήσαντα τῶν ἡμετέρων σεβασμάτων υἱόν μου τῆς πλάνης ἀναῤῥύσασθαι τῶν χριστιανῶν, καὶ τοῖς εὐμενέσι καταλλάξαι θεοῖς. Ἐγὼ γὰρ τέχνην πᾶσαν καὶ χεῖρα κινήσας, οὐδεμίαν εὗρον τοῦ κακοῦ θεραπείαν· ἀλλὰ πάντων κρείττονα τὴν αὐτοῦ γνώμην ἐθεασάμην. Εἰ πράως αὐτῷ ἐνέτυχον καὶ ἠπίως, οὐδὲ τὸν νοῦν μοι προσέχοντα ὅλως εὕρισκον· εἰ αὐστηρῶς ἐχρησάμην καὶ ἐμβριθῶς, εἰς ἀπόνοιαν μᾶλλον αἰρόμενον ἐθεώρουν. Τῇ σῇ λοιπὸν σοφίᾳ τὰ τῆς ἐπελθούσης μοι συμφορᾶς ἀνατίθημι. Εἰ οὖν, ταύτης ἀπαλλαγεὶς διὰ σοῦ, τὸν ἐμὸν αὖθις ὄψομαι υἱὸν σὺν ἐμοὶ τοῖς θεοῖς μου λατρεύοντα καὶ τῶν ἐπιθυμιῶν τῆς ἡδονῆς ζωῆς ταύτης καὶ βασιλείας ἀπολαύοντα, στήλην σοι ἀνεγερῶ χρυσῆν, ἴσα θεοῖς θήσομαι παρὰ πάντων τιμᾶσθαι εἰς τὸν ἐπιόντα ἀτελεύτητον χρόνον. »

Ὁ Θευδᾶς τοίνυν ὡς εὐήκοον ὑποκλίνας τῷ Πονηρῷ, καὶ παρ' ἐκείνου μυηθεὶς (1) βουλὴν πονηρὰν καὶ ὀλέθριον, γλῶσσά τε καὶ στόμα αὐτῷ γενόμενος (2), φησὶ

(1) C, μυηθείς. Permutationem eam tractavi ad Nicetam p. 143. Vid. et Xyland. ad Plut. De superst. § 18. Nunc est μυηθεὶς pro διδαχθεὶς, μαθὼν, ut p. 155, 17. Isaacius Porphyr. De præterm. p. 272 : ὁ τοίνυν Ἡρακλῆς, διερχόμενος εἰς τὴν Τροίαν καὶ μυηθεὶς τὰ γινόμενα, ἠρώτα τὸν Λαομέδοντα τί ἂν καλὸν πρὸς τοῦτον ποιήσει, εἰ τὸ κῆτος ἀναιρήσει καὶ τὴν παῖδα τῆς τούτου βορᾶς ἐκλυτρώσηται. Melius codex 817 : ποιήσῃ et ἐκλυτρώσηται. Heliodorus Æthiop. II, 31 : τὰ σαφέστερα δὲ καὶ ἀκριβέστερα τῶν κατὰ τὴν κόρην εἰς αὔριον μυηθήσῃ. Codex Venetus 409, μαθήσῃ, quod Heliodori probæ orationi melius convenire videtur.

(2) Conf. p. 275, 10.

πρὸς τὸν βασιλέα· « Εἰ χειρώσασθαι τὸν σὸν βούλει υἱὸν, καὶ κενὴν αὐτῷ τὴν ἔνστασιν θεῖναι, εὕρηταί μοι τέχνη πρὸς ἣν οὐδὲ ἀντέχειν δυνατὸς ἔσται, ἀλλὰ ῥᾶον μαλαχθήσεται ὁ ἀτεράμων καὶ ἀμείλικτος αὐτοῦ λογισμὸς ἢ κηρὸς πυρκαϊᾷ σφοδροτάτῃ ὁμιλήσας. »

Ὁ δὲ βασιλεὺς, τὸν μάταιον οὕτω διακενῆς φυσῶντα ἰδὼν, πρὸς ἡδονὴν εὐθὺς καὶ φαιδρότητα μετεβάλλετο, ἐλπίσας τὴν ἀκόλαστον ἐκείνην καὶ θρασεῖαν γλῶσσαν τῆς θεοδιδάκτου καὶ φιλοσοφίας γεμούσης περιγενέσθαι (1) ψυχῆς. Καὶ τίς ἡ τέχνη μαθεῖν ἤρετο. Τότε Θευδᾶς ὡσεὶ ξυρὸν ἠκονημένον (2) ὑφαίνει τὸ κακούργημα καὶ δεινῶς ἀρτύει τὰ φάρμακα. Καὶ ὅρα σόφισμα κακότεχνον καὶ ὑποβολὴν τοῦ Πονηροῦ. « Πάντας » φησὶν, « ὦ βασιλεῦ, τοὺς περισταμένους τῷ υἱῷ σου καὶ ὑπηρετοῦντας μακρύνας ἀπ' αὐτοῦ, γυναῖκας εὐειδεῖς καὶ λίαν περικαλλεῖς, καὶ κεκοσμημένας εἰς τὸ ἐπαγωγότερον, συνεῖναι αὐτῷ διηνεκῶς καὶ καθυπηρετεῖν, συνδιαιτᾶσθαί τε καὶ συναυλίζεσθαι, πρόσταξον. Ἐγὼ δὲ, τῶν Πνευμάτων ἓν τῶν εἰς τὰ τοιαῦτά μοι τεταγμένων ἐπαποστείλας αὐτῷ, βιαιότερον τὸ τῆς ἡδονῆς πῦρ ἀνάψω. Καὶ ἅμα τῷ συγγενέσθαι αὐτὸν μιᾷ καὶ μόνῃ τῶν τοιούτων γυναικῶν, εἰ μὴ πάντα ἕξει σοι κατὰ γνώμην, παρόπλεος ἐγὼ τὸ λοιπόν σοι καὶ ἄχρηστος, καὶ

(1) Syntaxis verbi ἐλπίζειν cum aoristo est e frequentissimis, eamque tractare memini ad Aristæn. p. 496. Appianus VII, 14: οὐδ' ἤλπιζε Φάβιον ἢ τοὺς ἐπὶ τῶν τειχῶν βιάσασθαι. Ibi monemur ab editore vulgatum βιάσεσθαι mutasse se cum Musgravio in βιάσασθαι: sed mutandus non erat aoristus.

(2) Psalm. LI, 2: ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον.

τιμωριῶν μεγίστων, οὐ τιμῶν, ἄξιος. Οὐδὲν γὰρ ὡς ὄψις γυναικῶν ἐπάγεσθαι καὶ θέλγειν τοὺς ἀῤῥένων λογισμοὺς πέφυκε. Καὶ ἄκουσον διηγήσεως τῷ ἐμῷ συμμαρτυρούσης ῥήματι.»

« Βασιλεύς τις παιδὸς ἀμοιρῶν ἄῤῥενος ἠνιᾶτο, λίαν τὴν ψυχὴν ἀχθόμενος, καὶ ἀτύχημα τοῦτο οὐ μικρὸν λογιζόμενος. Ἐν τούτοις οὖν αὐτῷ ὄντι γεννᾶται υἱός· καὶ χαρᾶς ἐπὶ τούτῳ τὴν καρδίαν ἐπεπλήρωτο ὁ βασιλεύς. Εἶπον δὲ αὐτῷ οἱ τῶν ἰατρῶν ἐπιστήμονες, ὡς, εἰ ἐντὸς τῶν δώδεκα (1) χρόνων ἥλιον ἢ πῦρ τὸ παιδίον τοῦτο ἴδοι, στερηθήσεται παντάπασι τοῦ φωτός· «τοῦτο γὰρ ἡ τῶν ὀμμάτων αὐτοῦ θέσις δηλοῖ.» Ταῦτα τὸν βασιλέα ἀκούσαντα λέγεται οἰκίσκον ἀντρώδες (2) ἐκ πέτρας τινὸς λαξεῦσαι, κἀκεῖσε τὸν παῖδα μετὰ τῶν τιθηνούντων αὐτὸν κατακλείσαντα, μηδόλως, μέχρι συμπληρώσεως τῶν δώδεκα ἐνιαυτῶν, φωτὸς ὑποδεῖξαι μαρμαρυγὴν τὸ παράπαν. Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν δώδεκα ἐτῶν ἐξάγει τοῦ οἰκίσκου τὸν παῖδα μηδὲν ὅλως τοῦ κόσμου θεασάμενον, καὶ κελεύει ὁ βασιλεὺς πάντα κατὰ γένος παραστήσαντας ὑποδεῖξαι αὐτῷ, ἄνδρας μὲν ἐν ἑνὶ τόπῳ, ἀλλαχοῦ δὲ γυναῖκας, ἑτέρωθι χρυσὸν, ἄργυρον, ἀλλαχόθεν μαργαρίτας τε καὶ λίθους πολυτελεῖς, ἱμάτια λαμπρὰ καὶ κόσμια, ἅρματα περικαλλῆ μετὰ ἵππων βασιλικῶν χρυσοχαλίνων σὺν τάπησιν ἁλουργοῖς, καὶ ἀναβάτας ἐπ' αὐτοῖς ὁπλοφόρους, βουκόλιά τε βοῶν καὶ ποίμνια προβάτων. Καὶ, ἁπλῶς εἰπεῖν, πάντα στοιχηδὸν ὑπεδείκνυον τῷ παιδί. Πυνθανομένου δὲ αὐτοῦ

(1) C, δέκα, ut et infra.

(2) Sic AC. Ignoratur neutrum τὸ οἰκίσκον. Puto esse ἀντρώδη ab auctore ipso scriptum.

τί τούτων ἕκαστον καλεῖται, οἱ τοῦ βασιλέως ὑπασπισταὶ καὶ δορυφόροι τὴν ἑκάστου κλῆσιν ἐδήλουν. Ὡς δὲ τὴν κλῆσιν τῶν γυναικῶν ἤρετο μαθεῖν, τὸν σπαθάριον τοῦ βασιλέως (1) χαριέντως εἰπεῖν, δαίμονας αὐτὰς καλεῖσθαι, αἳ τοὺς ἀνθρώπους πλανῶσιν. Ἡ δὲ τοῦ παιδὸς καρδία τῷ ἐκείνων πόθῳ πλέον τῶν λοιπῶν ἐθέλχθη. Ὡς οὖν, πάντα περιελθόντες, πρὸς τὸν βασιλέα ἐπανήγαγον αὐτὸν, ἐπηρώτα ὁ βασιλεὺς τί ἀρεστὸν αὐτῷ τῶν ὁραθέντων ἐφάνη. « Τί », φησὶν ὁ παῖς, « ἄλλο, ἀλλ' ἢ οἱ δαίμονες ἐκεῖνοι, οἱ τοὺς ἀνθρώπους πλανῶντες; οὐδενὸς γὰρ τῶν ὀφθέντων μοι σήμερον, ἢ τῇ ἐκείνων, φιλίᾳ ἐξεκαύθη μου ἡ ψυχή. » Καὶ ἐθαύμασεν ὁ βασιλεὺς ἐκεῖνος ἐπὶ τῷ ῥήματι τοῦ παιδὸς, καὶ οἷον ἐστὶ τυραννικὸν χρῆμα γυναικῶν ἔρως. »

« Καὶ σὺ τοίνυν μὴ ἄλλως οἴου ὑποτάξαι σου τὸν υἱὸν, ἢ τούτῳ δὴ τῷ τρόπῳ. »

Δέχεται τὸν λόγον ἀσμένως ὁ βασιλεύς. Καὶ παράγονται αὐτῷ ἐξ ἐπιλογῆς κόραι ὡραῖαι καὶ περικαλλεῖς, ἃς καὶ κόσμῳ λαμπρύνας διαυγεῖ καὶ ὅλως πρὸς τὸ ἐπαγωγὸν εὐτρεπίσας, τοὺς μὲν θεράποντας καὶ ὑπηρέτας τοῦ υἱοῦ πάντας ἐκβάλλει τοῦ παλατίου, ἐκείνας δὲ ἀντικαθίστησιν.

Αὗται οὖν περιεφύοντο αὐτῷ, συνεπλέκοντο, πρὸς τὴν μυσαρὰν αὐτὸν συνουσίαν ἠρέθιζον, διὰ πάντων σχημάτων τε καὶ ῥημάτων ἐκκαλούμεναι πρὸς ἡδονήν. Οὐκ εἶχεν ἑτέρῳ τινὶ προσβλέψαι ἢ ὁμιλῆσαι, ἢ συναριστῆσαι· αὗται γὰρ ἦσαν αὐτῷ πάντα (2).

(1) A, e correctione, βασιλ.

(2) Loquutionem πάντα εἶναί τινι illustravi ad Eunap. p. 449: λέγεται.

Καὶ ταῦτα μὲν ὁ βασιλεὺς ἐποίει. Θευδᾶς (1) δὲ πάλιν τὸ πονηρὸν ἐκεῖνο καταλαβὼν σπήλαιον, καὶ εἰς τὰς βίβλους ἐγκύψας τὰς ταῦτα ἐνεργεῖν δυναμένας, καὶ ἓν τῶν πονηρῶν Πνευμάτων καλέσας, εἰς πόλεμον ἐκπέμπει τοῦ στρατιώτου τῆς Χριστοῦ παρατάξεως· οὐκ εἰδὼς ὁ ἄθλιος οἷον ἔμελλε γέλωτα ὑποστῆναι καὶ αἰσχύνης πληρωθῆναι σὺν πάσῃ τῇ ὑπ' αὐτὸν δαιμονικῇ φάλαγγι.

Τὸ δὲ πονηρὸν Πνεῦμα, ἄλλα τε πονηρότερα συμπαραλαβὸν Πνεύματα (2), τὸν κοιτῶνα καταλαμβάνει τοῦ γενναίου παιδὸς, καὶ ἐπιπίπτει αὐτῷ λαβρότατον ἀνάψαι τῆς σαρκὸς τὴν κάμινον. Καὶ ὁ μὲν πονηρὸς ἔνδον ἀνέφλεγεν· αἱ δὲ τὴν ὄψιν εὐπρεπεῖς, τὴν δὲ ψυχὴν καὶ λίαν δυσειδεῖς κόραι ἔξωθεν τὴν

conf. supra t. II, pp. 147, 11; 149, 11. Nymphodorus Athenæi VI, 90: *σύ μοι εἶ καὶ παῖς καὶ υἱὸς καὶ τὰ ἄλλα πάντα*· ubi multa contulit Vict. Clericus Chrestom. p. 256. Nicephorus Greg. III, 3, 1: *αὐτὸς ἦν ἐκείνῳ μόνος τὰ πάντα....* Adde Liban. Epist. 1603; Achill. Tat. V, 22; Herald. ad Mart. I, 69; Abresch. ad Æsch. tom. I, pag. 236; S. Y. ad Eurip. Med. 230, in Classico Diario t. XXVIII, pag. 120; Tup. ad Theocr. XIV, 47; Burmann. ad Anth. Lat. II, 254, 4. Sed fere piget tam longam ad Anecdota notam protrahi, idque de re sat tenui, in qua nihil sit *ἀνεκδότου*, nihil saltem novi. Addam igitur Tzetzæ versus e codice 3058, *πρὸς τὸν Ψελλὸν εἰς τὸ περὶ Ἑρμηνείας. Καὶ τοῦτο δεῖγμα, Ψελλὲ, σῆς εὐφυΐας, Δι' ἧς καταδὺς εἰς ἀβύσσους τῶν λόγων Τοῦ δαιμονίου τὴν φύσιν Σταγειρίτου, Γυμνοὺς ἐκεῖθεν ὀστράκων τοὺς μαργάρους Ἀνελκύσας, ἔδειξας οἷς βίος λόγοι· Τὰ γὰρ θεωρήματα καλῶ μαργάρους, Τὴν δὲ σκοτεινὴν φράσιν ὄστρακον λέγω. Ἀλλ' εἴθε μοι γένοιτο τοιαῦτα γράφειν· Τῶν γὰρ φθονούντων τοῖς καλοῖς οὐδεὶς λόγος. Ἀλλὰ σαφεῖς τέθεικας, τεχνυλὲ, σοὺς λόγους.*

(1) A, *Δευδᾶς*, qui et supra p. 265, 25, *τῷ Δευθᾷ*. Et infra est *Δευδᾶ*. Mendum ex pronunciatione non valde dissimili literarum *δ* et *θ* ortum est. In codice 2552 Lexici Harpocrationis vidi *καθμεία* pro *καδμεία*. Cf. p. 265, n. 2; not. ad Nic. Eugen. p. 280; Fisch. ad Well. t. I, p. 166.

(2) Luc. XI, 26: *τότε πορεύεται καὶ παραλαμβάνει ἑπτὰ ἕτερα Πνεύματα πονηρότερα ἑαυτοῦ.*

πονηρὰν ἐχορήγουν ὕλην. Ἡ δὲ καθαρὰ ἐκείνη ψυχὴ τῆς προσβολῆς αἰσθομένη τοῦ πονηροῦ, καὶ τὸν πόλεμον ὁρῶσα τῶν ἀτόπων λογισμῶν ἐπ' αὐτὴν σφοδρῶς ἐρχόμενον, διεταράττετο· καὶ λύσιν εὑρεῖν τοῦ τοσούτου κακοῦ ἐπεζήτει, καθαρόν τε ἑαυτὸν παραστῆσαι τῷ Χριστῷ, καὶ μὴ τῷ βορβόρῳ τῶν παθῶν καταχρᾶναι τὴν ἁγίαν ἐκείνην στολὴν, ἣν αὐτὸν ἡ τοῦ ἁγίου βαπτίσματος ἠμφιάσατο χάρις. Εὐθὺς οὖν ἔρωτι ἀνθίστησιν ἔρωτα, τῷ ἀκολάστῳ τὸν θεϊκὸν, καὶ εἰς μνήμην ἄγει ἑαυτὸν τῆς ὡραιότητος ἐκείνης καὶ ἀνεκλαλήτου δόξης Χριστοῦ τοῦ ἀθανάτου νυμφίου τῶν καθαρωτάτων ψυχῶν, καὶ τοῦ νυμφῶνος ἐκείνου καὶ γάμου, οὗπερ ἐλεεινῶς ἐκβάλλονται οἱ τὸν νυμφικὸν σπιλώσαντες χιτῶνα, δεδεμένοι χεῖρας καὶ πόδας, εἰς τὸ ἐξώτερον σκότος (1).

Ταῦτα λογισάμενος καὶ σύνδακρυς γενόμενος, ἔτυπτε τὸ στῆθος, οἷα κακοὺς κηφῆνας τοὺς πονηροὺς ἐκεῖθεν λογισμοὺς φυγαδεύων. Εἶτα διαναστὰς, καὶ χεῖρας εἰς οὐρανὸν διάρας, θερμοῖς δάκρυσι καὶ στεναγμοῖς τὸν Θεὸν ἐπεκαλεῖτο πρὸς συμμαχίαν, καὶ ἔλεγε· « Κύριε παντοκράτορ, ὁ μόνος δυνατὸς καὶ οἰκτίρμων, ἡ ἐλπὶς τῶν ἀπηλπισμένων, ἡ τῶν ἀβοηθήτων βοήθεια, μνήσθητί μου τοῦ ἀχρείου σου δούλου ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ ἱλέῳ μοι ἐπίβλεψον ὄμματι, καὶ « ῥῦσαι ἀπὸ ῥομφαίας » δαιμονικῆς « τὴν ψυχήν μου » καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου (2) »· καὶ μὴ ἐάσῃς ἐμπεσεῖν με εἰς χεῖρας ἐχθρῶν μου, μηδὲ ἐπιχαρείησάν μοι οἱ μισοῦντές με (3)· καὶ μὴ ἐγκατα-

(1) Respectu ad parabolam, quam vide p. 73.

(2) Ps. xxi, 20 : cf. xxxiv, 17.

(3) Psalm. xxxiv, 19 : μὴ ἐπι-

λίπῃς με καταφθαρῆναι ἐν ἀνομίαις, καὶ (1) καθυβρίσαι μου τὸ σῶμα ὅπερ ἁγνόν σοι παραστῆσαι ἐπηγγειλάμην. Σὲ γὰρ ποθῶ, καὶ σοὶ προσκυνῶ τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. » Καὶ ἐπειπὼν τὸ ἀμὴν, θείας ᾔσθετο παρακλήσεως οὐρανόθεν αὐτῷ ἐπιφοιτησάσης, καὶ οἱ πονηροὶ ὑπεχώρουν λογισμοί. Αὐτὸς δὲ μέχρι πρωΐας εὐχόμενος διετέλεσε.

Καὶ, γνοὺς τὰ μηχανήματα τοῦ δολίου, ἤρξατο ἐπὶ πλεῖον πιέζειν τὸ σῶμα τροφῆς ἐνδείᾳ καὶ δίψῃ, καὶ τῇ ἄλλῃ ταλαιπωρίᾳ, ὁλονύκτους μὲν ἐπιτελῶν στάσεις, ἑαυτὸν δὲ ἀναμιμνήσκων τῶν πρὸς τὸν Θεὸν ὁμολογιῶν, καὶ ὑπογράφων τῷ λογισμῷ τὴν ἐκεῖθεν τῶν δικαίων λαμπρότητα, τὴν ἠπειλημένην τε τοῖς φαύλοις γέενναν ἀπίστορων ἐναργέστατα, ὅπως μὴ, ἀργὴν καὶ ἄνετον ὁ ἐχθρὸς εὑρὼν τὴν ψυχὴν, λογισμοὺς αὐτῇ πονηροὺς (2) ῥᾳδίως ὑποσπείρῃ, καὶ τὸ καθαρὸν ἐπιθολώσῃ (3) τῆς διανοίας.

χαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ματαίως, οἱ μισοῦντές με δωρεάν.

(1) C, ἢ pro καί.

(2) A sine πονηρούς. Omissam esse vocem sententiæ vis arguebat, ut vel sine codice potuisset restitui. Sed nonnunquam eas voces librarii omittunt, quas sensus non multum desiderat. Lucianus D. D. xx, 4: παραπρεσβεύεις, ὦ οὗτος, ἰδίᾳ ταύτῃ κοινολογησάμενος. Codex 1310, ταύτῃ πάλαι κοιν. Idem D. Mar. x, extr.: ἡκέτω ἡ Λητὼ καὶ τικτέτω. Codex idem, καὶ ἤδη τικτ. Plato Epist. x: ἔρρωσό τε, καὶ μένε ἐν τοῖς ἤθεσιν οἷσπερ καὶ μένεις. Codex 1760: καὶ νῦν μένεις. Photius Epist. 92: καὶ ὅλως φοίνιξ καὶ ἐπιτήδειον ἁλμυρὰ γῆ· καίτοι τῶν ἄλλων σπερμάτων, ὅσα τὸ γλυκὺ φιλεῖν ἐθέλει καὶ λιπαρὸν, ὑπάρχουσα φθαρτική. Codex 2720, qui opportune caret vocula καὶ post φοίν., habet plenius, σπερμ. καὶ φυτῶν, quæ et latinus interpres invenit, qui dedit, « cætera omnia semina et plantas. »

(3) A, ἐπιθολώσει, permutatis η et ει. Scholiastes Theocr. I, 34: ἐθειράζοντες, κομῶντες, εὔτειχοι... καὶ καθήκοντες τὰ γένεια. Kœhlerus conjecit καθηβῶντες, non bene, si

Πάντοθεν τοίνυν ὁ ἐχθρὸς ἐξαπορηθεὶς, καὶ παντελῶς ἀπαγορεύσας ἑλεῖν τὸν γενναῖον, ἑτέραν ἔρχεται ὁ δεινὸς ἀπάτην ποικιλωτέραν, ὁ ἀεί ποτε πονηρὸς ὢν καὶ τὸ τεχνάζεσθαι καὶ βλάπτειν οὐδαμῶς ἀπολείπων. Εἰς ἔργον γὰρ ἀγαγεῖν τὰ ἐντεταλμένα αὐτῷ παρὰ τοῦ Θευδᾶ, μυρία γέγονε σπουδή. Καὶ οὕτω πάλιν τὰ φάρμακα ἀρτύει. Μίαν γὰρ ὑπεισελθὼν τῶν νεανίδων ἐκείνων, ἥτις πασῶν ἦν εὐμορφοτάτη, θυγάτηρ οὖσα βασιλέως, καὶ αἰχμάλωτος τῆς ἰδίας ἀλλοτριωθεῖσα πατρίδος, τῷ βασιλεῖ δὲ Ἀβενὴρ ὡς μέγιστόν τι προσαχθεῖσα δῶρον, ἣν, ὡς πάνυ ὡραιοτάτην οὖσαν, εἰς ὄλισθον καὶ ὑποσκελισμὸν τοῦ υἱοῦ ὁ πατὴρ ἦν (1) ἀποστείλας· ταύτην ὁ ἀπατεὼν ὑπεισέρχεται, καὶ λόγους αὐτῇ ὑποτίθησι, πάνυ τὸ σοφὸν καὶ συνετὸν ἐμφαίνοντας τοῦ ταύτης λογισμοῦ. Πάντα γὰρ τὰ πρὸς κακίαν μηχανήματα ῥᾳδίως ὁ πονηρὸς μετέρχεται. Εἶτα, τῷ τοῦ βασιλέως υἱῷ ἐκ δεξιᾶς (2) προσπεσὼν, φίλτρον ἐντίθησιν αὐτῷ τῆς κόρης, διὰ τὸ νουνεχὲς δῆθεν αὐτῆς καὶ κόσμιον, καὶ διὰ τὸ,

quid video. Conjicio ipse, meliusque, ni fallor, καθεικότης.

(1) A sine ἦν. Venabor omissiones. Synesius De regno pag. 32: τὰ δὲ ἀνθρώπινα πράγματα, παρούσης τε αὐτῆς καὶ ἀπούσης (τῆς φιλοσοφίας), χείρω καὶ βελτίω καὶ παντελῶς εὐδαίμονα γίνεται. In codicibus duobus inveni, quod et invenit vel divinavit Latinus interpres: εὐδ. καὶ κακοδαίμονα γίν. Lucianus Asino 12: κελεύει με προσάγειν ὅπῃ τινὶ καὶ ἀποσκοπεῖν τὰ γιγνόμενα. Cod. 1310: καὶ σκοπεῖν τὰ γινόμενα ἔνδοθεν. Ibidem 22: ῥίψωμεν αὐτὸν ἀπὸ τοῦ κρημνοῦ οἰωνὸν οὐκ ἀγαθόν. Idem codex, οἰ. ὄντα οὐκ ἀγαθόν. Non requiritur valde illud participium, nec displicet tamen. Lucianus D. Mar. XI, 1: ἐνταῦθα ὁ Ἥφαιστος, ἔτυχε γὰρ πλησίον που ὤν, πᾶν ὅσον, οἶμαι, πῦρ εἶχε καὶ ὅσον ἐν τῇ Αἴτνῃ... φέρων, ἐπῆλθέ μοι. Codex idem, inter alias minoris momenti varietates, πᾶν, οἶμαι, ὅσον ἐν τῇ καμίνῳ πῦρ εἶχε....

(2) Conf. p. 225, n. 2.

εὐγενῆ οὕτω καὶ βασιλικῆς οὖσαν σειρᾶς, τῆς πατρίδος ἅμα καὶ δόξης ἐστερῆσθαι. Πρὸς τούτοις καὶ λογισμοὺς ὑποσπείρει τοῦ ἀπαλλάξαι αὐτὴν τῆς εἰδωλομανίας καὶ χριστιανὴν ποιῆσαι. Ταῦτα δὲ πάντα μηχαναὶ ἦσαν τοῦ δολίου δράκοντος. Οὕτω γὰρ τὴν ψυχὴν διατεθεὶς ὁ τοῦ βασιλέως υἱὸς καὶ μηδένα λογισμὸν ῥυπαρὸν ἢ ἔρωτα ἐμπαθῆ (1) βλέπων ἐν ἑαυτῷ πρὸς τὴν κόρην σαλευόμενον, ἀλλ' ἢ μόνον συμπάθειαν καὶ ἔλεος (2) τῆς τε συμφορᾶς καὶ τῆς ψυχικῆς ἀπωλείας, οὐκ ᾔδει δαιμονικὴν εἶναι μηχανὴν τὸ πρᾶγμα· ὄντως γὰρ σκότος ἐστὶν ἐκεῖνος καὶ τὸ φῶς ὑποκρίνεται (3).

Ὡς γὰρ ὁμιλεῖν ἤρξατο τῇ κόρῃ ὁ τοῦ βασιλέως υἱὸς καὶ τὰ τῆς θεογνωσίας αὐτῇ προσλαλεῖν λόγια, « Σύνες », λέγων, « ὦ γύναι, τὸν ζῶντα εἰς τοὺς αἰῶνας Θεὸν, καὶ μὴ τῇ πλάνῃ ταύτῃ τῶν εἰδώλων καταφθαρῇς, ἀλλὰ τὸν δεσπότην ἐπίγνωθι καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς, καὶ μακαρία ἔσῃ νυμφευθεῖσα τῷ ἀθανάτῳ νυμφίῳ »· πολλὰ δὲ τοιαῦτα νουθετοῦντος αὐτοῦ, εὐθὺς τὸ πονηρὸν Πνεῦμα ὑπαγορεύει τῇ γυναικὶ τὰ (4) τῆς ἀπάτης ὑφαπλῶσαι

(1) A, ἐμπαθεῖ, permutatione solenni. Isaacius Porphyr. De præterm. p. 289 : αὐτὸν παρεσκεύασε θῆναι μηρὸν ἐξ ὀπῆς τινός. Recte codex 817, θεῖναι. Symeon Sethi Ichnel. p. 82 : συνέβη δὲ ἐλθεῖν δύο τινὰς ἁλιεῖς ἐπὶ τὸ τοιοῦτον λιμνήσιον ὕδωρ, καὶ συνθῆναι πρὸς ἀλλήλους... imo συνθεῖναι. Ibid. p. 64 : τὸ μεταθῆναι ὑμᾶς ἀπὸ τοῦδε τοῦ τόπου... imo μεταθεῖναι. Cf. not. ad Phil. Her. pag. 396.

(2) « Recte, quia ex misericordia amor nascitur » ; Donatus ait ad Terent. Hec. I, 2, 92. Quam sententiam pluribus illustravi ad Aristæn. II, 12, p. 685, pluribus, si tanti esset, nunc etiam illustraturus.

(3) Αὐτὸς γὰρ ὁ Σατανᾶς μετασχηματίζεται εἰς Ἄγγελον φωτὸς, Paulus ait II ad Cor. XI, 14, indice Billyo.

(4) C sine τὰ, male. Diogenes Epist. 3 : δύνανται γὰρ ἐπιστολαὶ πολλὰ, καὶ οὐχ ἧττονα πρὸς παρόντας

θήρατρα καὶ πρὸς τὸν τῆς ἐμπαθείας κατασῦραι βόθρον τὴν θεοφιλῆ ψυχὴν ἐκείνην, καθά ποτε καὶ τῷ γενάρχῃ πεποίηκε διὰ τῆς Εὔας, τοῦ παραδείσου καὶ τοῦ Θεοῦ ταλαιπώρως φεῦ! ἐξορίσας, καὶ θανάτῳ ὑπόδικον αὐτὸν ἀντὶ τῆς μακαρίας καὶ ἀθανάτου ζωῆς γενέσθαι παρασκευάσας.

Ὡς γὰρ ἤκουσεν ἡ κόρη τὰ ῥήματα ἐκεῖνα τὰ πάσης πεπληρωμένα σοφίας, ἀσύνετος οὖσα οὐ συνῆκεν· ἀλλὰ τοιαύτας ἐδίδου τὰς ἀποκρίσεις, ὡς ἅτε (1) γλῶσσα καὶ στόμα τῷ πονηρῷ γενομένη, καὶ φησίν· « Εἰ τῆς ἐμῆς, ὦ δέσποτα, σωτηρίας φροντίζεις, καὶ προθυμῇ τῷ θεῷ σου προσαγαγεῖν με καὶ τὴν ταπεινὴν ψυχήν μου σῶσαι, ποίησον καὶ αὐτὸς μίαν μου αἴτησιν, καὶ, πᾶσιν εὐθὺς τοῖς πατρῴοις μου θεοῖς ἀποταξαμένη, τῷ σῷ συντάξομαι θεῷ (2), μέχρι τελευταίας αὐτῷ λατρεύουσα ἀναπνοῆς (3), καὶ μισθὸν λήψῃ τῆς ἐμῆς σωτηρίας καὶ πρὸς τὸν θεὸν ἐπιστροφῆς. »

Τοῦ δέ « Τίς ἡ ἀξίωσις, ὦ γύναι »; εἰπόντος,

διαλέξεως. Codex Vatic. 1353, optime : δ. γ. αἱ ἐπις. . . τῆς πρὸς παρ. Choricius in Procop. § 11 : πλὴν ὅσῳ πικρότερον ὑπὸ τῆς ἀθυμίας πιέζομαι, τοσούτῳ μᾶλλον οὐ φέρω σιωπᾷν, οἷα φιλοῦσιν οἱ λίαν ἀχθόμενοι πάσχειν, οἷς τι κἂν μόνος ὤν τις τυγχάνῃ, ἰδίαν αὐτὸς ἑαυτῷ διεξέρχεται λύπην. Apte codices τὴν ἰδίαν, qui et utilius etiam, pro οἷς τι, exhibent ὥστε. Ibidem § 31 : φύσει γὰρ ἅπασιν ἥδιστον πάντων παῖδες. Bene codex 2967, οἱ παῖδες.

(1) C, ὅσα. Formulam ὡς ἅτε non semel jam adhibuit : conf. pp. 120, 10; 129, 13; 172, 26.

(2) Conf. p. 210, n. 1.

(3) Philes in anum lascivam v. 59 : Θνήσκων ὁ πίτλιξ μουσικώτερον λέγει· Καὶ σὺ πρὸς αὐταῖς ἐκπνοαῖς ταῖς ἐσχάταις Σεμνὴν στολίζῃ τὴν ἐπιεικωτέραν. Codex 2831, qui id carmen Prodromo tribuit: Καὶ σὺ πρὸς αὐταῖς ταῖς πνοαῖς ταῖς. . . . quod malim. Habet et ἐπιεικεστάτην, quod, ob μουσικώτερον, non prætulerim. Quam in eo poemate restitutionem feci copulæ καὶ, t. 1, p. 334, codice firmatam eodem nuper vidi.

ἐκείνη καὶ σχῆμα καὶ βλέμμα καὶ φθέγμα καὶ ὅλην ἑαυτὴν πρὸς τὸ θέλγειν καταστήσασα, «Συνάφθητί μοι» ἔφη, «γάμου κοινωνία, κἀγώ σου τοῖς προστάγμασι χαίρουσα ἐξακολουθήσω.»

Ὁ δὲ «Μάτην» φησίν, «ὦ γύναι, τοιαύτην μοι προέτεινας σκληρὰν ἀξίωσιν· τῆς μὲν γὰρ σῆς ἰσχυρῶς κήδομαι σωτηρίας, καὶ τοῦ βυθοῦ τῆς ἀπωλείας ποθῶ σε ἀνελκύσαι (1)· μολῦναι δὲ τὸ σῶμά μου δι' αἰσχρᾶς μίξεως βαρύ μοι καὶ πάντη ἀδύνατον.»

Ἡ δὲ, ὅλην ὁμαλίζουσα τὴν ὁδὸν αὐτῷ καὶ διαλεαίνουσα (2), «Ἱνατί» φησί, «τοιαῦτα φθέγγῃ σὺ, ὁ πάσης πεπληρωμένος σοφίας; ἱνατί μολυσμὸν τὸ πρᾶγμα καὶ αἰσχρὰν ἐκάλεσας μίξιν; Οὐκ ἀμύητος γάρ εἰμι κἀγὼ τῶν χριστιανικῶν βιβλίων· ἀλλὰ πολλαῖς μὲν δέλτοις ἐν τῇ πατρίδι μου ἐνέτυχον, πολλῶν δὲ ὁμιλούντων μοι χριστιανῶν ἀκήκοα. Οὐ γέγραπται τοίνυν ἔν τινι τῶν καθ' ὑμᾶς βιβλίων, «τί- » μιος (3) ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος »· καὶ, « κρεῖσσον (4) γαμεῖν ἢ πυροῦσθαι »· καὶ, « ἃ ὁ Θεὸς (5) » συνέζευξεν ἄνθρωπος μὴ χωριζέτω »; οὐ πάντας τοὺς πάλαι δικαίους, πατριάρχας τε καὶ προφήτας, γάμῳ συναφθῆναι αἱ γραφαὶ διδάσκουσιν ὑμῶν; οὐ

(1) A, ἑλκῦσαι. Præpositionem C dedit. Saracenica Commelini pag. 1, de Mahomethe: οὗτος ἀπὸ μιᾶς τῶν ἐξ Ἰσμαὴλ φυλῶν καταγόμενος, καὶ κομιδῇ νέος ὀρφανισθείς. Codex 1270, ἀπορφανισθείς. Ibidem pag. 5: ἄλλα πολλὰ τερατολογῶν ἐν τῇ τοιαύτῃ γραφῇ γέλωτος ἄξια. Melius συγγραφῇ in codice.

(2) C, λεαίνουσα, simili omissione. Philostr. Ep. 32: ἢ γὰρ τῶν ἐραστῶν ἐχρῆν σοι παρεῖναί τινα, ἢ ἐμὲ τὸν Δία. Cod. Paris. 1696 et Vatic. 140, συμπαρεῖναι bene; melius etiam ἐμὲ ἢ τὸν Δ. Vix notandum esse συμπαρῆναι in Paris.

(3) Epist. ad Hebr. XIII, 4.

(4) I Epist. ad Cor. VII, 9.

(5) Matth. XIX, 6.

Πέτρον ἐκεῖνον, ὃν καὶ κορυφαῖον τῶν Ἀποστόλων φατὲ (1) γεγονέναι, γαμετὴν γέγραπται ἐσχηκέναι; Τίσιν οὖν αὐτὸς πειθόμενος, μολυσμὸν τοῦτο καλεῖς; Πάνυ μοι δοκεῖς, δέσποτα, τῆς ἀληθείας τῶν δογμάτων ὑμῶν ἀποπλανᾶσθαι. »

Ὁ δὲ « Ναί », φησίν, « ὦ γύναι· οὕτως ἔχει ταῦτα πάντα καθὼς εἴρηκας. Ἐφεῖται γὰρ τοῖς βουλομένοις γάμῳ κοινωνεῖν· ἀλλ' οὐ τοῖς ἅπαξ ἐπαγγελλομένοις τῷ Χριστῷ παρθενεύειν. Ἐγὼ γάρ, ἐξότε τῷ λουτρῷ ἐκαθαρίσθην τοῦ θείου βαπτίσματος, τῶν τῆς νεότητος καὶ ἀγνοίας μου πταισμάτων καθαρὸν ἐμαυτὸν παραστῆσαι τῷ Χριστῷ συνεταξάμην· καὶ πῶς τὰ ὡμολογημένα Θεῷ διαλῦσαι τολμήσω; »

Ἔφη δὲ αὖθις ἡ γυνή· « Ἔστω καὶ τοῦτό σου τὸ θέλημα, καθὼς βούλοιο. Ἄλλην δὲ μικράν τινα καὶ οὐδαμινὴν πλήρωσον ἐπιθυμίαν μου, εἴπερ ὄντως ἐν ἀληθείᾳ τὴν ψυχήν μου θέλεις σῶσαι. Συγγενοῦ μοι ταύτῃ τῇ νυκτὶ καὶ μόνον, καὶ τοῦ σοῦ κατατρυφῆσαί με κάλλους ποίησον, τῆς ἐμῆς τε αὐτὸς ἐμπλήσθητι ὡραιότητος· καὶ λόγον σοι δίδωμι, ἅμα πρωῒ χριστιανὴν γενέσθαι καὶ πᾶσαν ἐκφυγεῖν τὴν τῶν θεῶν μου λατρείαν. Καὶ ἔσται σοι οὐ μόνον συγγνώμη ἕνεκεν τῆς οἰκονομίας ταύτης, ἀλλὰ καὶ δωρεῶν ἀντάμειψις παρὰ τῷ Θεῷ σου ἕνεκα τῆς ἐμῆς σωτηρίας· χαρὰ γάρ, φησὶν ἡ γραφή σου (2), γίνεται

(1) Conf. similia p. 78, 13; et p. 96, 24, ubi, pro ὁ κορυφαῖος τῶν μαθητῶν Πέτρος, est in C ὁ κ. τ. ἀποστόλων Π. Cæsarius Quæst. p. 6 : τοῦ δὲ κορυφαίου τῶν Ἀποστόλων δι' ἐγγράφου καθολικῆς παρεγγυῶντος.... Nilus Epist. 310 : ὅρα μοι τὸν πρῶτον λίθον τῆς ἐκκλησίας, Πέτρον τὴν κορυφὴν τοῦ χοροῦ τῶν Ἀποστόλων. Adde Wolf. Anecd. t. I, p. 24.

(2) Luc. xv, 7.

ἐν οὐρανῷ ἐφ' ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. Εἰ οὖν χαρὰ γίνεται ἐν οὐρανῷ δι' ἐπιστροφὴν ἁμαρτωλοῦ, τῷ προξένῳ τῆς ἐπιστροφῆς οὐ μέγας ἐποφείλεται μισθός; Ναί, οὕτως ἔχει, καὶ μὴ ἀμφίβαλλε. Οὐ πολλὰ δὲ καὶ οἱ ἀρχηγοὶ τῆς θρησκείας ὑμῶν Ἀπόστολοι κατ' οἰκονομίαν ἐποίουν, παραβαίνοντες ἔσθ' ὅτε ἐντολήν, ἕνεκα μείζονος ἐντολῆς; Οὐ τὸν Παῦλον λέγεται περιτεμεῖν τὸν Τιμόθεον (1), ἕνεκα κρείττονος οἰκονομίας; καίτοι παράνομον χριστιανοῖς ἡ περιτομὴ λελόγισται· ἀλλ' ὅμως ἐκεῖνος οὐ παρῃτήσατο τοῦτο ποιῆσαι. Καὶ πολλὰ τοιαῦτα ἐν ταῖς γραφαῖς σου εὑρήσεις. Εἰ οὖν κατὰ ἀλήθειαν, καθὼς λέγεις, σῶσαί μου τὴν ψυχὴν ζητεῖς, τὴν μικράν μου ταύτην ἐπιθυμίαν πλήρωσον. Καὶ ἐγὼ μὲν τελείᾳ σοι κοινωνίᾳ γάμου συναφθῆναι ζητοῦσα, ἐπεί σοι οὐ καταθύμιόν ἐστι τοῦτο, οὐκ ἔτι σε καταναγκάζω, τὰ ἀρεστά σοι πάντα ποιοῦσα· λοιπὸν καὶ αὐτὸς μὴ πάντη βδελύξῃ· ἀλλ', ὑπακούσας μου τὸ ἅπαξ τοῦτο, σώσεις με, τῆς δεισιδαίμονος πλάνης ῥυσάμενος, τὰ δεδογμένα δέ σοι εἰς τὸ ἑξῆς ποιήσεις διὰ βίου παντός. »

Οὕτω λέγουσα (καὶ γὰρ εἶχε τὸν εἰσηγούμενον, ᾧ καὶ τὰ ὦτα ὑπεῖχεν αὕτη κρυφίως· καὶ γραφῶν ἔμπειρος ὁ λῃστὴς ἦν, ὁ τῆς κακίας ὄντως δημιουργὸς καὶ διδάσκαλος), τοιαῦτα τοιγαροῦν λέγουσα καὶ ὑποσαίνουσα, δίκτυά τε καὶ παγίδας ἐκ δεξιῶν τε καὶ ἐξ εὐωνύμων αὐτῷ περιπλέκουσα, τὸν πύργον αὐτοῦ τῆς ψυχῆς διασαλεύειν ἤρχετο, τὸν τόνον τε ὑποχαλᾷν (2) αὐτοῦ τῆς προθέσεως, καὶ τὴν γνώμην

(1) Act. Ap. xvi, 3.

(2) Georgius Acropol. Histor. p. 53 : τὸ τῶν νοημάτων χαλᾷν εὐεπήβολον. Cod. 3041, ὑποχαλᾷν melius.

μαλακωτέραν ποιεῖν. Ὁ δὲ σπορεὺς τῆς κακίας καὶ τῶν δικαίων ἐχθρὸς, σαλευομένην αὐτοῦ τὴν καρδίαν ἰδὼν, χαρᾶς ἔμπλεως γεγονὼς, φωνεῖ παρευθὺ τὰ σὺν αὐτῷ παραγενόμενα τῆς πονηρίας Πνεύματα, « Ὁρᾶτε » κράζων, « ὅπως ἡ κόρη αὕτη διανύσαι ἐπείγεται ἃ οὐκ ἠδυνήθημεν ἡμεῖς ἀνύσαι. Δεῦτε οὖν, ἰσχυρῶς νῦν ἐπιπέσωμεν αὐτῷ· οὐχ εὑρήσομεν γὰρ ἄλλον καιρὸν οὕτωσὶ ἐπιτήδειον τὸ θέλημα πληρῶσαι τοῦ πέμψαντος ἡμᾶς. »

Ταῦτα συλλαλήσας ὁ δολιόφρων τοῖς ἑαυτοῦ κυσὶν, ἐπεμβαίνουσι τῷ Χριστοῦ στρατιώτῃ, πάσας αὐτοῦ τῆς ψυχῆς τὰς δυνάμεις ταράξαντες, καὶ δεινὸν ἔρωτα τῆς κόρης ὑποθέμενοι, πῦρ τε σφοδρότατον ἐπιθυμίας ἐκκαύσαντες ἐν αὐτῷ. Ὁρῶν δὲ ἑαυτὸν ἐκεῖνος ἰσχυρῶς φλεγόμενον καὶ πρὸς τὴν ἁμαρτίαν αἰχμαλωτιζόμενον, καὶ τοὺς λογισμοὺς αὐτοῦ τὴν σωτηρίαν τῆς κόρης καὶ πρὸς Θεὸν ἐπιστροφὴν, ὡς ἀγκίστρῳ δέλεαρ, τῇ προκειμένῃ πράξει περιτιθεμένους, καὶ ὀχλοῦντας αὐτῷ τῇ τοῦ ἐχθροῦ ὑποβολῇ μὴ ἁμαρτίαν εἶναι τὸ ἐπὶ σωτηρίᾳ ψυχῆς ἅπαξ γυναικὶ συγγενέσθαι, στενάξας ἐν ἀπορίᾳ ψυχῆς βύθιόν τι καὶ τετηκὸς, ἑαυτὸν εὐθὺς πρὸς εὐχὴν συντείνει, καὶ ὀχετοὺς δακρύων ἐξ ὀφθαλμῶν δαψιλῶς προχέων, ἐβόα πρὸς τὸν δυνάμενον σώζειν τοὺς ἐπ' αὐτῷ πεποιθότας·

« Ἐπὶ σοὶ, Κύριε, ἤλπισα· μὴ καταισχυνθείην εἰς » τὸν αἰῶνα (1), μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί » μου (2) », τὸν τῆς σῆς ἐχόμενον δεξιᾶς· ἀλλὰ παράστηθί μοι ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ κατὰ τὸ σὸν

(1) Psalm. xxx, 1. Cf. xxiv, 20. (2) Psalm. xxiv, 2.

θέλημα εὔθυνον τὰς ὁδούς μου (1), ἵνα δοξασθῇ τὸ ὄνομά σου τὸ ἔνδοξον καὶ φοβερὸν ἐπ' ἐμοὶ τῷ οἰκέτῃ σου, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας. Ἀμήν. »

Ἐφ' ἱκανὰς δὲ ὥρας μετὰ δακρύων εὐξάμενος καὶ πολλὰ γονυκλιτήσας, καθῆκεν ἑαυτὸν ἐπὶ τοῦ ἐδάφους. Καὶ, ὑπνώσας μικρὸν, ὁρᾷ ἑαυτὸν ὑπό τινων φοβερῶν ἁρπαγέντα, καὶ τόπους οὓς οὐδέποτε ἑωράκει διελθόντα, καὶ ἔν τινι γενόμενον μεγίστῃ πεδιάδι ὡραίοις ἄνθεσι καὶ λίαν εὐώδεσι κομώσῃ, ἔνθα φυτὰ μὲν ἑώρα παντοδαπὰ καὶ ποικίλα, καρποῖς ξένοις τισὶ καὶ θαυμασίοις βρίθοντα, ἰδεῖν τε ἡδίστοις καὶ ἅψασθαι ποθεινοῖς. Τά τε φύλλα τῶν δένδρων λιγυρὸν ὑπήχει (2) αὔρᾳ τινὶ λεπτοτάτῃ, καὶ ἀκόρεστον καὶ χαριεστάτην ἐκπέμποντα εὐωδίαν κινούμενα. Θρόνοι τε ἀνέκειντο ἐκ καθαρωτάτου χρυσίου καὶ λίθων τιμίων κατεσκευασμένοι, λαμπρὰν οἵαν αἴγλην ἀφιέντες, καὶ κλῖναι ἐν ἐξάλλοις τισὶ στρωμναῖς καὶ τῷ κάλλει τὴν διήγησιν νικώσαις κατηγλαϊσμέναι. Ὕδατά τε παρέῤῥει διαυγῆ λίαν καὶ αὐτὰς εὐφραίνοντα τὰς ὁράσεις. Τὴν δὲ θαυμαστὴν ταύτην καὶ μεγάλην πεδιάδα οἱ φοβεροὶ ἐκεῖνοι διαγαγόντες αὐτὸν, εἰς πόλιν εἰσήγαγον ἀῤῥήτῳ τινὶ λαμπρότητι ἀποστίλβουσαν, ἐκ χρυσίου μὲν διαυγοῦς τὰ τείχη, λίθων δὲ ὧν οὐδεὶς πώποτε ἑώρακε τὰς ἐπάλξεις ἔχουσαν ἀνεγηγερμένας (3). Ὢ τίς ἂν ἐκείνης εἴποι τὸ κάλλος τῆς πόλεως

(1) Psalm. v, 8 : κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου.

(2) C, λιγυρῶς ὑπ. Aristænetus I, Epist. 3, p. 17 : τὸ ἔμπνουν τῆς αὔρας λιγυρὸν ὑπηχεῖ τῷ μουσικῷ τῶν πτηνῶν χορῷ· ubi similia loca, quæ in nota sunt apposita, λιγυρὸν firmant.

(3) A, ἀπάλξεις. C, ἐπ. ἔχ. ἀναγεγραμμένας. De ἐπάλξεσι vide notas ad Nicetam Eugen. p. 22, ad Phil. Her. pag. 569. Ibi quo

καὶ τὴν φαιδρότητα; Φῶς ἄνωθεν πυκνὰ ταῖς ἀκτῖσι διᾶττον πάσας αὐτῆς τὰς πλατείας ἐπλήρου· καὶ ὑπόπτεροί τινες στρατιαὶ, αὐτῇ ἑκάστη φῶς οὖσαι, ταύτῃ ἐπεδήμουν, μέλος ᾄδουσαι ἀκοῇ βροτείᾳ μηδέποτε ἀκουσθέν. Καὶ φωνῆς ἤκουσε λεγούσης· « Αὕτη ἡ ἀνάπαυσις τῶν δικαίων· αὕτη ἡ εὐφροσύνη τῶν εὐαρεστησάντων τῷ Κυρίῳ. »

Ἐκεῖθεν οὖν ἐξαγαγόντες οἱ φρικωδέστατοι ἄνδρες ἐκεῖνοι, εἰς τοὐπίσω ἄγειν ἔλεγον. Ὁ δὲ, τῆς τερπνότητος ἐκείνης καὶ θυμηδίας ὅλος γενόμενος, « Μὴ στερήσητέ με » ἔλεγε, « μὴ στερήσητε, δυσωπῶ, τῆς ἀρρήτου χαρᾶς ταύτης· ἀλλὰ δότε κἀμοὶ ἐν μιᾷ τῆς μεγίστης ταύτης πόλεως γωνίᾳ διαιτᾶσθαι. » Οἱ δὲ « Ἀδύνατόν ἐστι νῦν » ἔλεγον, « εἶναί σε ἐνταῦθα (1). Ἀλλὰ κόπῳ πολλῷ καὶ ἱδρῶτι ἐλεύσῃ ὧδε, εἴπερ ἑαυτὸν βιάσῃ. » Ταῦτα εἶπον· καὶ, τὴν μεγίστην αὖθις πεδιάδα διελθόντες, εἰς τόπους ἀπήνεγκαν σκοτεινοὺς καὶ πάσης ἀηδίας πεπληρωμένους, ἰσόρροπον τῆς ὁραθείσης φαιδρότητος τὸ λυπηρὸν κεκτημένους. Σκότος γὰρ ἦν ἀφεγγὲς καὶ ζοφερὸν παντελῶς· θλίψεως δὲ καὶ ταραχῆς τὸ πᾶν ἐπεπλήρωτο. Ἔνθα κάμινος ἐξῆπτε (2) πυρὸς ἀναφλεγομένη· καὶ σκωλήκων γένος ἦν κολαστικὸν ἕρπον ἐκεῖσε. Δυνάμεις δὲ τιμωρητικαὶ ἐφεστῶσαι (3) τῇ καμίνῳ, καὶ

usus sum Libanii locus facilius reperietur in Reiskiana tom. IV, pag. 777, 32.

(1) A, ἀδ. εἶναι νῦν ἔλεγόν σε ἐντ. C, ἀδ. εἶναι ἔλεγον εἶναί σε ἐντ.

(2) A, ἐξῆπτε. Forsan ἐξῆπτετο.

(3) Verbum desideratur. Billyus videtur meliorem habuisse lectionem, qui verterit : « davantage y avoit esprits, qui servoient de bourreaux au-dessus de la fournaise. » In versione Trapezuntiana tota deest sententia.

τινες ἐλεεινῶς τῷ πυρὶ καταχαιόμενοι. Καὶ φωνὴ ἠκούετο λέγουσα· « Οὗτος ὁ τόπος τῶν ἁμαρτωλῶν· αὕτη ἡ κόλασις τῶν πράξεσιν αἰσχραῖς ἑαυτοὺς μολυνάντων. » Ἐπὶ τούτοις ἐξήγαγον αὐτὸν ἐκεῖθεν οἱ καὶ εἰσαγαγόντες.

Καὶ, εἰς ἑαυτὸν εὐθὺς ἐλθὼν, ἔντρομος ἦν ὅλος· δάκρυα δὲ ποταμηδὸν κατέδυον οἱ ὀφθαλμοὶ αὐτοῦ. Πᾶσα δὲ ἡ ὡραιότης τῆς ἀκολάστου κόρης ἐκείνης καὶ τῶν λοιπῶν δυσωδεστέρα βορβόρου καὶ σαπρίας αὐτῷ λελόγιστο. Στρέφων δὲ ἐν τῇ ψυχῇ τῶν ὁραθέντων τὴν μνήμην, τῷ πόθῳ τῶν ἀγαθῶν καὶ τῷ φόβῳ τῶν ἀνιαρῶν ἐκείνων ἐπὶ τῆς κλίνης κατέκειτο ἥκιστα ἐγερθῆναι δυνάμενος.

Ἀνηγγέλθη δὲ τῷ βασιλεῖ ἡ τοῦ υἱοῦ ἀῤῥωστία. Καὶ ὃς ἐλθὼν ἐπηρώτα τί τὸ συμβάν. Ὁ δὲ τὰ ὁραθέντα αὐτῷ διηγεῖται, καὶ φησίν· « Ἱνατί παγίδα ἡτοίμασας τοῖς ποσί μου, καὶ κατέκαμψας τὴν ψυχήν μου (1); εἰ μὴ γὰρ Κύριος ἐβοήθησέ μοι, παραβραχὺ παρῴκησεν ἂν τῷ ᾅδῃ ἡ ψυχή μου. Ἀλλ' « ὡς ἀγαθὸς ὁ » Θεὸς τῷ Ἰσραὴλ, τοῖς εὐθέσι τῇ καρδίᾳ (2)! » ὃς καὶ τὴν ἐμὴν ἐῤῥύσατο ταπείνωσιν ἐκ μέσου σκύμνων. Ἐκοιμήθην γὰρ τεταραγμένος (3)· ἀλλ' ἐπεσκέψατό με ἐξ ὕψους ὁ Θεός μου καὶ σωτήρ μου, καὶ ἔδειξέ μοι οἵων ἀγαθῶν ἀπεστέρησαν ἑαυτοὺς οἱ παροργίζοντες αὐτὸν, οἵων δὲ κολάσεων ὑπευθύνους εἰργάσαντο. Καὶ νῦν, ὦ πάτερ, ἐπεί σου τὰ ὦτα ἔβυσας τοῦ μὴ ἀκοῦσαί μου τῆς φωνῆς τῆς τὰ ἀγαθά σοι ἐπᾳδούσης,

(1) Psalm. LVI, 6 : παγίδας ἡτοίμασαν τοῖς ποσί μου, καὶ κατέκαμψαν τὴν ψυχήν μου.

(2) Psalm. LXXII, 1.

(3) Psalm. LVI, 4 : καὶ ἐῤῥύσατο τὴν ψυχήν μου ἐκ μ. σκ. ἐκ. ταρ.

κἂν ἐμὲ μὴ κώλυε τὴν εὐθεῖαν βαδίσαι ὁδόν. Τοῦτο γὰρ ποθῶ, τούτου ἐφίεμαι, τοῦ πάντων ἀπαλλαγῆναι, καὶ τόπους καταλαβεῖν ἔνθα Βαρλαὰμ ὁ τοῦ Χριστοῦ θεράπων τὰς οἰκήσεις ἔχει, καὶ σὺν αὐτῷ τὸ λοιπὸν τῆς παρούσης μου διανύσαι ζωῆς. Εἰ δὲ βίᾳ κατασχεῖν με θελήσειας, ὄψει με θᾶττον τῇ λύπῃ καὶ ἀδημονίᾳ νεκρόν· καὶ οὔτε σὺ τὸ λοιπὸν πατὴρ κληθήσῃ, οὔτε υἱόν με ἔτι ἕξεις. »

Πάλιν οὖν ἀθυμία κατέσχε τὸν βασιλέα (1)· πάλιν ἀπελέγετο ὅλην αὐτοῦ τὴν ζωήν. Καὶ, δεινὰ στρέφων ἐν ἑαυτῷ, εἰς τὸ ἴδιον ἀπῄει παλάτιον.

Τὰ δὲ παρὰ τοῦ Θευδᾶ ἀποσταλέντα τῆς πονηρίας Πνεύματα κατὰ τοῦ θείου παιδὸς, ἐπανελθόντα πρὸς αὐτὸν, κατῃσχυμμένα τὴν ἧτταν ἀνωμολόγει (2), καίτοι φιλοψευδῆ ὄντα· σύμβολα γὰρ σαφῆ τῆς ἥττας ἔφερον ἐπὶ τῆς πονηρᾶς αὐτῶν ὄψεως. Ὁ δέ « Καὶ οὕτω » φησίν, « ἀσθενεῖς ὑμεῖς καὶ ταλαίπωροι, ὡς ἑνὸς μειρακίου μὴ περιγενέσθαι! »

Τότε τὰ πονηρὰ Πνεύματα, θείᾳ δυνάμει τιμωρούμενα, εἰς φῶς ἄκοντα τὴν ἀλήθειαν ἦγεν, « Οὐχ ὑπομένομεν » λέγοντα, « οὐδὲ ἀντοφθαλμῆσαι ὅλως τῇ τοῦ Χριστοῦ δυνάμει καὶ τῷ συμβόλῳ τοῦ πάθους αὐτοῦ, ὃν σταυρὸν καλοῦσιν. Ἐκείνου γὰρ τυπουμένου, φθάνομεν (3) ἀνάκρατος φεύγοντές τε καὶ διωθούμενοι

(1) Philostr. Her. p. 54 : ἀθυμία μὲν οὖν αὐτίκα τὸν ἀθλητὴν ἔσχεν. Sed potius meminerat monachus Davidis sui, qui Psalm. CXVIII, 53, ait : ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν.

(2) C, ἀνωμολόγουν. Sic mox, A, ἦγεν, C, ἦγον. Electio est fere anceps. Synesius de regno p. 4, 2 : Ταῦτά σοι καὶ παρ' ἡμῶν ἅπαντος ἂν μᾶλλον ἀληθῆ λέγοιντο. Omnino melius est λέγοιτο, quod in duobus codicibus vidi.

(3) C, φεύγομεν.

πάντες οἱ τοῦ ἀέρος ἄρχοντες καὶ κοσμοκράτορες τοῦ σκότους (1), πρὶν ἢ τελείως αὐτὸ τυπωθῆναι (2). Ὅθεν καὶ τῷ νεανίσκῳ τούτῳ ἐπιπεσόντες δεινῶς ἐταράξαμεν· ὁ δὲ, τὸν Χριστὸν ἐπικαλεσάμενος εἰς συμμαχίαν καὶ τῷ σημείῳ τοῦ σταυροῦ καθοπλίσας ἑαυτὸν, ἡμᾶς τε διώσατο μετ' ὀργῆς καὶ ἀσφάλειαν ἑαυτῷ ἔθετο. Μὴ μελλήσαντες (3) οὖν, εὕρομεν ὄργανον, δι' οὗ καὶ τῷ πρωτοπλάστῳ ὁμιλήσας ποτὲ ὁ ἄρχων ἡμῶν, τοῦτον (4) ἐχειρώσατο. Καὶ δὴ παρ' οὐδὲν ἐθέμεθα ἂν καὶ ἡμεῖς καινὴν (5) τὴν ἐλπίδα τοῦ νέου· ἀλλ' ἐπικληθεὶς αὖθις ὁ Χριστὸς εἰς συμμαχίαν, πυρὶ τῆς ἄνωθεν ὀργῆς ἡμᾶς καταφλέξας, φυγάδας εἰργάσατο. Καὶ ἔγνωμεν μηκέτι πλησιάσαι αὐτῷ. »

Οὕτω μὲν οὖν τὰ πονηρὰ Πνεύματα σαφῶς ἐγνώρισε τῷ Θευδᾷ τὰ γεγενημένα. Ὁ δὲ βασιλεὺς, πάντοθεν ἀπορούμενος, τὸν Θευδᾶν αὖθις προσκαλεῖται, καὶ φησί· « Τὰ μὲν δεδομένα σοι, σοφώτατε, πάντα πληρώσαντες, οὐδεμίαν τὴν ὠφέλειαν εὕρομεν· νυνὶ δὲ, εἴ τίς σοι ἑτέρα ὑπολέλειπται ἐπίνοια κἀκείνης

(1) Conf. p. 218, n. 3.

(2) Signum crucis Cyrillo dictum est, Catech. XIII, pag. 138, φόβος δαιμόνων. Et p. 140, τοῦτο, ait, μέχρι σήμερον δαίμονας ἀπελαύνει. Prudentius Cathem. 134 sq. : « Crucem fugiunt tenebræ. » O tortuose serpens, Discede; » Christus hic est. Signum, quod » ipse nosti, Damnat tuam catervam. » Alia loca indicabit Billyus. Cf. supra p. 167, 3.

(3) AC, μελήσαντες. Permutationem similem vide t. I, p. 331, n. 2. Rem attigi ad Nicet. p. 284. Theodorus Prodr. Tetrast. pag. 76 : τὴν παρθένον Μηδὲν μελήσας τῷ θεῷ σφάζων θύεις. Rescripto, quod est legitimum, μελλήσας, versus paulo pejor fiet. Sed quantitatem arithmeticam, non metricam, in syllabis curabat Theodorus. Parilem ejus circa id verbum negligentiam notavi ad Nicet. l. l.

(4) C, ὡμίλησε π. ὁ. ἄ. ἡ., καὶ τοῦτον.

(5) C, κενήν. Cf. p. 11, n. 1.

πεῖραν ληψόμεθα, ἴσως εὕρω τινὰ τοῦ κακοῦ (1) λύσιν. »

Αἰτησαμένου δὲ τοῦ Θευδᾶ εἰς ὁμιλίαν ἐλθεῖν τοῦ υἱοῦ, ἕωθεν συμπαραλαβὼν αὐτὸν, ὁ βασιλεὺς εἰς ἐπίσκεψιν ἀπέρχεται τοῦ υἱοῦ. Καὶ καθίσας λόγους ἐκίνησεν ὁ βασιλεὺς, ὀνειδίζων αὐτὸν καὶ μεμφόμενος ἐπὶ τῇ ἀνηκοΐα αὐτοῦ καὶ ἀνενδότῳ γνώμῃ. Ἐκείνου δὲ τὰ αὐτὰ αὖθις βεβαιοῦντος καὶ μηδὲν προτιμᾶν τῆς Χριστοῦ ἀγάπης βοῶντος, παρελθὼν εἰς μέσον, ὁ Θευδᾶς ἔφη· « Τί κατέγνως, ὦ Ἰωάσαφ, τῶν ἀθανάτων ἡμῶν θεῶν, ὅτι τῆς αὐτῶν ἀπέστης λατρείας, καὶ, τὸν σὸν πατέρα καὶ βασιλέα οὕτως (2) παροργίζων, μισητὸς παντὶ γέγονας τῷ λαῷ; οὐχὶ παρ' αὐτῶν σοι τὸ ζῆν; οὐκ αὐτοὶ παρέσχον σε τῷ πατρὶ, τῆς αὐτοῦ ἀκούσαντες εὐχῆς καὶ τῶν τῆς ἀτεκνίας δεσμῶν λυτρωσάμενοι (3); » Πολλὰς δὲ ματαιολογίας καὶ ἀνωφελεῖς προτάσεις ὁ ἐν κακοῖς γηράσας προβαλλόμενος, καὶ συλλογισμοὺς ῥάπτων περὶ τοῦ κηρύγματος τοῦ εὐαγγελίου, βουλόμενος τοῦτο μὲν χλευάζειν, τὰ δὲ τῶν εἰδώλων κρατύνειν, ὀλίγον ἐπισχὼν ὁ τῆς ἄνω βασιλείας υἱὸς, καὶ τῆς πόλεως ἐκείνης πολίτης « ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος (4) », φησὶ πρὸς τὸν Θευδᾶν·

« Ἄκουσον, ὦ πλάνης βυθὲ, καὶ ψηλαφητοῦ σκότους (5) ζοφωδέστερε, τὸ Βαβυλώνιον σπέρμα, τὸ τῆς Χαλανικῆς (6) πυργοποιίας ἔκγονον, δι' ἧς ὁ κόσμος συνεχύθη, ματαιόφρον καὶ ἄθλιε γέρον, οὗπερ καὶ ἡ πυρὶ

(1) C, καλοῦ.
(2) A sine οὕτως.
(3) Conf. p. 6, 19.
(4) Epist. ad Hebr. VIII, 2.
(5) Respectu ad Exod. X, 21: γενηθήτω σκότος ἐπὶ γῆς Αἰγύπτου, ψηλαφητὸν σκότος. Cf. p. 227, n. 3.
(6) Cf. t. II, p. 160.

καὶ θείῳ κατακαυθεῖσα (1) πεντάπολις (2) ἐλαφροτέρα τοῖς ἁμαρτήμασι γέγονε· τί χλευάζειν ἐπιχειρεῖς τὸ τῆς σωτηρίας κήρυγμα, δι' ἧς τὰ ἐσκολισμένα ἐφωτίσθη, δι' ἧς οἱ πεπλανημένοι τὴν ὁδὸν εὗρον, δι' ἧς οἱ ἀπολωλότες καὶ δεινῶς αἰχμαλωτισθέντες ἀνεκλήθησαν; τί κρεῖττον, εἰπέ μοι, Θεῷ λατρεύειν παντοκράτορι σὺν Υἱῷ μονογενεῖ καὶ Πνεύματι Ἁγίῳ, Θεῷ ἀκτίστῳ καὶ ἀθανάτῳ, τῇ ἀρχῇ καὶ πηγῇ τῶν ἀγαθῶν, οὗ τὸ κράτος ἀνείκαστον (3) καὶ ἡ δόξα ἀκατάληπτος, ᾧ παρειστήκεισαν χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες ἀγγελικῶν ταγμάτων καὶ οὐρανίων (4), καὶ πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ, δι' οὗ τὰ πάντα ἐκ τοῦ μὴ ὄντος παρήχθη, δι' οὗ κρατεῖται τὸ πᾶν καὶ συνέχεται καὶ τῇ προνοίᾳ αὐτοῦ διοικεῖται, τούτῳ βέλτιον λατρεύειν, ἢ Δαίμοσι ὀλεθρίοις καὶ ἀψύχοις εἰδώλοις, ὧν ἡ δόξα καὶ ὁ ἔπαινος μοιχεία ἐστὶ καὶ παιδοφθορία καὶ τὰ λοιπὰ τῆς ἀνομίας ἔργα, ἃ περὶ τῶν ὑμετέρων ἀναγέγραπται θεῶν ἐν τοῖς συντάγμασι τῆς δεισιδαιμονίας ὑμῶν; Οὐκ αἰδεῖσθε, ταλαίπωροι, πυρὸς ἀκοιμήτου βορά, ὁμοίωμα γένους Χαλδαϊκοῦ, οὐκ αἰσχύνεσθε νεκρὰ ξόανα προσκυνοῦντες,

(1) A, *καυθεῖσα*, omissione sæpius animadversa. Heliodorus Æth. II, 3: *σποδιᾶς . . . . ἁπάσης σχεδὸν ἀποσβεσθείσης*. Codex Venet. 409, *ἀναποσβεσθείσης*, nec id male. — Respicitur Genes. XIX, 24: *Κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμοῤῥα θεῖον καὶ πῦρ παρὰ Κυρίου ἐξ οὐρανοῦ*. Conf. Luc. XVII, 29.

(2) Sodoma scilicet, Gomorrha, Adama, Zeboïm, Segor.

(3) Joannes Chrys. Hom. in Psalm. VI, pag. 15 Coteleriance, qua una nunc uti licet: *μὴ νικήσῃ ἡ ἐμὴ ῥᾳθυμία τὴν ἀνίκαστόν σου φιλανθρωπίαν*· « insuperabilem » tuam humanitatem », Cotelerius vertit. Sed legendum *ἀνείκαστον*, « quam conjectura nemo » possit assequi. »

(4) Respectu ad Danielem. Cf. pag. 229, n. 5.

χειρὸς ἀνθρωπίνης ἔργα; Λίθον γὰρ λαξεύσαντες ἢ ξύλον τεκτονεύσαντες, θεὸν προσηγορεύσατε· εἶτα τὸν κάλλιστον ἐκ βουκολίων ταῦρον λαβόντες, ἢ ἄλλο τυχὸν τῶν εὐπρεπεστάτων ζώων, νεκρῷ σεβάσματι θύετε ἀνόητοι. Τιμιώτερόν ἐστί σου τοῦ σεβάσματος τὸ θῦμα· τὸ μὲν γὰρ ξόανον ἄνθρωπος ἐποίησε, τὸ δὲ ζῶον ὁ Θεὸς ἐδημιούργησε. Καὶ πόσον σοῦ μᾶλλον τοῦ λογικοῦ συνετώτερόν ἐστι τὸ ἄλογον ζῶον; τὸ μὲν γὰρ οἶδε τὸν τρέφοντα· σὺ δὲ τὸν Θεὸν ἠγνόησας (1), δι' οὗ ἐκ τοῦ μὴ ὄντος παρήχθης, δι' οὗ ζῇς καὶ συντετήρησαι, καὶ καλεῖς θεὸν, ὃν περὶ μικροῦ ἔβλεπες σιδήρῳ τυπτόμενον καὶ πυρὶ καιόμενόν τε καὶ χωνευόμενον, καὶ σφύραις ἐλαυνόμενον (2), ὃν (3) ἄργυρον καὶ χρυσὸν περιέθηκας καὶ, χαμόθεν ὑψώσας, ἐφ' ὑψηλοῦ μετεώρισας· εἶτα, πεσὼν ἐπὶ τῆς γῆς, τοῦ ταπεινοῦ λίθου κεῖσαι ταπεινότερος, προσκυνῶν οὐ θεὸν, ἀλλὰ τὰ ἔργα τῶν χειρῶν σου τὰ νεκρὰ καὶ ἄψυχα. Μᾶλ-

(1) Respectu ad Isai. I, 3: ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω.

(2) C, τυπτόμενον καὶ σφ. ἐλαυν. A, τυπτόμ. καὶ π. καιόμενον. Sed in A corrector omissa inseruit. Ex homœoteleuto lacuna orta est. Psellus De Dæmon. p. 77: καθάπερ γὰρ ἡμῶν φοβηθέντες αὖθις ἐρύθημα ... κατὰ ταῦτα δή... Est φοβηθέντες mendum typorum pro φοβηθέντων, quod habet codex 1310, in quo plenior est sententia: καθ. γ. ἡ. φοβηθέντων ὦχρος εἷλε παρειὰς καὶ αἰδεσθέντων αὖθις ἐρ. Bene etiam ibi scriptum est κατὰ ταυτά. Et notandum verba ὦχρος εἷλε παρειὰς esse ex Iliade sumta.

(3) Videtur in A corrector ᾧ voluisse rescribere. Est quidem αὐτοὺς περιθήσομαι pag. 160, 11, nec tamen sine varietate. Nam habet A, πῶς αὐτοῖς πάλιν τοὺς δερματίνους χιτῶνας καὶ τὸ τῆς αἰσχύνης περιθήσομαι περιβόλαιον. C autem, πῶς αὐτοὺς π. τ. δ. ἀμφιάσαιμι χιτ. καὶ τὸ τ. αἰσχ. περιθήσαιμι περιβ. Alibi περιτιθέναι dativo jungit, verbi causa, p. 288. Nec id ipsum exemplum, quod adtuli, rem decernere poterit; quum αὐτοὺς possit ad unum ἀμφιάσαιμι referri, et subaudiri αὐτοῖς ante περιθήσομαι.

λον δὲ οὐδὲ νεκρὸν ἂν εἴη δίκαιον καλεῖσθαι τὸ εἴδωλον; πῶς γὰρ ἂν νεκρὸν εἴη τὸ μηδέποτε ζῆσαι; ἀλλά τι καινὸν ἔδει ἐφευρεῖν αὐτῷ ὄνομα καὶ τῆς τοσαύτης παραφροσύνης ἐπάξιον. Ὁ μὲν γὰρ λίθινος θρύπτεται, ὁ δὲ ὀστεράκινος κατάγνυται, ὁ χαλκοῦς ἰοῦται, ὁ χρυσοῦς καὶ ὁ ἀργυροῦς χωνεύεται. Ἀλλὰ καὶ πιπράσκονται οἱ θεοί σου, οἱ μὲν εὐώνως, οἱ δὲ τιμῆς ὅτι πλείστης· οὐχ ἡ θεότης γὰρ αὐτοῖς, ἀλλ' ἡ ὕλη τὴν πολυτέλειαν δίδωσι. Θεὸν δὲ τίς ἀγοράζει; θεὸν τίς πωλεῖ; Θεὸς δὲ ἀκίνητος πῶς ὀνομάζεται θεός; ἢ οὐχ ὁρᾷς ὅτι ὁ μὲν ἑστὼς οὐδέποτε καθέζεται, ὁ δὲ καθεζόμενος οὐδέποτε ἀνίσταται; Αἰσχύνθητι, ἀνόητε, χεῖρα θὲς ἐπὶ στόματι σῷ, μεμωραμένε, τὰ τοιαῦτα ἐπαινῶν. Τῆς ἀληθείας γὰρ ἀλλοτριωθεὶς, ψευδέσι τύποις ἐπλανήθης, ἀγάλματα πλάττων, καὶ τοῖς ἔργοις τῶν χειρῶν σου θεοῦ περιτιθεὶς ὄνομα. Ἀνάνηψον, ἄθλιε, καὶ σύνες ὅτι πρεσβύτερος εἶ τοῦ ὑπὸ σοῦ γενομένου θεοῦ. Ταῦτα πολλῆς ἐστὶ μανίας. Πέπεικας δὲ σαυτὸν, ἄνθρωπος ὢν, θεὸν δύνασθαι ποιεῖν. Καὶ πῶς ἐνδέχεται τοῦτο γένεσθαι; ὥστε οὐ θεὸν ποιεῖς, ἀλλὰ μόρφωμα ἀνθρώπου ἢ ζώου τινὸς, μὴ γλῶσσαν ἔχον, μὴ λάρυγγα (1), μὴ ἐγκέφαλον, μήτε τῶν ἐντός τι· ὥστε οὔτε ἀνθρώπου ἐστὶν ὁμοίωμα, οὔτε ζώου, ἀλλ' ἀχρηστον πάντη καὶ ματαιότητος πλῆρες. »

« Τί οὖν τὰ ἀναίσθητα κολακεύεις; τί τοῖς ἀκινήτοις καὶ ἀνωφελέσι προσκάθησαι; Εἰ μὴ τέχνη παρῆν τοῦ λιθοξόου ἢ τοῦ τέκτονος ἢ τοῦ σφυροκόπου, θεὸν οὐκ ἂν εἶχες. Εἰ μὴ φύλακες παρεκάθηντο, ἀπώλεσας ἂν τὸν θεόν σου. Ὢ γὰρ πολλάκις πόλις πολυ-

(1) C, φάραγγα : imo φάρυγγα.

ἄνθρωπος ἀφρόνων εὔχεται ὡς θεῷ διαφυλαχθῆναι, τούτῳ ὀλίγοι παραμένουσι φύλακες ἵνα μὴ κλαπῇ. Καὶ εἰ μὲν ἀργυροῦς ἢ χρυσοῦς ἐστι, ἐπιμελῶς φυλάσσεται· ἐὰν δὲ ᾖ λίθινος ἢ πήλινος, ἢ ἄλλης τινὸς τοιαύτης εὐτελεστέρας ὕλης, ἑαυτὸν φυλάσσει· ἰσχυρότερος γὰρ ἴσως ἐστὶν ὁ πήλινος τοῦ χρυσοῦ καθ' ὑμᾶς. »

« Οὐκ εἰκότως ἐστὶν ὑμᾶς τοὺς ἄφρονας, τυφλοὺς καὶ ἀσυνέτους, δικαίως καταγελᾶσθαι, μᾶλλον δὲ πενθεῖσθαι; μανίας γὰρ τὰ ἔργα ὑμῶν, οὐκ εὐσεβείας ἐστίν. Ὁ μὲν γὰρ πόλεμον ἀσκήσας, στρατιωτικῆς ἀντίμιμον ἰδέας ξόανον ἱδρύσας, ἐκάλεσεν Ἄρην· ὁ δὲ γυναικομανοῦς ἐπιθυμίας τὴν ψυχὴν ἀναλυπωσάμενος, ἐθεοποίησε τὸ πάθος, Ἀφροδίτην προσαγορεύσας· ἄλλος, τῆς ἑαυτοῦ φιλοινίας ἕνεκεν, ἔπλασεν εἴδωλον, ὅπερ ἐκάλεσε Διόνυσον. Ὁμοίως δὲ καὶ τῶν ἄλλων κακῶν ἐπιθυμηταὶ τῶν ἰδίων παθῶν ἔστησαν εἴδωλα· τὰ πάθη γὰρ αὐτῶν θεοὺς ὠνόμασαν. Καὶ διὰ τοῦτο παρὰ τοῖς αὐτῶν βωμοῖς ἡδυπαθεῖς εἰσὶν ὀρχήσεις, πορνικῶν ᾀσμάτων ἦχοι καὶ μανιώδεις ὁρμαί. Τίς δὲ αὐτῶν καθεξῆς τὴν βδελυρὰν ἐξείποι πρᾶξιν; τίς ἀνέξεται, τὰς ἐκείνων αἰσχρολογίας καταλέγων, τὸ ἑαυτοῦ μολῦναι στόμα; Ἀλλὰ πᾶσι δῆλαι, κἂν ἡμεῖς σιωπῶμεν. »

« Ταῦτά σου τὰ σεβάσματα, Θευδᾶ τῶν ξοάνων σου ἀναισθητότερε! τούτοις με ἐπιτρέπεις προσκυνεῖν, ταῦτα σέβεσθαι! Τῆς σῆς ὄντως κακουργίας καὶ ἀσυνέτου γνώμης ἡ βουλή· ἀλλ' ὅμοιος αὐτῶν γένοιο, σύ τε καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς (1).

(1) Psalm. cxiii, 8 : ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.

Ἐγὼ δὲ τῷ Θεῷ μου λατρεύσω, καὶ αὐτῷ θύσω ὅλον ἐμαυτὸν, τῷ Θεῷ τῷ κτίστῃ καὶ προνοητῇ τῶν ἁπάντων διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ « τῆς ἐλπίδος ἡμῶν (1) », δι' οὗ τὴν προσαγωγὴν ἐσχήκαμεν πρὸς τὸν Πατέρα (2) τῶν φώτων (3) ἐν Πνεύματι Ἁγίῳ, δι' οὗ ἐξηγοράσθημεν τῆς πικρᾶς δουλείας ἐν τῷ αἵματι αὐτοῦ. Εἰ μὴ γὰρ ἐταπείνωσεν ἑαυτὸν μέχρι καὶ δούλου μορφῆς (4), οὐκ ἂν ἡμεῖς τῆς υἱοθεσίας ἠξιώθημεν (5). Ἐταπεινώθη γοῦν δι' ἡμᾶς, οὐχ ἁρπαγμὸν ἡγούμενος τὴν θεότητα (6), ἀλλ' ὃ ἦν διέμεινε, καὶ ὃ οὐκ ἦν προσέλαβεν, ὡμίλησε τοῖς ἀνθρώποις, ἀνῆλθεν ἐν τῷ σταυρῷ τῇ σαρκὶ αὐτοῦ, ἐτέθη τάφῳ ἐπὶ τρισὶν ἡμέραις, κατῆλθεν ἐν τῷ ᾅδῃ, καὶ ἐξήγαγεν οὓς κατεῖχε δεσμίους ὁ δεινὸς κοσμοκράτωρ πεπραμένους ὑπὸ τῆς ἁμαρτίας (7). Τίς οὖν ἐγένετο βλάβη αὐτῷ ἐκ τούτων, ὅ τι χλευάζειν δοκεῖς; »

« Οὐχ ὁρᾷς τὸν ἥλιον τοῦτον, πόσοις καταπέμπει τὴν ἀκτῖνα τόποις ἀχρήστοις καὶ ῥυπαροῖς; πόσα ἐπιβλέπει σώματα νεκρῶν ὀδωδότα; μή τις αὐτῷ προσ-

(1) I Epist. ad Tim. I, 1.

(2) Epist. ad Ephes. II, 18 : δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς τὸν πατέρα.

(3) Conf. p. 17, n. 1.

(4) Epist. ad Phil. II, 7, 8 : ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών.... καὶ, σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν....

(5) Epist. ad Gal. IV, 4 : ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ.... ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

(6) Epist. ad Phil. II, 6 : ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ.

(7) Epist. ad Rom. VII, 14 : ἐγὼ δὲ σαρκινός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν. Quem locum admove et p. 219, 8. — Fuit, puto, plenior Trapezuntii codex, vertentis : «....sub peccato, resurrexit die tertia, ascendit in cœlum, inde venturus judicare vivos et mortuos.» Et illa vel e Græco vel e Latino textu vertit Billyus. Regii codices 904, 905, 906, 907, et Coislinianus 308, consentiunt cum AC.

τρίβεται μῶμος; οὐ τὰ ῥυπαρὰ μὲν καὶ σεσηπότα ξηραίνει καὶ συσφίγγει, τὰ ἐσκοτισμένα δὲ φωτίζει, καὶ αὐτὸς ἄσπιλος πάντῃ καὶ ἀνεπίδεκτος παντὸς ὑπάρχει ῥύπου;

Τί δὲ τὸ πῦρ; οὐ τὸν σίδηρον μέλανα λαβὼν ἐν ἑαυτῷ καὶ ψυχρὸν, φλογοειδῆ ὅλον καὶ πεπυρακτωμένον ἐργάζεται; μή τι μετέλαβε τῶν ἰδιωμάτων τοῦ σιδήρου; μὴ, τυπτομένου τοῦ σιδήρου σφύραις καὶ μαστιζομένου, πάσχει τι τὸ πῦρ ἢ βλάβην ὅλως ὑφίσταται; »

« Εἰ οὖν τὰ κτιστὰ ταῦτα καὶ φθαρτὰ οὐδὲν ἀπὸ τῆς κοινωνίας τῶν εὐτελεστέρων πάσχειν (1) πέφυκε, τίνι λόγῳ, ἀνόητε σὺ καὶ λιθοκάρδιε, χλευάζειν με τολμᾷς λέγοντα ὅτι ὁ υἱὸς καὶ λόγος τοῦ Θεοῦ, οὐδόλως ἐκστὰς τῆς πατρικῆς δόξης, ἀλλ' ὁ αὐτὸς ὢν Θεὸς, ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων ἀνείληφε σῶμα ἀνθρώπινον, ἵνα τοὺς ἀνθρώπους κοινωνοὺς ποιήσῃ τῆς θείας καὶ νοερᾶς φύσεως, καὶ, ἐκ τῶν καταχθονίων τοῦ ᾅδου ἐξαγαγὼν τὴν ἡμῶν οὐσίαν, τῇ οὐρανίῳ τιμήσῃ δόξῃ, ἵνα τὸν ἄρχοντα τοῦ σκότους τοῦ αἰῶνος τούτου (2), τῇ προσλήψει τῆς σαρκὸς δελεάσας (3), χειρώσηται, καὶ τὸ γένος ἡμῶν τῆς αὐτοῦ τυραννίδος ἐλευθερώσειεν. Ἔνθεν τοι καὶ ἀπαθῶς προσομιλεῖ τῷ πάθει τοῦ σταυροῦ, τὰς δύο παριστῶν φύσεις αὐτοῦ· ὡς μὲν γὰρ ἄνθρωπος σταυροῦται, ὡς Θεὸς δὲ σκοτίζει τὸν ἥλιον, κλονεῖ τὴν γῆν, καὶ πολλὰ κεκοιμημένα ἐγείρει σώματα ἐκ τῶν

(1) C, πανθάνειν. In A πάσχειν e correctione.

(2) Conf. p. 13, n. 3.

(3) Liban. t. IV, p. 433 : τοιαύτην γὰρ ἔχουσι τέχνην αἱ πόρναι· δελεάζουσι τοὺς νέους εἰς αὐτὰς δαπανᾶν τὰς οὐσίας. Codex 3017, δελεάζουσαι, non bene. Cf. pag. 15.

μνημάτων (1)· πάλιν ὡς ἄνθρωπος θνήσκει, ὡς δὲ Θεὸς ἐξανίσταται σκυλεύσας τὸν ᾅδην. Διὸ καὶ κέκραγεν ὁ προφήτης (2)· «Ὁ ᾅδης ἐπικράνθη συναντήσας σοι » κάτω. » Ἐπικράνθη γὰρ καὶ ἐνεπαίχθη ἄνθρωπον δοκῶν λαβεῖν ψιλὸν, τῷ Θεῷ δὲ περιτυχὼν, καὶ κενὸς ἐξαίφνης γεγονὼς καὶ αἰχμάλωτος. Ἐγείρεται τοιγαροῦν ὡς Θεὸς, καὶ ἀνέρχεται εἰς οὐρανοὺς, ὅθεν οὐδαμῶς ἐχωρίσθη. Καὶ τὴν φύσιν ἡμῶν τὴν εὐτελῆ, τὴν πάντων ἀσυνετωτέραν, τὴν ἀγνώμονα καὶ ἠτιμωμένην, τῶν πάντων ἀνωτέραν πεποίηκε, καὶ ἐπὶ θρόνου δόξης ἐνίδρυσε, δόξης ἀποστίλβουσαν (3) ἀθανάτου. »

« Τίς οὖν αὐτῷ τῷ Θεῷ καὶ λόγῳ προσεγένετο ἐντεῦθεν βλάβη, ὅ τι βλασφημεῖν οὐκ ἐρυθριᾷς; »

« Τί δέ; βέλτιον ταῦτα ὁμολογεῖν, καὶ τοιοῦτον σέβεσθαι Θεὸν, ἀγαθὸν καὶ φιλάνθρωπον, ὃς ἐντέλλεται δικαιοσύνην, ἐγκράτειαν ἐπιτάσσει, καθαρότητα νομοθετεῖ, ἐλεεῖν διδάσκει, πίστιν παρέχει, εἰρήνην κηρύσσει, αὐτοαλήθεια ὀνομάζεται καὶ ἔστιν, αὐτοαγάπη, αὐτοαγαθότης· τοῦτον βέλτιον σέβεσθαι, ἢ τοὺς θεούς σου, τοὺς πολυπαθεῖς καὶ κακοὺς, τοὺς αἰσχροὺς καὶ τοῖς πράγμασι καὶ τοῖς ὀνόμασιν; Οὐαὶ ὑμῖν, τῶν λίθων λιθωδέστεροι καὶ τῶν ἀλόγων ἀλογώτεροι, τῆς ἀπωλείας υἱοὶ, τοῦ σκότους κληρονόμοι! μακάριος δὲ ἐγὼ καὶ πάντες οἱ χριστιανοὶ, Θεὸν ἔχοντες ἀγαθὸν καὶ φιλάνθρωπον! Οἱ γὰρ αὐτῷ λατρεύοντες, κἂν ὀλίγον χρόνον ἐν τῷ νῦν βίῳ κακοπαθήσωσιν, ἀλλὰ τὸν ἀθάνατον τῆς ἀνταποδόσεως

(1) Matth. XXVII, 45, sqq.: σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν.... καὶ ἡ γῆ ἐσείσθη........ καὶ τὰ μνημεῖα ἀνεῴχθησαν, καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη.

(2) Isai. XIV, 9.

(3) Videtur esse in A varietas ἀπολάμπουσαν.

καρπὸν τρυγήσουσιν ἐν τῇ βασιλείᾳ τῆς ἀτελευτήτου καὶ θείας μακαριότητος. »

Ἔφη δὲ πρὸς αὐτὸν ὁ Θευδᾶς· « Ἰδοὺ φανερόν ἐστιν, ὅτι τὴν καθ' ἡμᾶς θρησκείαν πολλοὶ καὶ μεγάλοι σοφοὶ, καὶ ἐξηγηταὶ, καὶ θαυμαστοὶ τὴν ἀρετὴν καὶ ἐπιστήμην, ἐνομοθέτησαν, καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς καὶ δυνάσται ὡς καλὴν καὶ μηδὲν σφαλερὸν ἔχουσαν ἐδέξαντο, τὴν δὲ τῶν Γαλιλαίων ἄγροικοί τινες, πτωχοί τε καὶ εὐτελεῖς ἐκήρυξαν ἄνδρες, καὶ αὐτοὶ εὐαρίθμητοι καὶ μὴ τῶν δώδεκα τὸ μέτρον ὑπερβαίνοντες. Πῶς οὖν τῶν ὀλίγων, ἀσήμων τε καὶ ἀγροίκων, τὸ κήρυγμα προτιμητέον τῆς τῶν πολλῶν καὶ μεγάλων καὶ σοφίᾳ τοσαύτῃ λαμψάντων νομοθεσίας; τίς δὲ ἡ ἀπόδειξις τούτους ἀληθεύειν, κἀκείνους ψεύδεσθαι; »

Αὖθις οὖν ὁ τοῦ βασιλέως υἱὸς ἀπεκρίνατο· « Τάχα, Θευδᾶ, ὄνος εἶ, τὸ τοῦ λόγου, λύρας ἀκούων (1) καὶ ἀσύνετος μένων, μᾶλλον δὲ ἀσπὶς βύων τὰ ὦτα τοῦ μὴ ἀκοῦσαι φωνῆς ἐπᾳδόντων (2). Καλῶς οὖν ὁ προφήτης εἶπε περὶ σοῦ· « Εἰ (3) ἀλλάξεται Αἰθίοψ τὸ » δέρμα αὐτοῦ καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς, » καὶ σὺ δυνήσῃ εὖ ποιῆσαι μεμαθηκὼς κακά. » Μωρὲ καὶ τυφλὲ, πῶς οὐκ ἄγει σε εἰς αἴσθησιν ἡ τῆς ἀλη-

(1) De hoc proverbio monitum fuit ad Aristæn. I, ep. 17, p. 473. Libanius t. IV, pag. 837: *ταῦτα ἐμοῦ λέγοντος, καὶ τῶν χειρῶν ἁπτομένου καὶ μόνον οὐ δακρύοντος, οὐ μᾶλλον ἤκουεν ἢ λύρας ἀκούσειεν ὄνος.* Joannes Hieros. Vita Joannis Damasc. p. 249: *ὁ μισόχριστος ἐκεῖνος ἄρχων πρὸς τὰ ὑπὸ τοῦ Ἰωάννου λεγόμενα ὄνος ἦν λύρας ἀκούων, τοῦτο δὴ φάναι τὸ τῆς παροιμίας.* Lusit non inficete circa id proverbium Stratonicus ap. Machonem Athenæi VIII, 41, v. 50. Adde Vallin. ad Boet. de Consol. p. 15.

(2) Psalm. LVII, 4: *θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς, ἥτις οὐκ εἰσακούσεται φωνὴν ἐπᾳδόντων.*

(3) Hierem. XIII, 23.

θείας ἰσχύς; Τοῦτο γὰρ αὐτὸ τὸ παρὰ πολλῶν μὲν ἐπὶ σοφίᾳ θαυμαζομένων ἐπαινεῖσθαι τὰ μιαρά σου σεβάσματα, παρὰ πολλῶν δὲ βασιλέων κρατύνεσθαι, τὸ δὲ κήρυγμα τοῦ εὐαγγελίου παρ' ὀλίγων καὶ ἀσήμων ἀνδρῶν κηρυχθῆναι, δεικνύει τῆς ἡμῶν θεοσεβείας τὴν ἰσχὺν καὶ τῶν ὑμετέρων πονηρῶν δογμάτων τὸ ἀσθενὲς καὶ ὀλέθριον· ὅτι τὰ μὲν ὑμέτερα, καὶ συνηγόρους ἔχοντα σοφοὺς καὶ ἀντιλήπτορας ἰσχυρούς, ὅμως σβέννυται καὶ ἀσθενεῖ, τὰ δὲ τῆς θεοσεβείας, μηδεμίαν ἀνθρωπίνην κεκτημένα βοήθειαν, λάμπει τηλαυγέστερον ἡλίου καὶ τοῦ κόσμου κατέσχε τὰ πληρώματα. Εἰ μὲν γὰρ παρὰ ῥητόρων τε καὶ φιλοσόφων ἐξετέθη, βασιλεῖς δὲ καὶ (1) δυνάστας εἶχε συνεργοῦντας, εὗρες ἂν σὺ ὁ πονηρὸς εἰπεῖν ἀνθρωπίνης δυνάμεως τὸ πᾶν γεγενῆσθαι· νυνὶ δέ, ὁρῶν παρὰ ἁλιέων μὲν εὐτελῶν τὸ ἅγιον συντεθὲν εὐαγγέλιον, παρὰ πάντων δὲ τυράννων διωχθέν, καὶ μετὰ τοῦτο τὴν οἰκουμένην κατασχόν (« εἰς πᾶσαν γὰρ τὴν γῆν

(1) A sine καί. Voculæ sæpius pereunt. Philostratus Epist. 42: Δαναός σοι πατήρ, χεὶρ ἐκείνη καὶ λῆμα φονικόν. Codex Vatic. 140, καὶ χείρ: bene. Nicephorus Gregoras in Synes. p. 426: Ἴκαρος ἄνθρωπος ἦν καὶ αὐτός· ἠβουλήθη δὲ τὴν ἀστρονομίαν μαθεῖν καὶ τοὺς τῶν ἀστέρων δρόμους· μὴ δυνάμενος δὲ ῥᾳδίως τὰς τῶν λόγων ἀποδείξεις συνιέναι, ἀπεῖπε μεταξὺ τῆς μαθήσεως· διὰ τοῦτο ἐμυθεύθη ὅτι προσεκόλλησεν ἑαυτῷ κήρινα πτερὰ κ. τ. λ. Non incommode codex 831, καὶ διὰ τοῦτο. Quum fuerim ad Icarum forte perductus, apponam e codice 3041 scholium ad Nicetæ Choniatæ verba pag. 78, ἦν οὐρανοδρόμος Ἰκάρου ἐλεεινότερος: Οὗτος ὁ Ἴκαρος ὑπ' ἀλαζονείας ἀκαίρου τετόλμηκεν ἀναπτῆναι πρὸς οὐρανὸν καὶ θεατὴς τῶν ἐκεῖσε γενέσθαι. Τοίνυν, ἐκ κηροῦ πτερὰ τεχνηέντως ἑαυτῷ ποιησάμενος καὶ συναρμόσας, ἀεροβατεῖν ἐπειρᾶτο. Ὅθεν καὶ συνέβαινε τὸ πρᾶγμα κατὰ σκοπὸν αὐτῷ, ἕως, θερμοτέρων ἐπιρρευσάντων τῶν ἀκτίνων ἡλίου πρὸς ὕψος ἐκπεπταγμένου, ὁ μὲν κηρὸς ἐτάκη δεινῶς, αὐτὸς δ' ἐπεπτώκει χαμαιρριφὴς πτῶμα τῆς ἰδίας ἀπονοίας τε καὶ ἐλεεινότητος ἄξιον.

» ἐξῆλθεν (1) ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς » οἰκουμένης τὰ ῥήματα αὐτοῦ »), τί ἂν εἴποις, ἢ θείαν εἶναι καὶ ἄμαχον δύναμιν ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων τὰ ἑαυτῆς βεβαιοῦσαν; τίνα δὲ ἀπόδειξιν ζητεῖς, ἀνόητε, τοῦ ψεύδεσθαι μὲν τοὺς σοὺς, ἀληθεύειν δὲ τοὺς ἡμετέρους, κρείττονα τῶν εἰρημένων; Εἰ μὴ γὰρ λῆρος ἦν καὶ ψεῦδος πάντα τὰ σὰ, οὐκ ἂν, τοσαύτην ἔχοντα παρὰ ἀνθρώπων ἰσχὺν, ἠλαττοῦτο καὶ ἐξησθένει. « Εἶδον γάρ » φησί (2), « τὸν ἀσεβῆ ὑπερυ- » ψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου· » καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτὸν, καὶ » οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. »

« Περὶ ὑμῶν ταῦτα εἰρήκει ὁ προφήτης τῶν ὑπασπιστῶν τῆς εἰδωλομανίας· μικρὸν γὰρ ὅσον ὅσον (3) καὶ οὐ μὴ εὑρεθῇ ὁ τόπος ὑμῶν, ἀλλ', ὡς ἐκλείπει καπνὸς, ἐκλίπετε, καὶ ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός (4). Περὶ δὲ τῆς εὐαγγελικῆς θεογνωσίας εἶπεν ὁ Κύριος (5)· « Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ » δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. » Καὶ « Σὺ κατ' » ἀρχὰς, Κύριε, « φησὶν αὖθις ὁ ψαλμῳδός (6), « τὴν

(1) Psalm. XVIII, 4.

(2) David, Ps. XXXVI, 35.

(3) C, ὅσον καὶ ὅσον. Epist. ad Hebr. X, 37 : ἔτι γὰρ μικρὸν ὅσον ὅσον. Simplex μικρὸν ὅσον est frequens. Exemplum præbet Theod. Prodr. Tetrast. p. 30, de Mose in cista exposito : Ὁρᾷς, ἐκεῖνος, τὴν θίβην; ναὶ τὴν θίβην Ὁρῶ, τὰ δ' ἔνδον οὐχ ὁρῶ. Κρύπτει βρέφος, Ὁ ναυαγεῖ μὲν ἄρτι τὴν σωτηρίαν, Μικρὸν δ' ὅσον θάλασσαν ἐν ῥάβδῳ σχίσει. Suvignyus rem hic male gessit. Restituto ἐκεῖνο e cod. 2831, sic dispungo dialogum : Ὁρᾷς ἐκεῖνο; — Τὴν θίβην; — Ναὶ τὴν θίβην. — Ὁρῶ· τὰ δ' ἔνδον οὐχ ὁρῶ. — Κρύπτει....

(4) Psalm. LXVII, 2 : ὡς ἐκλείπει καπνὸς, ἐκλιπέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπόλοιντο οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ.

(5) Apud Luc. XXI, 33.

(6) Psalm. CI, 25 ... Cf. Ep. ad Hebr. I, 10....

» γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν
» οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις·
» καὶ πάντες ὡσεὶ ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ
» περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται, σὺ
» δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. »

« Καὶ οἱ μὲν θεῖοι κήρυκες τῆς τοῦ Χριστοῦ παρουσίας, οἱ σοφοὶ τῆς οἰκουμένης ἁλιεῖς (1), οἱ πάντας ἑλκύσαντες τοῦ βυθοῦ τῆς ἀπάτης, οὓς ὁ εὐτελὴς σὺ, καὶ δοῦλος ὄντως τῆς ἁμαρτίας, ἐξευτελίζεις, ἔλαμψαν σημείοις καὶ τέρασι (2) καὶ ποικίλαις δυνάμεσιν ὡς ἥλιος (3) ἐν τῷ κόσμῳ, τυφλοῖς τὸ φῶς δωρούμενοι, κωφοῖς τὸ ἀκούειν, χωλοῖς τὸ περιπατεῖν, νεκροῖς τὸ ζῆν χαριζόμενοι. Αἱ σκιαὶ γὰρ αὐτῶν μόναι (4) πάντα τὰ πάθη τῶν ἀνθρώπων ἐθεράπευον. Δαίμονας, οὓς ὑμεῖς φοβεῖσθε ὡς θεοὺς, οὐ μόνον τῶν ἀνθρωπίνων ἀπήλαυνον σωμάτων, ἀλλὰ καὶ αὐτῆς ἐδίωκον τῆς οἰκουμένης, τῷ τοῦ σταυροῦ σημείῳ (5), δι' οὗ πάσας μὲν ἠφάνισαν μαγείας, πάσας δὲ φαρμακείας ἀνενέργητον ἔδειξαν. Καὶ ἐκεῖνοι μὲν, οὕτως τὴν ἀνθρωπίνην ἰασάμενοι ἀσθένειαν τῇ τοῦ Χριστοῦ δυνάμει καὶ τὴν κτίσιν πᾶσαν καινουργήσαντες, ὡς τῆς ἀληθείας κήρυκες θαυμάζονται παρὰ πάντων εἰκότως τῶν εὖ φρονούντων. Τί δὲ ὁ αὐτὸς

(1) Conf. t. II, p. 413, n. 2.

(2) Act. Apost. V, 12 : διὰ δὲ τῶν χειρῶν τῶν Ἀποστόλων ἐγίνετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά. Cf. p. 67, n. 3. Isai. VIII, 18 : ἔσται τέρατα καὶ σημεῖα ἐν τῷ οἴκῳ Ἰσραὴλ παρὰ Κυρίου.

(3) Matth. XIII, 43 : τότε δὲ δίκαιοι ἐκλάμψουσιν ὡς ἥλιος. Quo respexit Nilus Epist. 53, quum orationem posse declaret pios homines φωτίζειν καὶ ἡλιοειδεῖς ἀποδεῖξαι.

(4) Act. Apost. V, 15 : ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς, καὶ τιθέναι ἐπὶ κλινῶν καὶ κραββάτων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν.

(5) Conf. pag. 284, n. 2, de vi signi crucis.

ἔχεις εἰπεῖν περὶ τῶν σοφῶν σου καὶ (1) ῥητόρων, ὧν ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν (2), τῶν συνηγόρων τοῦ Διαβόλου; τί μνήμης ἄξιον κατέλιπον τῷ βίῳ (3); εἰπέ. Τί δ' ἂν εἴποις περὶ αὐτῶν, ἢ ἀλογίαν καὶ αἰσχρότητα, καὶ τέχνην ματαίαν, τῇ καλλιεπείᾳ τῶν λόγων τὸν βόρβορον συγκαλύπτουσαν τῆς δυσώδους αὐτῶν θρησκείας; »

« Ἀλλὰ καὶ αὐτῶν τῶν ποιητῶν ὅσοι μικρόν τι δεδύνηνται τῆς πολλῆς ἀνανεῦσαι μανίας, εἶπον τὸ ἀληθέστερον, ὅτι οἱ λεγόμενοι θεοὶ ἄνθρωποι ἦσαν, καὶ, διὰ τὸ τινὰς μὲν αὐτῶν ἄρξαι χωρῶν (4) τε καὶ πόλεων, τινὰς δὲ ἄλλο τι οὐδαμινὸν κατὰ τὸν βίον ποιῆσαι, πλανηθέντας τοὺς ἀνθρώπους θεοὺς αὐτοὺς καλέσαι. Καταρχὰς μὲν γὰρ ὁ Σερούχ ἐκεῖνος (5) ἱστόρηται (6)

(1) A sine *καί*. Synesius Calv. p. 63 : *ἐδήλωσε δὲ ἡ Παρύσατις*. Codex 831, *ἐδ. δὲ καὶ ἡ Π.* Quæ copula non valde locum ornabit.

(2) Conf. p. 234, n. 3.

(3) Τῷ *βίῳ*, *mundo, hominum generi*. Hunc sensum Reitz. ad Luc. Icarom. 32, illustravit, ac nuper plena manu vir doct., et philologiæ inter Italos rarum ac splendidum lumen, Leopardus not. ad Euseb.

(4) Videtur esse in A *χώρῶν*, quasi significare voluisset librarius posse legi *χώρων* vel *χωρῶν*. Hoc illo melius, saltem magis in usu esse, ostendi t. I, pag. 256. C *χωρῶν* hic exhibet, sed *χώρων* p. 27, 7, ubi A *τῶν πόλεων καὶ τῶν χωρῶν*. Niceph. Gregoras, Hist. II, 5, 5 : *κλήρους ἑαυτοῖς διανείμαντες χωρῶν καὶ πόλεων*. IV, 7, 1 : *κατέχοντας τῶν ἐκεῖσε χωρῶν καὶ πόλεων τὰς βελτίους*. Cf. supra t. II, pag. 444, 6. Et sic ubivis. Variato genere, Nicephorus V, 3, 2 : *κατὰ τῶν ὁμορούντων Ῥωμαϊκῶν χωρίων καὶ πολιχνίων*. Qui et *χώρων* habet III, 1, 3 : *κατὰ τῶν ὁμορούντων αὐτῷ χώρων καὶ πόλεων*. Unde firmabitur locus Leonis Diaconi quem attigi t. I, p. 256. Ceterum idem Leo X, 7, p. 105, 3, usum sequutus, dixit : *χώρας πορθῶν καὶ πόλεις καταστρεφόμενος*.

(5) Notus Seruch, vel Sarug, ex Genesi XI, 20, sqq. Eustathius in Hexaem. pag. 56 : *ἐν δὲ τοῖς χρόνοις Σερούχ οἱ υἱοὶ Νῶε εἰδωλολατρεῖν ἤρξαντο*. Ibi Allatius.

(6) C, *ἱστορεῖται* : quod tempus habet schol. Theocriti VII, 5. Cf. t. I, p. 422, n. 5. Tempora confudit vocalium *ει* et *η* confu-

τὰ τῶν ἀγαλμάτων ἐξευρεῖν. Τοὺς γὰρ ἐν τοῖς πάλαι χρόνοις ἢ ἀνδρίας ἢ φιλίας, ἤ τινος ἑτέρας ἀνδραγαθίας, ἔργον μνήμης ἄξιον ἐπιδειξαμένους ἀνδριάσι λέγεται καὶ στήλαις τιμῆσαι. Οἱ δὲ μετὰ ταῦτα τὴν τῶν προγόνων ἀγνοήσαντες γνώμην, καὶ ὅτι, μνήμης ἕνεκα μόνον, τοῖς ἐπαινετόν τι ποιήσασιν ἀνδριάντας καὶ στήλας ἀνέστησαν, κατὰ μικρὸν πλανώμενοι τῇ τοῦ ἀρχεκάκου Δαίμονος ἐνεργείᾳ, ὡς ἀθανάτοις θεοῖς τοῖς ὁμοιοπαθέσι καὶ φθαρτοῖς ἀνθρώποις προσετέθησαν, καὶ θυσίας αὐτοῖς καὶ σπονδὰς ἐπενοήσαντο, τῶν Δαιμόνων δηλονότι τοῖς ξοάνοις ἐνοικησάντων, καὶ πρὸς ἑαυτοὺς τὴν τιμὴν καὶ τὰς θυσίας μεθελκυσάντων. »

« Ἐκεῖνοι τοίνυν τοὺς μὴ δοκιμάζοντας τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει πείθουσι θεοὺς αὐτοὺς ἡγεῖσθαι, δυοῖν χάριν· ἵν' αὐτοὶ μὲν τῇ προσηγορίᾳ δοξάζοιντο ταύτῃ (ἥδονται γὰρ, ἅτε πλήρεις ἀλαζονείας ὄντες, ὡς θεοὶ τιμᾶσθαι), αὐτοὺς δὲ οὓς ἠπατήκασιν εἰς τὸ ἡτοιμασμένον αὐτοῖς ἄσβεστον ἑλκύσωσι πῦρ (1). Ὅθεν πᾶσαν αὐτοὺς ἐδίδαξαν παρανομίαν καὶ αἰσχρότητα, ὡς ἅπαξ ὑποταγέντας τῇ ἐκείνων ἀπάτῃ. »

« Ἐπὶ τοῦτον οὖν τὸν κολοφῶνα τῶν κακῶν ἐλθόντες οἱ ἄνθρωποι, ἐσκοτισμένοι ὄντες, ἕκαστος τοῦ ἰδίου πάθους καὶ τῆς ἰδίας ἐπιθυμίας ἔστησε στήλην, καὶ θεὸν

sio. Libanius Epist. 360 : εἴ τι μὴ *βοηθῇς οἷς ἀξιοῦμεν*. Male Wolfius in nota reliquit meliorem codicum scripturam *βοηθεῖς*. Idem Epist. 411 : *λογιζόμενος ὡς ἐθελήσας ἀρκέσῃς καὶ μόνος*. Et hic e nota restituenda lectio *ἀρκέσεις*, quam et reperi in cod. 3035. Basilius Macedo Præc. c. 21 : *ἅπερ ἂν ἑτέροις πράττουσιν ἐπιτιμήσεις, ταῦτα πράττειν αὐτὸς μὴ ἐπιχειρήσεις*. Cod. 2991 A, recte, *ἐπιτιμήσῃς, ἐπιχειρήσῃς*.

(1) Matth. xxv, 41 : *πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ Διαβόλῳ καὶ τοῖς Ἀγγέλοις αὐτοῦ*. Conf. pag. 66, n. 3.

ὠνόμασε, βδελυκτοὶ τῆς πλάνης, βδελυκτότεροι τῆς ἀτοπίας τῶν προσκυνουμένων γενόμενοι. Ἕως ἐλθὼν ὁ Κύριος « διὰ σπλάγχνα ἐλέους (1) » αὐτοῦ ἐλυτρώσατο ἡμᾶς τοὺς πιστεύοντας αὐτῷ τῆς πονηρᾶς ταύτης καὶ ὀλεθρίου πλάνης, καὶ ἐδίδαξε τὴν ἀληθῆ θεογνωσίαν. Οὐκ ἔστι γὰρ σωτηρία, εἰ μὴ ἐν αὐτῷ (2), καὶ οὐκ ἔστιν ἄλλος Θεὸς οὔτε ἐν οὐρανῷ, οὔτε ἐπὶ γῆς, εἰ μὴ αὐτὸς μόνος ὁ τοῦ παντὸς ποιητὴς, « ὁ » πάντα φέρων τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ (3). » Τῷ λόγῳ » γὰρ, φησί (4), « Κυρίου οἱ οὐρανοὶ » ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ » πᾶσα ἡ δύναμις αὐτῶν »· καὶ, « πάντα (5) δι' αὐτοῦ » ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. »

Ὁ δὲ Θευδᾶς, τούτων ἀκούσας τῶν ῥημάτων, καὶ ὅτι πλήρης ὁ λόγος θεοδιδάκτου σοφίας ἐτύγχανεν, οἷα βροντῆς ἤχῳ καταπλαγεὶς, ἀφωνίᾳ συνείχετο. Ὀψὲ δὲ καὶ μόλις εἰς αἴσθησιν ἐλθὼν τῆς ἑαυτοῦ ἀθλιότητος (ἥψατο γὰρ τῶν ἐσκοτισμένων ὀφθαλμῶν τῆς καρδίας αὐτοῦ ὁ σωτήριος λόγος, καὶ πολὺς τῶν προτέρων αὐτοῦ εἰσῄει μετάμελος), καὶ τῆς τῶν εἰδώλων πλάνης καταγνοὺς, τῷ φέγγει τῆς εὐσεβείας προσέδραμε. Καὶ τὸ ἀπ' ἐκείνου οὕτω τῆς μοχθηρᾶς ἀγωγῆς ἀπέστη καὶ τοσοῦτον ἑαυτὸν τοῖς ἀτίμοις ἐξεπολέμωσε πάθεσι καὶ μαγείαις, ὅσην ἄρα πρὸ τούτου τὴν πρὸς αὐτὰ φιλίαν ἐσπείσατο.

Τότε μὲν γὰρ ἐν μέσῳ τοῦ συνεδρίου ἑστὼς, τοῦ βασιλέως προκαθεζομένου, μεγάλῃ τῇ φωνῇ ἐβόησεν·

(1) Luc. I, 78.
(2) Act. Apost. IV, 12 : καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία.
(3) Epist. ad Hebr. I, 3.
(4) Psalm. XXXII, 6.
(5) Joann. I, 3.

« Ἀληθῶς, ὦ βασιλεῦ, πνεῦμα Θεοῦ οἰκεῖ ἐν τῷ (1) υἱῷ σου· ἀληθῶς ἡττήμεθα, καὶ οὐδεμίαν ἔτι ἀπολογίαν ἔχομεν, οὔτε ἀντοφθαλμῆσαι πρὸς τὰ παρ' αὐτοῦ λεγόμενα ἰσχύομεν. Μέγας οὖν τῷ ὄντι ὁ τῶν χριστιανῶν Θεὸς, μεγάλη ἡ πίστις αὐτῶν, μεγάλα τὰ μυστήρια. »

Ἐπιστραφεὶς δὲ, πρὸς τὸν υἱὸν ἔφη τοῦ βασιλέως· « Λέγε μοι τοίνυν, ὦ πεφωτισμένε τὴν ψυχήν· δέχεταί με ὁ Χριστὸς, εἰ, ἐκ τῶν πονηρῶν μου πράξεων ἀποστὰς, ἐπιστρέψω πρὸς αὐτόν; »

« Ναί », φησὶν ὁ τῆς ἀληθείας κήρυξ, « ναί, δέχεταί καὶ σὲ καὶ πάντας τοὺς εἰς αὐτὸν ἐπιστρέφοντας. Δέχεται δὲ οὐχ ἁπλῶς, ἀλλ', ὡς υἱῷ ἀπὸ μακρᾶς ἐπιδημήσαντι χώρας, προσυπαντᾷ τῷ ἐκ τῆς ὁδοῦ τῶν ἀνομιῶν ἐπιστρέφοντι· καὶ τοῦτον περιλαβὼν καταστάζεται, καὶ, τὸ τῆς ἁμαρτίας αἶσχος περιελὼν, αὐτίκα ἱμάτιον περιτίθησι σωτηρίου, καὶ, στολὴν λαμπροτάτης περιβαλὼν δόξης (2), μυστικὴν ταῖς ἄνω δυνάμεσιν ἐπιτελεῖ εὐφροσύνην, τὴν ἐπιστροφὴν ἑορτάζων τοῦ ἀπολωλότος προβάτου (3). Αὐτὸς γὰρ ἔφη ὁ Κύριος (4) χαρὰν γίνεσθαι ἐν οὐρανῷ μεγίστην ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι (4). Καὶ πάλιν « Οὐκ ἦλθον » φησί (5), « καλέσαι δικαίους, ἀλλὰ » ἁμαρτωλοὺς εἰς μετάνοιαν. » Φησὶ δὲ καὶ διὰ τοῦ προφήτου (6)· « Ζῶ ἐγὼ, λέγει Κύριος· οὐ βούλο-

(1) Est varietas ἐνοικεῖ τῷ. Habet πνεῦμα οἰκεῖ ἐν Paul. ad Rom. VIII, 9, 11; et πνεύματος ἐνοικοῦντος ἐν II ad Tim. I, 14.

(2) Respectu ad verba Lucæ in parabola filii prodigi cap. XV.

(3) Respectu ad Luc. XV, 4, sqq. Conf. p. 96, 12.

(4) Apud Luc. XV, 7.

(5) Apud Luc. V, 32.

(6) Ezech. XXXIII, 11 : conf. XVIII, 3, 23, 30, 31.

» μαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ καὶ ἀσεβοῦς, ὡς » τὸ ἐπιστρέψαι ἀπὸ τῆς ὁδοῦ αὐτοῦ καὶ ζῆν αὐ- » τόν· ἀποστροφῇ ἀποστρέψατε ἀπὸ τῆς ὁδοῦ ὑμῶν » τῆς πονηρᾶς· καὶ ἱνατί ἀποθνήσκετε, οἶκος Ἰσραήλ; » ἀνομία (1) γὰρ ἀνόμου οὐ μὴ κακώσῃ αὐτόν· ἐν » ᾗ ἂν ἡμέρᾳ ἀποστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ » καὶ ποιήσῃ δικαιοσύνην, καὶ ἐν προστάγματι ζωῆς » διαπορεύσηται, ζωῇ ζήσεται καὶ οὐ μὴ ἀποθάνῃ· » πᾶσαι αἱ ἁμαρτίαι αὐτοῦ ἃς ἥμαρτεν οὐ μὴ » μνησθῶσιν· ὅτι κρίμα δικαιοσύνης ἐποίησεν, ἐν » αὐτῇ ζήσεται. » Καὶ αὖθις « Λούσασθε », δι' ἑτέρου βοᾷ προφήτου (2), « καθαροὶ γένεσθε, ἀφέλετε τὰς » πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλ- » μῶν μου· παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν· μάθετε » καλὸν ποιεῖν· καὶ δεῦτε καὶ διαλεχθῶμεν· καὶ ἐὰν » ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευ- » κανῶ, ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ. »

« Τοιούτων οὖν προκειμένων ἐπαγγελιῶν παρὰ τοῦ Θεοῦ τοῖς ἐπιστρέφουσι, μὴ μέλλε, ὦ ἄνθρωπε, μηδὲ ἀναβάλλου· ἀλλὰ πρόσελθε πρὸς Χριστὸν, τὸν φιλάνθρωπον Θεὸν ἡμῶν, καὶ φωτίσθητι, καὶ τὸ πρόσωπόν σου οὐ μὴ καταισχυνθῇ (3). Ἅμα γὰρ τῷ καταδῦναί σε τῇ κολυμβήθρᾳ τοῦ θείου βαπτίσματος, ὅλον τὸ αἶσχος τοῦ παλαιοῦ ἀνθρώπου καὶ ὅλος ὁ φόρτος τῶν πολλῶν ἁμαρτημάτων ἐνθάπτεται τῷ ὕδατι (4) καὶ εἰς τὸ μὴ ὂν χωρεῖ, νέος δὲ σὺ ἐκεῖθεν

(1) Ezech. xxxiii, 12, 15.

(2) Isai. i, 16.

(3) Psalm. xxxiii, 5 : προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. Verbo φωτίσθητι baptismus innuitur : cf. p. 85, n. 2.

(4) Conf. p. 89, n. 1.

καὶ παντὸς ῥύπου καθαρὸς ἀνέρχῃ, μηδένα σπίλον ἢ ῥυτίδα ἁμαρτίας ἐπιφερόμενος, καὶ λοιπὸν ἐπὶ σοί ἐστι τὸ διαφυλάξαι ἑαυτῷ τὴν ἐκεῖθέν σοι προσγινομένην κάθαρσιν « διὰ σπλάγχνα ἐλέους Θεοῦ » ἡμῶν (1). »

Ὁ μὲν οὖν Θευδᾶς, τούτοις κατηχηθεὶς τοῖς ῥήμασιν, ἔξεισιν εὐθέως, καὶ τὸ πονηρὸν ἐκεῖνο καταλαβὼν ἄντρον, καὶ τὰς ἑαυτοῦ λαβὼν μαγικὰς βίβλους, ὡς κακίας πάσης ἀπαρχάς, ὡς ὀργίων δαιμονικῶν θησαυρούς, πυρὶ κατέκαυσεν. Αὐτὸς δὲ τὸ σπήλαιον καταλαμβάνει τοῦ ἱεροῦ ἀνδρὸς ἐκείνου, πρὸς ὃν καὶ ὁ Ναχὼρ ἀπεληλύθει (2), καὶ τὰ κατ' αὐτὸν διηγεῖται πάντα, κόνιν μὲν ἐπὶ κεφαλῆς καταχεάμενος, βαρεῖς τε ἀναφέρων στεναγμοὺς καὶ λύων τοῖς δάκρυσιν ἑαυτόν, καθεξῆς δὲ τῷ γέροντι τὰς μυσαρὰς αὐτοῦ διηγούμενος πράξεις. Ἐκεῖνος δέ, περὶ τὸ σῶσαι ψυχὴν καὶ τῆς τοῦ δολίου δράκοντος ἐξαρπάσαι φάρυγγος εὐτεχνότατος ὤν, κατεπᾴδει αὐτὸν ῥήμασι σωτηρίοις, ἐγγυᾶται τὴν ἄφεσιν, ἵλεων ὑπισχνεῖται τὸν δικαστήν. Εἶτα κατηχήσας καὶ νηστεύειν ἐπὶ πολλὰς ἐντειλάμενος ἡμέρας, τῷ θείῳ καθαίρει βαπτίσματι. Καὶ ἦν ὁ ἄνθρωπος μετανοῶν γνησίως πάσας αὐτοῦ τὰς ἡμέρας, ἐφ' οἷς ἐπλημμέλησε, δάκρυσί τε καὶ στεναγμοῖς τὸν Θεὸν ἐξιλεούμενος.

Ὁ δέ γε βασιλεύς, τούτων οὕτως ἀποβάντων, πάντοθεν ἐξαπορηθείς, δῆλος ἦν ἰσχυρῶς ἀνιώμενος καὶ πολὺν τὸν σάλον φέρων ἐν τῇ ψυχῇ. Συγκαλέσας δὲ αὖθις ὅσοι τῆς συγκλήτου βουλῆς ἐτύγχανον, ἐσκέ-

(1) Luc. I, 78. (2) Conf. pag. 259, 25.

πίετο τί λοιπὸν τῷ ἰδίῳ ποιήσειεν υἱῷ. Πολλὰς δὲ βουλὰς τῶν πολλῶν ὑποθεμένων, ὁ ἀνωτέρω μνημονευθεὶς Ἀραχὴς ἐκεῖνος (1), ἐπιφανέστερος τὴν ἡγεμονίαν καὶ πρῶτος τῆς βουλῆς ὑπάρχων, ἔφη τῷ βασιλεῖ·

« Τί ἔδει, βασιλεῦ, ποιῆσαι τῷ υἱῷ σου καὶ οὐ πεποιήκαμεν, τοῦ πεῖσαι αὐτὸν τοῖς ἡμετέροις ἕπεσθαι δόγμασι καὶ τοῖς θεοῖς ἡμῶν λατρεύειν; Ἀλλ', ὡς ὁρῶ, ἀνηνύτοις ἐπιχειροῦμεν· ἐκ φύσεως γὰρ αὐτῷ, ἢ τῆς τύχης ἴσως, τὸ φιλόνεικόν τε καὶ ἀμείλικτον. Εἰ μὲν οὖν βασάνοις αὐτὸν ἐκδοῦναι θελήσειας καὶ τιμωρίαις, σύ τε πολέμιος ἔσῃ τῆς φύσεως καὶ οὐ πατὴρ ἔτι κληθήσῃ, κἀκεῖνον ζημιωθήσῃ ἑτοίμως ἔχοντα ὑπὲρ Χριστοῦ ἀποθανεῖν. Λείπεται γοῦν τοῦτο μόνον ποιῆσαι· διελεῖν αὐτῷ τὴν βασιλείαν, καὶ εἰς τὸ ἐπιβάλλον αὐτῷ μέρος βασιλεύειν ἐπιτρέψαι. Καὶ, εἰ μὲν ἡ τῶν πραγμάτων φύσις καὶ ἡ μέριμνα τῶν βιωτικῶν ἑλκύσωσιν αὐτὸν τὸν ἡμέτερον ἀσπάσασθαι σκοπόν τε καὶ βίον, ἔσται ἡμῖν κατὰ σκοπὸν τὸ πρᾶγμα· τὰ γὰρ ἰσχυρῶς βεβαιωθέντα τῇ ψυχῇ ἔθη δυσεξάλειπτά εἰσι καὶ πειθοῖ μᾶλλον ἢ βίᾳ μεταβάλλεται (2). Εἰ δὲ τῇ θρησκείᾳ παραμενεῖ (3) τῶν χριστιανῶν, αὐτὸ δὴ τοῦτο, τὸ μὴ ζημιωθῆναί σε (4) τὸν υἱὸν, ἔσται σοι τῆς ἀθυμίας πως παραμύθιον. »

Ταῦτα τοῦ Ἀραχῆ εἰπόντος, πάντες συνεμαρτύρουν ἀποδεχόμενοι τὴν γνώμην. Συντίθεται τοίνυν καὶ ὁ βασιλεὺς οὕτω ταῦτα διατεθῆναι.

Καὶ δὴ προσκαλεσάμενος ἕωθεν, ἔφη τῷ υἱῷ·

(1) Conf. pag. 192, 9.
(2) C, μεταβαλλόμενα.
(3) A, παραμένει.
(4) Forsan σοι.

« Οὗτός μοι τελευταῖος ἤδη πρὸς σὲ λόγος, υἱέ· οὗπερ εἰ μὴ εὐθὺς κατήκοος γένῃ καὶ κἂν ἐν τούτῳ τὴν ἐμὴν θεραπεύσῃς καρδίαν, οὐκ ἔτι σοῦ, εὖ ἴσθι, φείσομαι. » Τοῦ δὲ υἱοῦ πυθομένου τίς ἡ τοῦ λόγου δύναμις, « Ἐπείπερ », φησί, « πολλὰ μογήσας, ἀνένδοτόν σε πρὸς πάντα εὗρον τοῦ πεισθῆναί μου τοῖς λόγοις, δεῦρο δὴ λοιπὸν, τὴν βασιλείαν διελὼν, ἀνὰ μέρος εἶναί σε καὶ βασιλεύειν ποιήσω· καὶ ἔσται σοι λοιπὸν ἐπ' ἀδείας ἣν ἂν ποθῇς ἰέναι ὁδόν. »

Γνοῦσα δὲ ἡ θεία ψυχὴ ἐκείνη καὶ τοῦτο ἐπ' ὀλίσθῳ τῆς αὐτοῦ προαιρέσεως προβαλεῖν τὸν βασιλέα, ὅμως ἐπακοῦσαι συνεῖδεν, ἵνα, τὰς αὐτοῦ διαδρὰς χεῖρας, τὴν ἐπιθυμουμένην αὐτῷ πορεύσηται ὁδόν. Ὑπολαβὼν οὖν; τῷ βασιλεῖ ἔφη· « Ἐγὼ μὲν ἐπόθουν τὸν θεῖον ἐκεῖνον ζητῆσαι ἄνδρα, τὸν ὑποδείξαντά μοι τὴν ὁδὸν τῆς σωτηρίας, καὶ, πᾶσι χαίρειν εἰπόντα, μετ' αὐτοῦ τὸ λοιπὸν τῆς ζωῆς μου διανύσαι· ἀλλ' ἐπεί με, πάτερ, οὐ συγχωρεῖς τὰ καταθύμια πράττειν, πείθομαί σοι ἐν τούτῳ. Ἐν οἷς γὰρ οὐ πρόκειται προφανὴς ἀπώλεια καὶ Θεοῦ ἀλλοτρίωσις, καλὸν τῷ πατρὶ πείθεσθαι. »

Χαρᾶς οὖν ὅτι πλείστης ὁ βασιλεὺς πλησθεὶς διαιρεῖ μὲν τὴν ὑποτελῆ αὐτῷ χώραν πᾶσαν εἰς δύο, χειροτονεῖ δὲ τὸν υἱὸν βασιλέα, κοσμεῖ τῷ διαδήματι, καὶ, πάσῃ τοῦτον βασιλικῇ καταλαμπρύνας δόξῃ, εἰς τὴν ἀφορισθεῖσαν αὐτῷ ἐκπέμπει βασιλείαν μετὰ λαμπρᾶς δορυφορίας. Τοῖς ἄρχουσι δὲ καὶ ἡγεμόσι, στρατηγοῖς τε καὶ σατράπαις κελεύει, παντὶ τῷ βουλομένῳ, ἀπελθεῖν μετὰ τοῦ υἱοῦ αὐτοῦ καὶ βασιλέως. Καὶ πόλιν τινὰ μεγάλην καὶ πολυάνθρωπον ἀφορίζει

αὐτοῦ τῇ βασιλείᾳ, καὶ πάντα δίδωσι τὰ πρέποντα βασιλεῦσιν.

Τότε δὴ τότε τὴν ἐξουσίαν παραλαβὼν ὁ Ἰωάσαφ τῆς βασιλείας, ἡνίκα τὴν πόλιν κατέλαβεν ἔνθα τὰ τῆς βασιλείας ηὐτρέπιστο αὐτῷ, τὸ τοῦ δεσποτικοῦ μὲν πάθους σημεῖον, τὸν σεβάσμιον σταυρὸν τοῦ Χριστοῦ, ἑκάστῳ ἐφίστησι τῆς πόλεως πύργῳ· τοὺς δὲ εἰδωλικοὺς ναοὺς καὶ βωμοὺς περιστὰς ἐπολιόρκει, καθέσειεν, ἀνώρυττε τὸ ἔδαφος, ἐξεκάλυπτε τοὺς θεμελίους, μηδὲν λείψανον τῆς ἀσεβείας καταλιπών. Κατὰ δὲ μέσης τῆς πόλεως ναὸν μέγαν τε καὶ περικαλλῆ τῷ δεσπότῃ ἀνεγείρει Χριστῷ. Καὶ κελεύει τὸ πλῆθος ἐκεῖ συνεχὲς ἐπιχωριάζοντας προσάγειν τῷ Θεῷ τὸ σέβας διὰ τῆς τοῦ σταυροῦ προσκυνήσεως, εἰς μέσον πρὸ πάντων αὐτὸς παρελθὼν καὶ ἐκτενεστάτῃ διδοὺς ἑαυτὸν δεήσει. Πάντας δὲ τοὺς ὑπὸ τὴν αὐτοῦ χεῖρα γενομένους ἐνουθέτει, παρεκάλει, πάντα ἐποίει τοῦ ἀποσπάσαι τῆς δεισιδαίμονος πλάνης καὶ τῷ Χριστῷ οἰκειῶσαι· τὴν ἀπάτην δὲ ὑπεδείκνυ τῆς εἰδωλομανίας καὶ τὸ κήρυγμα κατήγγελλε τοῦ εὐαγγελίου, τὰ περὶ τῆς τοῦ Θεοῦ Λόγου διεξῄει συγκαταβάσεως, τὰ θαυμάσια ἐκήρυττε τῆς αὐτοῦ παρουσίας, τὸ πάθος ἐγνώριζε τοῦ σταυροῦ δι' οὗ σεσώσμεθα, τὴν τῆς ἀναστάσεως δύναμιν καὶ τὴν πρὸς οὐρανοὺς ἄνοδον, τὴν φοβερὰν ἐπὶ τούτοις διήγγελλεν ἡμέραν τῆς φρικτῆς αὐτοῦ δευτέρας παρουσίας (1), τά τε ἀποκείμενα τοῖς πιστοῖς ἀγαθὰ καὶ τὰ ἐκδεχόμενα τοὺς ἁμαρτωλοὺς κολαστήρια. Ταῦτα πάντα ἤθει χρηστῷ καὶ μειλιχίοις διεξῄει ῥήμασιν· οὐ τοσοῦτον γὰρ ἀπὸ τοῦ ὄγκου τῆς ἐξου-

(1) Conf. pag. 62, 19; t. I, pag. 399, n. 1.

σίας καὶ τῆς βασιλικῆς μεγαλοπρεπείας ἤθελεν αἰδέσιμος εἶναι καὶ φοβερὸς, ὅσον ἀπὸ τῆς ταπεινοφροσύνης καὶ πραότητος· ᾧ καὶ μᾶλλον εἷλκε πάντας πρὸς ἑαυτὸν, τῷ εἶναι (1) τοῖς ἔργοις μὲν θαυμάσιος, ἐπιεικὴς δὲ καὶ μέτριος τῷ φρονήματι. Ὅθεν ἡ ἐξουσία, τὴν μετριοφροσύνην καὶ ἐπιείκειαν μέγαν συνεργὸν λαβοῦσα, πάντας εἴκειν (2) αὐτοῦ τοῖς λόγοις πεποίηκεν. Ἀμέλει οὕτως ἐν ὀλίγῳ χρόνῳ πᾶς ὁ ὑποτελὴς αὐτῷ λαὸς πολίτης τε καὶ ἐγχώριος τοῖς θεοφθόγγοις αὐτοῦ ἐμυσταγωγήθη λόγοις, ὡς ἐξαρνήσασθαι μὲν τὴν πολύθεον πλάνην καὶ ἀποῤῥαγῆναι τῶν εἰδωλικῶν σπονδῶν τε καὶ βδελυγμάτων, τῇ ἀπλανεῖ (3) δὲ προστεθῆναι

(1) Posito ᾧ, quod ad præcedentia referendum, addit τῷ εἶναι.... per appositionem et novam ejusdem rei per alia verba descriptionem. Sic Demosthenes De Rhod. libert. p. 205, tom. 1, Tauchn. : ποιήσετε τοὺς πολλοὺς ἐν ἁπάσαις ταῖς πόλεσι τοῦτο ποιεῖσθαι σύμβολον τῆς αὑτῶν σωτηρίας, ἐὰν ὑμῖν ὦσι φίλοι· οὗ μεῖζον οὐδὲν ἂν ὑμῖν γένοιτο ἀγαθὸν, ἢ παρὰ πάντων ἐχόντων ἀνυπόπτου τυχεῖν εὐνοίας. In quo loco οὗ intelligendum de præcedente sententia; et insuper addit ἢ τυχεῖν εὐνοίας..., novam ejusdem per alia verba significationem sententiæ, quam jam relativo οὗ attigerat. Idcirco autem Demosthenis locum huc adduxi, quod nuper intellexerim viros doctos circa οὗ et ἢ valde trepidasse nec quid verum esset omnino perspexisse ; quod si viderim ipse, ipsi judicent. Ii sunt, et quos moneam meo amici jure, et a quibus suo hominum et doctorum et amicorum jure monear lubens.

(2) A, ἥκειν, permutatione solenni. Basilius Mac. Præc. c. 63: πορφύρα δέ σε κοσμήσει, ἐὰν ἡ σωφροσύνη ταύτῃ συνεπανθήσει· καὶ τῶν ποδῶν σε τὸ ἐρυθρὸν τιμήσει ὑπόδημα, ἐὰν αὐτοῖς τὴν φλόγα τοῦ τύφου καταπατήσεις. Cod. 2991 A, ταυτὸν συνεπανθήσῃ.... ἐὰν ἐν αυτοῖς.... καταπατήσῃς, recta verborum syntaxi.

(3) Et rursus eodem errore A, ἀπλανῆ. Et rursus Basilius Præc. c. 44: δικαίωσον οὖν τὸν ἠδικημένον, καὶ ἄμυνον τὸν ἠδικηκότα, ἵνα μὴ, δι' ὧν παρορᾷς, δόξῃς καὶ αὐτὸς τοῖς ἀδικοῦσι συναδικεῖν καὶ ἀλλοτρίων ἁμαρτημάτων σεαυτὸν ὑπεύθυνον καταστήσεις· imo καταστήσῃς, quod tenet codex 2991 A. Maximus Tyr. xx, 2: ἄξεινον καὶ ἀειδῆ καὶ ἄμουσον. Editorum conjecturam ἀηδῆ firmat codex 1962.

πίστει, καὶ ταῖς αὐτοῦ μεταπλασθέντας διδασκαλίαις τῷ Χριστῷ οἰκειωθῆναι.

Πάντες δὲ, οἱ ἐν ὄρεσι καὶ σπηλαίοις διὰ τὸν φόβον τοῦ πατρὸς αὐτοῦ ἐγκεκλεισμένοι, ἱερεῖς τε καὶ μονάζοντες καὶ τῶν ἐπισκόπων ὀλίγοι, ἐξελθόντες τῶν καταδύσεων, πρὸς αὐτὸν χαίροντες ἐχώρουν. Αὐτὸς δὲ τοὺς διὰ Χριστὸν ἐν τοιούτοις περιπεσόντας ἀνιαροῖς καὶ οὕτω ταλαιπωρήσαντας προσυπαντῶν ἐντίμως ἐδέχετο, καὶ εἰς τὸ ἑαυτοῦ εἰσῆγε παλάτιον, πόδας ῥύπτων, κόμην ῥυπῶσαν ἀποπλύνων, καὶ παντοίως αὐτοὺς θεραπεύων.

Εἶτα τὴν νεουργηθεῖσαν αὐτῷ ἐνθρονίζει ἐκκλησίαν (1), καί τινα τῶν ἐπισκόπων, πολλὰ διὰ τὴν εἰς Χριστὸν πίστιν κακοπαθήσαντα καὶ τὸν ἴδιον ἀπολέσαντα τῆς ἐπισκοπῆς θρόνον, ἀρχιερέα ἐν ταύτῃ καθίστησιν, ἄνδρα ἅγιον καὶ τῶν ἐκκλησιαστικῶν κανόνων ἐπιστήμονα, ζήλου τε θείου τὴν ψυχὴν πεπληρωμένον.

Κολυμβήθραν δὲ εὐθὺς σχεδιάσας, βαπτίζειν τοὺς πρὸς Χριστὸν ἐπιστρέφοντας κελεύει. Καὶ δὴ βαπτίζονται οἱ ἄρχοντες πρῶτον καὶ ὅσον ἐν τέλει (2), οἱ ἐν στρατείᾳ τε αὖθις καὶ ὁ λοιπὸς ὄχλος. Καὶ οἱ βαπτιζόμενοι οὐ μόνον τὴν ψυχικὴν ἀπελάμβανον ὑγείαν· ἀλλὰ δὴ καὶ ὅσοι νόσοις ἦσαν σωματικαῖς καὶ πηρώσεσι πιεζόμενοι, πάντα ἀποθέμενοι, καθαροὶ τὰς ψυχὰς, ἄρτιοι δὲ τὰ σώματα, τῆς θείας ἀνήρχοντο

(1) Vulgarius est ἐνθρονίζειν ἐπίσκοπον. Dicunt et ἐνθρ. ἐκκλησίαν, « ecclesiam dedicare ». Vid. Cangii Glossarium.

(2) De formula οἱ ἐν τέλει, τὰ τέλη, vide quæ notavi in Notit. Mss. t. XI, II, p. 59. Synesius De regno, p. 20, sequutus Xenoph. Ages. 36 : τῶν τελῶν καλούντων. Ibi glossator in cod. 1038: τῶν ἀρχόντων. Adde Blomf. Gloss. Agam. 104; Erfurdt. ad Ajac. 1339.

κολυμβήθρας, θεραπείαν τρυγήσαντες ψυχῶν τε ὁμοῦ καὶ σωμάτων.

Ἔνθεν τοι καὶ συνέῤῥει πρὸς τὸν βασιλέα Ἰωάσαφ πανταχόθεν τὰ πλήθη, μυηθῆναι τὴν εὐσέβειαν ὑπ' αὐτοῦ ζητοῦντες. Καὶ πάντα μὲν κατεσκάπτετο εἰδωλικὰ σεβάσματα, ἀφήρητο δὲ πᾶς ὁ πλοῦτος (1) καὶ τὰ ἀποκείμενα τοῖς εἰδωλείοις χρήματα· καὶ ἱερὰ τεμένη τῷ Θεῷ ἀντῳκοδομεῖτο (2). Καὶ τὸν ἐκείνων πλοῦτον αὐτοῖς καὶ τὰς πολυτελεῖς ἐσθῆτας ὁ βασιλεὺς Ἰωάσαφ καὶ τοὺς θησαυροὺς ἀνετίθει (3), τὴν ἄτιμον ἐκείνην καὶ περιττὴν ὕλην ἐνεργὸν ἐντεῦθεν ποιῶν καὶ ὠφέλιμον. Οἱ δὲ τοῖς βωμοῖς ἐκείνοις καὶ ναοῖς (4) διατρίβοντες μιαροὶ δαίμονες διωγμῷ χαλεπωτάτῳ ἠλαύνοντο, καὶ τὴν ἐπελθοῦσαν αὐτοῖς συμφορὰν εἰς πολλῶν ἐπήκοον ἀνεβόων (5). Καὶ ἠλευθεροῦτο ἡ περίχωρος πᾶσα ἐκείνη τῆς ζοφερᾶς αὐτῶν ἀπάτης, τῷ φωτί τε περιελάμπετο τῆς ἀμωμήτου τῶν χριστιανῶν πίστεως.

Ἀμέλει καὶ ὁ βασιλεὺς ἀγαθὸν πᾶσιν ὑπόδειγμα ἦν, καὶ πολλοὺς ἐπὶ τὴν ὁμοίαν γνώμην ἀνέφλεγε καὶ ἐξῆπτε. Τοιοῦτον γὰρ ἡ ἐξουσία· συμμορφοῦται ταύτῃ ἀεὶ τὸ ὑποχείριον, τῶν αὐτῶν τε φιλεῖ ἐρᾷν, κἀκεῖνα ἐπιτηδεύειν οἷσπερ ἂν τὸν ἄρχοντα αἴσθηται χαί-

(1) C, ὁ πᾶς πλ. Supra idem ἄσπιοι, pro ἄρπαι; quod non omittendum.

(2) C, ἱερὰ δὲ τῷ θ. τεμ. ἀντῳκοδόμητο.

(3) C, ἐσθ. καὶ τοὺς θησ. ὁ β. Ἰ. ἀνετ.

(4) C, οἱ δὲ τοῖς ναοῖς ἐκείνοις καὶ βωμοῖς. — Similia cf. p. 320. Minucius Fel. c. 27 : « dæmones... » sub statuis et imaginibus con- » secrati delitescunt. »

(5) C, ἐβόων. Libanius Epist. 20 : τὸ γὰρ χρυσίον εἰσπραττέτω μὲν, εἰσπραττέτω δὲ παρὰ τῶν λελοιπότων τὴν τάξιν, καὶ προσέτι γε τῶν ἠπατηκότων. Codex 3035, addita præpositione : τῶν ἐξηπατηκότων.

ροντα (1). Ἐντεῦθεν, τοῦ Θεοῦ συνεργοῦντος, ἡ εὐσέβεια ηὐξάνετο ἐν αὐτοῖς καὶ ἐπεδίδου. Καὶ ὅλως ἦν τῶν τοῦ Χριστοῦ ἐντολῶν καὶ τῆς αὐτοῦ ἀγάπης ἐξηρτημένος ὁ βασιλεὺς, οἰκονόμος τε τοῦ λόγου τῆς χάριτος, καὶ ψυχῶν κυβερνήτης πολλῶν, εἰς τὸν λιμένα τοῦ Θεοῦ ταύτας καθορμίζων. Ἤδει γὰρ τοῦτο εἶναι πρὸ πάντων βασιλέως ἔργον, ἵνα τοὺς ἀνθρώπους διδάξῃ τὸν Θεὸν φοβεῖσθαι καὶ τὸ δίκαιον τηρεῖν. Ὃ δὴ καὶ ἐποίει· ἑαυτόν τε εἰς τὸ βασιλεῦσαι τῶν παθῶν καταρτίζων, καὶ τοῖς ὑπ' αὐτὸν ὡς κυβερνήτης ἄριστος διακατέχων ἀκριβῶς τῆς εὐνομίας τοὺς οἴακας. Τοῦτο γὰρ ὅρος ἀληθινῆς βασιλείας, τὸ βασιλεύειν καὶ κρατεῖν τῶν ἡδονῶν· ὅπερ ἐκεῖνος ἐποίει. Ἐπὶ προγόνων μέν τοι εὐγενείᾳ καὶ τῇ περὶ αὐτὸν οὔσῃ βασιλικῇ δόξῃ μηδόλως ἐναβρυνόμενος, εἰδὼς ὅτι πήλινον ἔχομεν πάντες τοῦ γένους προπάτορα (2), καὶ τοῦ αὐτοῦ φυράματος ἐσμὲν πλούσιοί τε καὶ πένητες, ἐν ἀβύσσῳ δὲ ταπεινοφροσύνης ἀεὶ τὸν νοῦν ἐμβάλλων, καὶ τῆς ἐκεῖθεν μακαριότητος μεμνημένος, πάροικον μὲν ἑαυτὸν (3) τῶν ἐνταῦθα ἐλογίζετο, ἐκεῖνα δὲ ἐγίνωσκεν ἴδια εἶναι ὧν ἂν μετὰ τὴν ἐνθένδε τύχοι ἐκδημίαν.

Ἐπεὶ δὲ πάντα καλῶς εἶχεν αὐτῷ, καὶ πάντας

(1) Ad quam sententiam conf. tom. I, pag. 331, n. I. Basilius Mac. Præc. cap. 19: ἃ γὰρ ἂν σε πράττοντα θεωρῶσι (cod. 2991 A, ὁρῶσι), τὰ αὐτὰ καὶ αὐτοὶ πράττειν συνεθισθῶσι· πέφυκε γάρ πως ταῖς ἀρχαῖς συμμεταβάλλεσθαι τὸ ὑπήκοον. Vide Rupert. ad T. Liv. I, 21; et, qui sententiam exemplis illustravit historicis, Geamœn. in Misc. Lips. tom. III, pag. 290.

(2) Basilius Mac. Præc. c. 14: πηλὸς ἡμῶν τοῦ γένους εἷς ὑπάρχει προπάτωρ, κἂν κατ' ἀλλήλων οἱ χόες φυσώμεθα.

(3) Psalm. XXXVIII, 12: πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου.

τοὺς ὑπὸ χεῖρα τῆς παλαιᾶς ἀπαλλάξας πλάνης πατροπαραδότου, δούλους εἰργάσατο τοῦ ἐξαγοράσαντος ἡμᾶς τῆς πονηρᾶς δουλείας τῷ τιμίῳ αὐτοῦ αἵματι (1), δεύτερον ἐννοεῖ ἔργον, τὴν τῆς εὐποιΐας ἀρετήν. Σωφροσύνη γὰρ καὶ δικαιοσύνη ἤδη προκατώρθωτο αὐτῷ, ὡς τὸν στέφανον τῆς σωφροσύνης ἀναδησαμένῳ καὶ τὴν πορφύραν τῆς δικαιοσύνης ἀμφιασαμένῳ. Ἐνενόει οὖν τοῦ ἐπιγείου πλούτου τὸ ἄστατον ποταμίων ὑδάτων μιμεῖσθαι τὸν δρόμον. Ἐκεῖ τοίνυν ἔσπευδε τοῦτον ἀποθέσθαι, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσι (2). Καὶ δὴ ἤρξατο πάντα τοῖς πένησι διανέμειν τὰ χρήματα, μηδόλως αὐτῶν φειδόμενος. Ἤδει γὰρ ὡς ὁ μεγάλης ἐξουσίας ἐπιλαβόμενος τὸν δοτῆρα τῆς ἐξουσίας ὀφείλει μιμεῖσθαι κατὰ δύναμιν, ἐν τούτῳ δὲ μάλιστα τὸν Θεὸν μιμήσεται, ἐν τῷ μηδὲν ἡγεῖσθαι τοῦ ἐλεεῖν προτιμότερον (3). Ὑπὲρ χρυσίον οὖν καὶ λίθον τίμιον τῆς εὐποιΐας τὸν πλοῦτον ἑαυτῷ συναθροίζων ἦν, τὸν καὶ ὧδε κατευφραίνοντα τῇ ἐλπίδι τῆς μελλούσης ἀπολαύσεως, κἀκεῖ καταγλυκαίνοντα τῇ πείρᾳ τῆς ἐλπισθείσης μακαριότητος. Ἐντεῦθεν ἠρεύνῶντο αὐτῷ φυλακαὶ, οἱ ἐν μετάλλοις κατακεκλεισμένοι, οἱ ὑπὸ δανειστῶν συμπνιγόμενοι· καὶ, πᾶσιν ἀφθόνως ἐπιχορηγῶν πάντα, πατὴρ ἦν ἁπάντων τῶν ὀρφανῶν τε καὶ χηρῶν καὶ πε-

(1) Conf. p. 178, 5; 326, 16.
(2) Conf. pag. 91, n. 6.
(3) De sententia, Deum imitari qui sit beneficus, vide t. 1, pag. 131, n. 3; pag. 451, 8. Cicero pro Marc. 8 : « hæc qui » faciat » (qui non modo extollat jacentem adversarium, sed etiam amplificet ejus pristinam dignitatem), « non ego eum cum summis viris comparo, sed simillimum deo judico. »

νήτων (1), πατὴρ φιλόστοργος καὶ ἀγαθὸς, ἑαυτὸν δοκῶν εὐεργετεῖν ἐκ τῆς εἰς αὐτοὺς γενομένης εὐεργεσίας. Πλουσιόδωρος γὰρ ὢν τὴν ψυχὴν καὶ τῷ ὄντι βασιλικώτατος, πᾶσιν ἐδίδου δαψιλῶς τοῖς χρῄζουσιν· ἀπειροπλασίους γὰρ ἤλπιζεν ὑπὲρ τούτων ἀμοιβὰς κομίσασθαι, ὅταν ἔλθῃ ὁ καιρὸς τῆς τῶν ἔργων ἀνταποδόσεως.

Πανταχοῦ δὲ τῆς τοιαύτης αὐτοῦ φήμης ἐν ὀλίγῳ διαβαινούσης, πάντες πρὸς αὐτὸν, ὥσπερ ὑπό τινος ὀσμῆς μύρου κεκινημένοι, καθ' ἑκάστην συνέῤῥεον, σωμάτων τε ὁμοῦ καὶ ψυχῶν πενίαν ἀποτιθέμενοι, καὶ ἐν τοῖς ἁπάντων στόμασιν ἦν (2). Οὐχ ὁ φόβος γὰρ καὶ ἡ τυραννὶς εἷλκε τὸν λαὸν, ἀλλ' ὁ πόθος καὶ ἡ πρὸς αὐτὸν ἐκ καρδίας ἀγάπη, ἥτις ἐκ Θεοῦ καὶ τῆς αὐτοῦ καλλίστης πολιτείας ἐνεφυτεύθη ταῖς πάντων ψυχαῖς.

Τότε δὴ τότε καὶ οἱ τῷ πατρὶ αὐτοῦ ὑποκείμενοι αὐτῷ μᾶλλον προσετίθεντο, καὶ, τὴν πλάνην πᾶσαν ἀποτιθέμενοι, τὴν ἀλήθειαν εὐηγγελίζοντο. Καὶ ὁ μὲν οἶκος τοῦ Ἰωάσαφ ηὔξανε καὶ ἐκραταιοῦτο (3), ὁ δὲ οἶκος τοῦ Ἀβεννὴρ ἠλαττοῦτο (4) καὶ ἠσθένει, καθάπερ

(1) Psalm. LXVII, 5: τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν. Joannes Chrys. Hom. De mansuet. pag. 5: ὁ πρᾶος ὀρφανῶν πατὴρ, χηρῶν προστάτης, πενίας κηδεμών.

(2) De loquutione εἶναι ἐν στόματι, et parilibus, egi ad Aristæn. I, 1, pag. 247. Evenus Epigr. 14: Πάντων δ' Ἑλλήνων κείσομαι ἐν στόματι· ibi cod. 2720, ἐν στόμασιν, quod fere malim. Theognis 240: πολλῶν κείμενος ἐν στόμασιν. Nolit tamen quisquam pressius argutari de uno quod esset Græcis omnibus ore.

(3) Luc. 1, 80: τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο.

(4) C, ἠλαττοῦτο. Syllaba, qua A augetur, non valde vim loci auget. Plus e restituta syllaba lucrabitur Basilius Mac. Præc. c. 58, sic editus: καὶ τίμα μὲν καὶ ἀποδέχου μὴ τοὺς εὐγενεῖς τῷ

δὴ περὶ τοῦ Δαυὶδ καὶ τοῦ Σαοὺλ ἡ τῶν Βασιλειῶν διαγορεύει βίβλος (1).

Ταῦτα ὁρῶν ὁ βασιλεὺς Ἀβεννὴρ, ὀψὲ καὶ μόλις εἰς συναίσθησιν ἐλθὼν, τῶν ἑαυτοῦ κατεγίνωσκε ψευδωνύμων θεῶν τῆς ἀσθενείας καὶ κενῆς ἀπάτης. Καὶ, ἐκκλησιάσας αὖθις τοὺς πρώτους τῆς βουλῆς, τὰ μελετώμενα αὐτῷ εἰς φῶς ἐξῆγε. Πάντων δὲ τὰ αὐτὰ βεβαιούντων (« ἐπεσκέψατο γὰρ αὐτοὺς ἀνατολὴ ἐξ » ὕψους (2) », ὁ Σωτὴρ τῆς δεήσεως ἀκούσας τοῦ θεράποντος αὐτοῦ Ἰωάσαφ), ἔδοξε τῷ βασιλεῖ δῆλα ταῦτα τῷ υἱῷ ποιῆσαι. Γράφει οὖν τῇ ἑξῆς ἐπιστολὴν τῷ Ἰωάσαφ, περιέχουσαν οὕτως·

« Βασιλεὺς Ἀβεννὴρ τῷ ποθεινοτάτῳ υἱῷ Ἰωάσαφ, χαίρειν. »

« Λογισμοὶ πολλοὶ, εἰς τὴν ἐμὴν ὑπεισερχόμενοι ψυχὴν, δεινῶς, φίλτατε, τυραννοῦσιν (3), υἱέ. Τὰ γὰρ ἡμέτερα πάντα ἐκλείποντα ὁρῶν, ὃν τρόπον καπνὸς ἐκλείπει (4), τὰ τῆς σῆς δὲ θρησκείας λάμποντα ὑπὲρ ἥλιον, εἰς αἴσθησιν δὲ ἐλθὼν, ἀληθῆ τὰ παρὰ σοῦ μοι ἀεὶ λεγόμενα ἔγνωκα εἶναι, καὶ ὅτι σκότος ἡμᾶς βαθὺ τῶν ἁμαρτιῶν καὶ τῆς ἀσεβείας ἐκάλυπτεν, ὡς ἐντεῦθεν οὐδὲ πρὸς τὴν ἀλήθειαν διαβλέψαι καὶ τὸν ἁπάντων δημιουργὸν καταμαθεῖν ἠδυνάμεθα· ἀλλὰ καὶ φῶς οὕτω τηλαυγέστερον διὰ σοῦ ἀναδειχθὲν ἡμῖν, τοὺς ὀφθαλμοὺς μύσαντες, ἡμεῖς ὁρᾷν οὐκ ἠθελήσαμεν, πολλὰ μέν σοι κακὰ ἐνδειξάμενοι, ἐλεεινῶς

σώμασι, ἀλλὰ τὺς κεχαρισμένυς τῷ πνεύματι. Melius cod. 2991 A, κεχαριτωμένυς. Habet et μὲν οὖν, opportune.

(1) II Reg. III, 1.

(2) Lue. I, 78.

(3) C, ταράττουσιν, et modo sine εἰς.

(4) Loquutio biblica. Confer pag. 295, n. 4.

δὲ φεῦ! καὶ τῶν χριστιανῶν οὐκ ὀλίγους ἀνελόντες, οἵτινες, τῇ συνεργούσῃ αὐτοῖς ἀμάχῳ δυνάμει κραταιούμενοι, διὰ τέλους πρὸς τὴν ἡμετέραν ὠμότητα ὑπερέσχον. Νυνὶ δὲ, τὴν παχεῖαν ἐκείνην ἀχλὺν τῶν ἡμετέρων ὀμμάτων περιελόντες, αὐγήν τινα μικρὰν τῆς ἀληθείας ὁρῶμεν, καὶ τῶν προτέρων μεταμέλεια εἰσέρχεταί κακῶν. Ἀλλὰ καὶ ταύτην τὴν αὐγὴν νέφος ἄλλο δεινῆς ἀπογνώσεως ἐπιπολάζον σκοτίζειν πειρᾶται, τὸ πλῆθος προβαλλόμενον τῶν ἐμῶν κακῶν, καὶ ὅτι βδελυκτὸς ἤδη ἐγὼ τῷ Χριστῷ καὶ ἀπρόσδεκτός εἰμι, ὡς ἀποστάτης καὶ πολέμιος αὐτοῦ γεγονώς. Τί οὖν πρὸς ταῦτα, τέκνον γλυκύτατον, λέγεις αὐτὸς, δῆλά μοι τάχιστα ποίησον, καὶ τί δεῖ ποιεῖν με τὸν σὸν πατέρα δίδαξον, καὶ πρὸς ἐπίγνωσιν χειραγώγησον τοῦ συμφέροντος. »

Ταύτην τὴν ἐπιστολὴν ὁ Ἰωάσαφ δεξάμενος, καὶ τὰ ἐμφερόμενα ἐπελθὼν, ἡδονῆς ὁμοῦ καὶ θαύματος τὴν ψυχὴν ἐπληροῦτο. Εἰς τὸ ἑαυτοῦ δὲ ταμιεῖον εἰσελθὼν εὐθὺς, καὶ ἐπὶ πρόσωπον πεσὼν ἐνώπιον τοῦ δεσποτικοῦ χαρακτῆρος, δάκρυσι τὴν γῆν κατέβρεχεν, εὐχαριστῶν ὁμοῦ τῷ δεσπότῃ καὶ ἐξομολογούμενος, καὶ χείλη ἀγαλλιάσεως κινῶν πρὸς ὑμνῳδίαν, « Ὑψώσω
» σε », λέγων, « ὁ Θεός μου καὶ βασιλεύς μου, καὶ
» εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν
» αἰῶνα τοῦ αἰῶνος· μέγας εἶ, Κύριε, καὶ αἰνετὸς
» σφόδρα, καὶ τῆς μεγαλωσύνης σου οὐκ ἔστι πέρας (1).
» Καὶ τίς λαλήσει τὰς δυναστείας σου, ἀκουστὰς
» ποιήσει πάσας τὰς αἰνέσεις σου (2), τοῦ στρέψαντος
» τὴν πέτραν εἰς λίμνας ὑδάτων καὶ τὴν ἀκρότομον

(1) Psalm. CXLIV, 1, 3. (2) Psalm. CV, 2.

» εἰς πηγὰς ὑδάτων (1) »; Ἰδοὺ γὰρ ἡ ἀκρότομος αὕτη καὶ πέτρας σκληροτέρα καρδία τοῦ ἐμοῦ πατρὸς, σοῦ θελήσαντος, ὡσεὶ κηρὸς ἐμαλάχθη. Δυνατὸν γάρ σοι καὶ « ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ » Ἀβραάμ (2) ». Εὐχαριστῶ σοι, δέσποτα φιλάνθρωπε, Θεὲ τοῦ ἐλέους, ὅτι ἐμακροθύμησας καὶ μακροθυμεῖς τοῖς παραπτώμασιν ἡμῶν, καὶ ἕως τοῦ νῦν ἀτιμωρήτους ἡμᾶς εἴασας εἶναι. Ἡμεῖς μὲν γὰρ ἄξιοι ἦμεν πάλαι ἀποῤῥιφῆναι ἀπὸ τοῦ προσώπου σου καὶ παραδειγματισθῆναι ἐν τῷ βίῳ τούτῳ, ὡς οἱ τὴν Πεντάπολιν οἰκοῦντες (3) παράνομοι, πυρὶ καὶ θείῳ κατακαυθέντες· ἡ δὲ ἀνείκαστός σου μακροθυμία ἐφιλανθρωπεύσατο εἰς ἡμᾶς. Εὐχαριστῶ σοι ὁ εὐτελὴς ἐγὼ καὶ ἀνάξιος, εἰ καὶ μὴ ὑπάρχω αὐτάρκης πρὸς δοξολογίαν τῆς σῆς ἀγαθότητος. Καὶ δέομαι τῶν ἀμετρήτων σου οἰκτιρμῶν, κύριε Ἰησοῦ Χριστὲ, υἱὲ καὶ Λόγε τοῦ ἀοράτου Πατρὸς, ὁ πάντα λόγῳ παραγαγὼν καὶ θελήματι τῷ σῷ συνέχων, ὁ ῥυσάμενος ἡμᾶς τοὺς ἀναξίους δούλους σου τῆς τοῦ ἀρχεκάκου ἐχθροῦ δουλείας, ὁ ταθεὶς ἐπὶ ξύλου καὶ δήσας τὸν ἰσχυρὸν, καὶ τοῖς ὑπ' ἐκείνου δεθεῖσιν αἰώνιον ἐπιβραβεύσας ἐλευθερίαν· αὐτὸς καὶ τὰ νῦν ἔκτεινόν σου τὴν ἀόρατον χεῖρα καὶ παντουργὸν, καὶ εἰς τέλος ἐλευθέρωσον τὸν δοῦλόν σου καὶ πατέρα μου τῆς χαλεπῆς ἐκείνης αἰχμαλωσίας τοῦ Διαβόλου· καὶ ὑπόδειξον αὐτῷ ἐναργέστατα, ὅτι σὺ εἶ ὁ ἀεὶ ζῶν Θεὸς ἀψευδὴς καὶ βασιλεὺς μόνος αἰώνιος καὶ ἀθάνατος. Ἴδε μου, δέσποτα, τὴν συντριβὴν τῆς καρδίας ἰλέῳ καὶ

(1) Psalm. cxiii, 8.
(2) Matth. iii, 9.
(3) Conf. pag. 286, n. 1, 2, de hac Pentapoli.

εὐμενεῖ ὄμματι· καὶ, κατὰ τὴν ἀψευδῆ σου ἐπαγγελίαν, γενοῦ μετ' ἐμοῦ τοῦ γινώσκοντος καὶ ὁμολογοῦντός σε ποιητὴν καὶ προνοητὴν πάσης κτίσεως. Πηγασάτω ἐν ἐμοὶ τὸ σὸν ἀλλόμενον ὕδωρ (1)· καὶ δοθήτω μοι λόγος ἐν ἀνοίξει τοῦ στόματος (2), καὶ νοῦς καλῶς ἡδρασμένος ἐν σοὶ τῷ ἀκρογωνιαίῳ λίθῳ (3), ἵνα δυνήσομαι ὁ ἀχρεῖος οἰκέτης σου καταγγεῖλαι τῷ ἐμῷ γεννήτορι, ὡς δεῖ, τὸ μυστήριον τῆς σῆς οἰκονομίας, καὶ ἀποστῆσαι αὐτὸν τῇ σῇ δυνάμει τῆς ματαίας πλάνης τῶν πονηρῶν δαιμόνων, καὶ προσαγαγεῖν σοι τῷ Θεῷ καὶ δεσπότῃ, τῷ μὴ βουλομένῳ τὸν θάνατον ἡμῶν τῶν ἁμαρτωλῶν, ἀλλ' ἀναμένοντι τὴν ἐπιστροφὴν καὶ τὴν μετάνοιαν, ὅτι δεδοξασμένος εἶ εἰς τοὺς αἰῶνας. Ἀμήν. »

Οὕτως εὐξάμενος καὶ πληροφορίαν λαβὼν μὴ διαμαρτεῖν τοῦ ποθουμένου, τῇ εὐσπλαγχνίᾳ τοῦ Χριστοῦ θαῤῥήσας, ἐξάρας ἐκεῖθεν μετὰ τῆς βασιλικῆς δορυφορίας, τὰ βασίλεια καταλαμβάνει τοῦ ἰδίου πατρός. Ὡς δὲ τῷ πατρὶ ἀπηγγέλη ἡ ἄφιξις τοῦ υἱοῦ, ἐξέρχεται εὐθὺς εἰς συνάντησιν αὐτῷ, περιπλέκεται, καταφιλεῖ, μεγίστην ποιεῖται χαρὰν καὶ δημοτελῆ ἑορτὴν ἐπὶ τῇ παρουσίᾳ τοῦ υἱοῦ αὐτοῦ.

Τί δὲ τὸ μετὰ ταῦτα; Συγκαθέζονται καταμόνας ἀλλήλοις. Καὶ τί ἂν τις εἴποι ἅπερ διείλεκται τότε τῷ βασιλεῖ ὁ υἱὸς καὶ μεθ' ὅσης τῆς φιλοσοφίας; τί δὲ ἄλλο γε ἢ τὰ τῷ θείῳ Πνεύματι αὐτῷ ὑπηχού-

(1) Joann. IV, 14: τὸ ὕδωρ, ὃ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον.

(2) Epist. ad Ephes. VI, 19: ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου ἐν παῤῥησίᾳ.

(3) Conf. t. II, p. 113, n. 4.

μενα, δι' ὧ οἱ ἁλιεῖς σαγηνεύουσι τῷ Χριστῷ τὸν κόσμον ὅλον (1), καὶ οἱ ἀγράμματοι τῶν σοφῶν σοφώτεροι δείκνυνται. Τῇ τούτου χάριτι καὶ αὐτὸς σοφισθεὶς ἐλάλει τῷ βασιλεῖ καὶ πατρὶ, φωτίζων αὐτὸν φῶς γνώσεως. Καὶ πρότερον γὰρ, πολλὰ κοπιάσας τοῦ ἑλκύσαι τῆς δεισιδαίμονος πλάνης τὸν πατέρα, τί μὲν οὐ λέγων, τί δὲ οὐ ποιῶν, ὥστε τοῦτον ἐπαναγαγέσθαι, κενὴν ψάλλειν (2) ἐῴκει, καὶ εἰς ὦτα λέγειν μὴ ἀκουόντων (3)· ὅτε δὲ ἐπέβλεψεν ὁ Κύριος ἐπὶ τὴν ταπείνωσιν τοῦ δούλου αὐτοῦ Ἰωάσαφ, καὶ, τῆς δεήσεως αὐτοῦ ὑπακούσας, τὰς κεκλεισμένας πύλας τῆς καρδίας τοῦ πατρὸς αὐτοῦ διήνοιξε (« Θέλημα » γὰρ, φησί (4), « τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς » δεήσεως αὐτῶν εἰσακούσεται »), ῥᾳδίως τὰ λεγόμενα συνίει ὁ βασιλεύς· ὥστε, καιροῦ εὐθέτου τυχόντα, τὸν υἱὸν τῇ τοῦ Χριστοῦ χάριτι κατὰ τῶν πονηρῶν ἆραι νίκην Πνευμάτων τῶν κυριευσάντων τῆς ψυχῆς τοῦ πατρὸς αὐτοῦ, καὶ τῆς τούτων πλάνης τέλεον ἐλευθερῶσαι αὐτὸν, τὸν σωτήριον δὲ τρανῶς γνωρίσαι λόγον καὶ τῷ ἐν οὐρανοῖς οἰκειῶσαι ζῶντι Θεῷ.

Ἐξ ἀρχῆς γὰρ τὸν λόγον ἀναλαβὼν, ἀπήγγειλεν αὐτῷ ἃ οὐκ ᾔδει μεγάλα καὶ θαυμαστὰ, ἃ τοῖς ὠσὶ τῆς καρδίας οὐκ ἀκηκόει, πολλὰ μὲν αὐτῷ περὶ Θεοῦ

(1) Conf. p. 296, n. 1. A, sine τόν. C, sine τῷ Χριστῷ.

(2) Georgius Trapez.: « inaniter canticum psallebat. » Nec aliter Billyus. Χορδὴν subaudiendum puto; estque sensus: « mutam et insonam tangere chordam videbatur. » Gregorius Cypr. supra t. 1, pag. 315, 25, dixit κενὴν τρέχων, videlicet ὁδόν: « iter vanum et inutile curriculo facere. »

(3) Proverbii vulgatior est formula, κωφῷ ὁμιλεῖν: conf. t. 1, pag. 167, n. 3; 398, 2.

(4) Psalm. CXLIV, 19.

φθεγξάμενος καὶ τὴν εὐσέβειαν παραδεικνὺς, ὡς οὐκ ἔστιν ἄλλος Θεὸς ἐν οὐρανῷ ἄνω, οὔτε ἐπὶ γῆς κάτω, εἰ μὴ ὁ ἐν Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι γνωριζόμενος εἷς Θεός· πολλὰ δὲ μυστήρια γνωρίσας τῆς θεολογίας, ἐφ᾽ οἷς καὶ τὰ περὶ τῆς ἀοράτου τε καὶ ὁρατῆς διήγειλε κτίσεως, ὅπως ἐκ μὴ ὄντων τὰ πάντα παραγαγὼν ὁ δημιουργὸς, κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ (1) πλάσας τὸν ἄνθρωπον καὶ τοῦτον τῷ αὐτεξουσίῳ τιμήσας (2), τῶν ἐν παραδείσῳ καλῶν μετέχειν πεποίηκεν, ἀπέχεσθαι τούτου μόνου κελεύσας ὅπερ ἦν τὸ ξύλον τῆς γνώσεως (3), ἠθετηκότα δὲ τὴν ἐντολὴν τοῦ παραδείσου ἐξώρισεν (4)· ὅθεν, τῆς πρὸς αὐτὸν οἰκειότητος ὀλισθῆσαν, εἰς τὰς πολλὰς ταύτας περιπέπτωκε πλάνας τὸ ἀνθρώπινον γένος, δουλωθὲν ταῖς ἁμαρτίαις καὶ ὑποπεσὸν τῷ θανάτῳ διὰ τῆς τυραννίδος τοῦ Διαβόλου· ὃς, ὑποχειρίους ἅπαξ τοὺς ἀνθρώπους λαβὼν, παντελῶς ἐπιλαθέσθαι πεποίηκε τοῦ Θεοῦ καὶ δεσπότου, καὶ αὐτῷ ἀνέπεισε λατρεύειν διὰ τῆς τῶν εἰδώλων μυσαρᾶς προσκυνήσεως. Σπλαγχνισθεὶς οὖν ὁ πλάσας ἡμᾶς Θεὸς, εὐδοκίᾳ τοῦ Πατρὸς καὶ συνεργίᾳ τοῦ Ἁγίου Πνεύματος (5), εὐδόκησεν ἐκ παρθένου ἁγίας, τῆς θεοτόκου Μαρίας, καθ᾽ ἡμᾶς τεχθῆναι· καὶ, πάθεσιν ὁμιλήσας ὁ ἀπαθὴς, διὰ τρίτης τε ἡμέρας ἐκ νεκρῶν ἀναστὰς, ἐλυτρώσατο ἡμᾶς τοῦ προτέρου ἐπιτιμίου (6) καὶ κλέους τοῦ προτέρου ἠξίωσε. Συνανήγαγε γὰρ ἡμᾶς εἰς οὐρανοὺς ἀνερχόμενος, ὅθεν ἐτύγχανε καταβεβηκώς· ὃν καὶ αὖθις ἥξειν

(1) Conf. pag. 45, n. 3.
(2) Conf. pag. 46, 1.
(3) Conf. pag. 46, n. 3.
(4) Conf. pag. 47, n. 3.
(5) Conf. pagg. 51, 52, 1.
(6) Conf. pag. 54, 19.

πιστεύομεν, ἵνα τὸ πλάσμα τὸ ἑαυτοῦ ἀναστήσῃ. Ἀποδώσει δὲ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ (1). Ἐπὶ τούτοις τὴν ἐκδεχομένην τοὺς ἀξίους τῶν οὐρανῶν ἐμυσταγώγει βασιλείαν (2) καὶ, τὰ ἀπόρρητα ἀγαθά. Τὴν ἀποκειμένην τοῖς φαύλοις προσετίθει βάσανον, τὸ ἄσβεστον πῦρ, τὸ ἐξώτερον σκότος, τὸν ἀτελεύτητον σκώληκα (3), καὶ ὅσην ἄλλην οἱ τῆς ἁμαρτίας δοῦλοι κόλασιν ἑαυτοῖς ἐθησαύρισαν.

Ταῦτα πάντα λόγοις πλείστοις, καὶ διαψιλῶς αὐτῷ ἐνυπάρχουσαν τὴν τοῦ Πνεύματος μαρτυροῦσι χάριν, διεξελθὼν (4), εἶτα καὶ τὸ ἀνεξιχνίαστον πέλαγος τῆς τοῦ Θεοῦ διηγούμενος φιλανθρωπίας, καὶ οἷος ἐστὶν ἕτοιμος δέχεσθαι τὴν μετάνοιαν τῶν πρὸς αὐτὸν ἐπιστρεφόντων, καὶ ὡς οὐκ ἔστιν ἁμαρτία νικῶσα τὴν αὐτοῦ εὐσπλαγχνίαν, εἴπερ θελήσομεν μετανοῆσαι (5), ἐκ πολλῶν δὲ τοῦτο παραδειγμάτων καὶ γραφικῶν παραστήσας μαρτυριῶν, ὁ μὲν τέλος ἐπέθηκε τῷ λόγῳ. Κατανυγεὶς δὲ ὁ βασιλεὺς Ἀβεννὴρ ἐπὶ τῇ θεοδιδάκτῳ σοφίᾳ ταύτῃ, φωνῇ μεγάλῃ καὶ θερμοτάτῃ ψυχῇ τὸν σωτῆρα Χριστὸν ὡμολόγει, πάσης ἀποστὰς δεισιδαίμονος πλάνης (6).

(1) Conf. pag. 55, n. 4.
(2) Conf. pag. 60, n. 4.
(3) Conf. pag. 66, n. 2, 3.
(4) Conf. pp. 94, 9; 95, 1.
(5) C, διεξελθεῖν.
(6) Glossa in A: στίχος ἔμμετρος. Quod est vere animadversum. Similem habuimus animadversionem pag. 237. Fecit monachus imprudens versiculum; facere qui voluit, non fecit Theodor. Prodromus, vel Philes, in editione saltem Thorlaciana (Proluss. t. III, pag. 65): Ἀτλάντιον πέλαγος, πελαγοῦς Αἰγαίου βάθος. Fugiebant isti versificatores pedes trisyllabos. Bene codex 2831: Ἀτλαντικὸν πέλαγος, Αἰγαῖον βάθος. Nec agnoscitur poetæ manus, p. seq. v. 35: Ὦ γραῦς καὶ πάλιν γραῦς καὶ πάλιν. Mensuram implebit lectio codicis: Ὦ γραῦς, καὶ πάλιν γραῦς, καὶ πάλιν γραῦς, πάλιν.

Τὸ σημεῖόν τε προσκυνεῖ τοῦ ζωοποιοῦ σταυροῦ ὑπὸ τῇ πάντων ὄψει (1) καὶ εἰς ἐπήκοον ἁπάντων Θεὸν κηρύττει ἀληθινὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· τήν τε προτέραν ἀσέβειαν διεξελθὼν, τὴν οἰκείαν τε κατὰ τῶν χριστιανῶν ὠμότητα καὶ μιαιφονίαν ἐλέγξας, μέγα μέρος πρὸς τὴν εὐσέβειαν γίνεται· ὡς ἐντεῦθεν ἔργῳ τὸ εἰρημένον τῷ Παύλῳ γνωσθῆναι, καὶ ὅπου ὁ τῆς ἀσεβείας ὑπῆρχε πλεονασμὸς, ἐκεῖ καὶ τὴν περίσσειαν γενέσθαι τῆς χάριτος (2).

Πολλὰ τοίνυν καὶ τοῦ σωφοτάτου Ἰωάσαφ τοῖς συνελθοῦσι τότε στρατηγοῖς τε καὶ σατράπαις καὶ παντὶ τῷ λαῷ περὶ Θεοῦ καὶ τῆς εἰς αὐτὸν εὐσεβείας διαλεγομένου, καὶ οἱονεὶ πυρίνῃ γλώσσῃ (3) καλόν τι καὶ ᾠδικὸν τερετίζοντος, ἡ τοῦ Ἁγίου Πνεύματος χάρις ἐπιφοιτήσασα πάντας εἰς δοξολογίαν ἐκίνει Θεοῦ, ὡς ἐκ μιᾶς φωνῆς πάντων βοησάντων τῶν ὄχλων· «Μέ-
» γας ὁ Θεὸς τῶν χριστιανῶν· οὐκ ἔστιν ἄλλος θεὸς,
» πλὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ σὺν Πατρὶ
» καὶ Ἁγίῳ Πνεύματι δοξαζομένου. »

Ζήλου δὲ θείου κατάπλεως γενόμενος, ὁ βασιλεὺς Ἀβεννὴρ ἐφάλλεται στερρῶς τοῖς εἰδώλοις ἃ ἦσαν ἐν τῷ παλατίῳ αὐτοῦ ἐκ χρυσοῦ καὶ ἀργύρου πεποιημένα, καὶ εἰς ἔδαφος ταῦτα κατασπᾷ. Εἶτα, εἰς λεπτὰ (4) διελὼν, πένησι διανέμει, ὠφέλιμα οὕτω

(1) Dicunt et ἐπ' ὄψει. Theodorus Prodr. Galeom. 305 : Καὶ ταῦτ' ὄψει τοῦ φίλου φυτοσπόρου. Omisit Ilgen. ἐπ' ante ὄψει.

(2) Epist. ad Rom. v, 20 : οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις.

(3) Respectu ad Act. Apost. II, 3 : ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός. Conf. supra p. 55, 11.

(4) In versu Theocriti, III, 21, Τὸν στέφανον τιλαί με κατ' αὐτίκα λεπτὰ ποησεῖς, ubi λεπτὰ est pro εἰς λεπτὰ vel λεπτῶς, non statim intelligo cur Valckenarius jungi

τὰ ἀνωφελῆ θέμενος. Ἀμέλει καὶ μετὰ τοῦ υἱοῦ τοὺς εἰδώλων ναοὺς καὶ βωμοὺς περιστάντες μέχρις αὐτῶν κατηδάφουν τῶν θεμελίων· ἱερὰ δὲ τῷ Θεῷ τεμένη ἀντῳκοδόμουν. Οὐ μόνον δὲ ἐν τῇ πόλει, ἀλλὰ καὶ ἀνὰ πᾶσαν τὴν χώραν σπουδῇ ταῦτα ἐποίουν. Τὰ δὲ πονηρὰ Πνεύματα τὰ τοῖς βωμοῖς ἐνοικοῦντα ὀλολύζοντα ἠλαύνοντο, καὶ τὴν ἄμαχον τοῦ Θεοῦ ἡμῶν δύναμιν ὑποτρέμοντα ἐβόων. Πᾶσα δὲ ἡ περίχωρος καὶ τὰ τῶν προσοίκων ἐθνῶν πλεῖστα πρὸς τὴν εὐσεβῆ πίστιν ἐχειραγωγοῦντο (1).

Τότε δὴ τοῦ ἀνωτέρω (2) ῥηθέντος (3) θειοτάτου ἐπισκόπου παραγενομένου, κατηχεῖται ὁ βασιλεὺς Ἀβεννήρ, καὶ τῷ θείῳ τελειοῦται βαπτίσματι εἰς τὸ ὄνομα τοῦ Πα-

omnino velit καπὰ cum τῖλαι, quod, ait, καταυτίκα vox sit non Græca. Equidem si mihi contradicere tam docto homini liceat, scripserim secure καταυτίκα, quod simili παραυτίκα satis vindicetur. Sic dixerunt καπευθὺ, παρευθὺ, et si quæ alia. Tmesim τῖλαι καπὰ juvare quidem videtur Idyll. II, 54: Ὡγὼν νῦν τίλλοισα κατ' ἀγρίῳ ἐν πυρὶ βάλλω. Sed hic locus est ipse non valde nitidus, ac putaverim fieri tmesim verbi καταβάλλω, vel καπμβάλλω.

(1) Conf. similia p. 308.

(2) Conf. pag. 307, 13.

(3) Nihil hic notabile est. Quid enim notius hoc usu participii ῥηθείς? Dicunt et eodem modo δηλωθέντα τινα, de eo cujus facta fuit superius mentio. Estque id notissimum. Unde valde miratus sum quæ modo legebam Gedikii verba in Stoschii Museo t. II, pag. 233, ad Herodian. Hist. VI, I, 1: « Statim in principio ὁ δηλωθεὶς » Ἀντωνῖνος quid significet nescio. » Et rejicit Scheidii interpretationem, quamvis unice bonam, « commentario expositus, » descriptus », quod hanc vocem non meminerit unquam ita usurpatam invenire; tum ad conjecturas delabitur absurdas. Si forte qui sint quibus, ut Gedikio, δηλωθεὶς ea significatione nunquam occurrerit, eorum gratia aliquot promam exempla. Eusebius V. Const. II, 1, ὁ δηλωθείς, bene vertente interprete, « supra» dictus Licinius ». Pariter II, 15. Neophytus in Mon. Coteler. t. II, pag. 457: οἱ δηλωθέντες, « supra» dicti ». In Saracenicis Sylb. p. 2: ὁ δηλωθεὶς ἄγγελος. Invenitur et eadem significatione ὁ δηλούμενος ap. Euseb. V. Const. I, 14, 58; Iambl. V. Pyth. 12.

τρὸς, τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Καὶ Ἰωάσαφ τοῦτον ἐκ τῆς θείας κολυμβήθρας ἀναδέχεται, τοῦτο δὴ τὸ καινότατον γεννήτωρ τοῦ πατρὸς ἀναδειχθεὶς (1), καὶ τῷ σαρκικῶς γεννήσαντι τῆς πνευματικῆς ἀναγεννήσεως πρόξενος γενόμενος (2)· υἱὸς γὰρ ἦν τοῦ οὐρανίου πατρὸς (3), καὶ καρπὸς ὄντως τῆς θείας ῥίζης θειότατος, ῥίζης ἐκείνης τῆς βοώσης (4)· «Ἐγώ εἰμι » ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα.»

Οὕτως ἀναγεννηθεὶς ὁ βασιλεὺς Ἀβεννὴρ δι' ὕδατος καὶ πνεύματος ἔχαιρε χαρᾷ ἀνεκλαλήτῳ (5)· σὺν αὐτῷ δὲ καὶ πᾶσα ἡ πόλις καὶ ἡ περίχωρος τοῦ θείου ἠξιοῦτο βαπτίσματος, καὶ φωτὸς υἱοὶ (6) ἀνεδείκνυντο οἱ πρὶν ἐσκοτισμένοι. Πᾶσα δὲ νόσος καὶ πᾶσα δαιμονικὴ ἐπιφορὰ πόῤῥω τῶν πιστευόντων ἠλαύνετο· ἄρτιοι δὲ καὶ ὑγιεῖς πάντες τὰς ψυχὰς καὶ τὰ σώματα ἦσαν (7). Καὶ πολλὰ ἕτερα θαυμάσια εἰς βεβαίωσιν τῆς πίστεως ἐτελοῦντο. Ἐκκλησίαι τε ἀνῳκοδομοῦντο, καὶ ἐπίσκοποι, οἵ τε κεκρυμμένοι διὰ τὸν φόβον ἐφανεροῦντο καὶ τὰς ἰδίας ἀπελάμβανον ἐκκλησίας, καὶ

(1) Quod Barlaam prædixerat: conf. pag. 134, n. 2.

(2) Sic rependebat mystica illa generatione acceptæ vitæ physicæ beneficium filius patri, quod non posse rependi, idque vere, re alio modo considerata, aiebat Joannes Chrys. Hom. de educat. pag. 30: καὶ σὺ δὲ, ὦ παῖ, ὡς οἰκέτης δούλευσον τοῖς γεννήσασί σε. Τί γὰρ ἀνταποδώσεις αὐτοῖς, οἷα αὐτοί σοι; ἀντιγεννῆσαι γὰρ αὐτοὺς οὐκ ἔνι. Quam sententiam mutuatus est Georgius Lapitha ineditus v. 739: Πῶς τι δυνήσῃ χάριτας πατρὶ τίνειν ἀξίας; Εἰ γὰρ καὶ χρήμασιν αὐτὸν ἀμείψῃ φιλοτίμως, Καὶ νουθετήσεις ἔνθα δεῖ, καὶ τέχνας ἐκδιδάξεις, Ἀλλ' οὐκ ἀντιγεννῆσαι γε δυνήσῃ τοῦτον ὅλως. Et sic etiam alibi Georgius.

(3) Cf. p. 323, 18.

(4) Apud Joann. xv, 5.

(5) Petr. I Epist. I, 8: ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ.

(6) I Epist. ad Thess. v, 5: πάντες γὰρ ὑμεῖς υἱοὶ φωτός ἐστε. Epist. ad Ephes. v, 8: ὡς τέκνα φωτὸς περιπατεῖτε.

(7) Cf. similia p. 307, 25.

ἄλλοι ἔκ τε τῶν ἱερέων καὶ τῶν μοναζόντων προεχειρίζοντο εἰς (1) τὸ ποιμαίνειν τὸ τοῦ Χριστοῦ ποίμνιον.

Ὁ μέντοι βασιλεὺς Ἀβεννὴρ, οὕτω τῆς προτέρας ἐκείνης μοχθηρᾶς ἀγωγῆς ἀποστὰς καὶ μετάμελος ὢν ἐφ' οἷς ἔπραξε, πᾶσαν μὲν τὴν βασίλειον ἀρχὴν τῷ υἱῷ παραδίδωσιν· αὐτὸς δὲ καθ' ἑαυτὸν ἠρεμῶν, κόνιν ἀεὶ τῆς κεφαλῆς καταχέων, βαρεῖς τε ἀναφέρων στεναγμοὺς καὶ λούων τοῖς δάκρυσιν ἑαυτὸν, μόνος μόνῳ τῷ πανταχοῦ παρόντι ὡμίλει, συγγνώμην αὐτῷ τῶν οἰκείων πλαισμάτων ἐξαιτούμενος. Εἰς τοσαύτην δὲ κατανύξεως καὶ ταπεινοφροσύνης ἄβυσσον ἑαυτὸν καθῆκεν, ὡς παραιτεῖσθαι καὶ τὸ τοῦ Θεοῦ ὄνομα τοῖς ἑαυτοῦ ὀνομάζειν χείλεσι, μόλις δὲ τούτου τῇ τοῦ υἱοῦ νουθεσίᾳ καταστολμῆσαι. Οὕτω δὲ τὴν καλὴν ἀλλοίωσιν ἠλλοιώθη καὶ τὴν πρὸς ἀρετὴν ἀπάγουσαν ὥδευσε τρίβον, ὡς ὑπερβῆναι αὐτὸν τῇ εὐσεβείᾳ τῶν προτέρων ἀνομιῶν τὸ ἀγνόημα.

Ἐπὶ τέσσαρας δὲ χρόνους οὕτω βιοὺς ἐν μετανοίᾳ καὶ δάκρυσι καὶ ἀρετῇ πάσῃ, ἀῤῥωστίᾳ περιέπεσεν, ἐν ᾗ καὶ τελευτᾷ. Ὅτε δὲ τὸ τέλος ἤγγισεν, ἤρξατο φοβεῖσθαι καὶ ἀδημονεῖν, μνείαν ποιούμενος τῶν αὐτῷ πεπραγμένων κακῶν. Ὁ δὲ Ἰωάσαφ ῥήμασι παρακλητικοῖς τὸ ἐπιπεσὸν αὐτῷ διεκούφιζεν ἄχθος, «Ἱνατί περίλυπος εἶ », λέγων, « ὦ πάτερ, καὶ ἱνατί συνταράττεις ἑαυτόν; ἔλπισον ἐπὶ τὸν Θεὸν, καὶ ἐξομολόγει αὐτῷ (2), ὅς ἐστιν « ἐλπὶς πάντων τῶν περάτων τῆς » γῆς καὶ τῶν ἐν θαλάσσῃ μακρὰν (3) », ὃς κέκραγε

(1) C, καὶ μοναζόντων εἰς.

(2) Psalm. XLI, 5 : ἱνατί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἱνατί συνταράσσεις με; ἐλπ. ἐ. τ. θ., καὶ ἐξομολογήσομαι αὐτῷ.

(3) Psalm. LXIV, 5.

διὰ τοῦ προφήτου βοῶν· « Λούσασθε (1), καθαροὶ » γένεσθε· ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν » ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου· μάθετε κα- » λὸν ποιεῖν· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοι- » νικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκι- » νον, ὡσεὶ ἔριον λευκανῶ. » Μὴ φοβοῦ τοίνυν, ὦ πά- τερ, μηδὲ δίσταζε· οὐ νικῶσι γὰρ αἱ ἁμαρτίαι τῶν ἐπιστρεφόντων πρὸς Θεὸν τὴν ἄπειρον αὐτοῦ ἀγαθότητα. Αὗται γὰρ ὑπὸ μέτρον εἰσὶ καὶ ἀριθμὸν, ὅσαι ἂν ὦσιν· ἐκείνη δὲ ἀμέτρητός ἐστι καὶ ἀναρίθμητος. Οὐκ ἐνδέχεται τοίνυν τὸ ὑποκείμενον μέτρῳ τοῦ ἀμετρήτου περιγενέσθαι (2). » Τοιούτοις παρακλητικοῖς ῥήμασι κατεπᾴδων αὐτοῦ τὴν ψυχὴν, εὔελπιν ἀπειργάσατο.

Εἶτα ἐκτείνας ὁ πατὴρ τὰς χεῖρας, εὐχαριστῶν αὐτῷ ὑπερηύχετο, καὶ τὴν ἡμέραν εὐλόγει ἐν ᾗ αὐτὸς ἐγεννήθη, « Τέκνον » λέγων, « γλυκύτατον, τέκνον οὐκ ἐμὸν, ἀλλὰ τοῦ οὐρανίου πατρὸς, ποίαν ἀποδώσω σοι χάριν; ποίαις εὐλογήσω σε εὐλογίαις; τίνα δὲ εὐχαριστίαν ἀναπέμψω τῷ Θεῷ περὶ σοῦ; ἀπολωλὼς γὰρ ἤμην, καὶ εὑρέθην διὰ σοῦ· νεκρὸς ἤμην τῇ ἁμαρτίᾳ, καὶ ἀνέζησα (3)· ἐχθρὸς καὶ ἀποστάτης Θεοῦ, καὶ κατηλλάγην. Τί οὖν ἀνταποδώσω (4) σοι ὑπὲρ τούτων ἁπάντων; Θεός ἐστιν ὁ ἀξίας σοι παρέχων τὰς

(1) Isai. I, 16....

(2) C, γενέσθαι, absente præpositione, quæ omnino necessaria est. Theodorus Prodrom. Tetrast. p. 54, pari laborat vitio: Δώδεκα ῥάβδοι ἔσαν προκείμεναι· οἴη ἁπασῶν Ἀνθοφόρος....Syllaba versus est brevior, quam restituit cod. 2831, exhibens προπροκείμεναι.

(3) Luc. XV, 24: οὗτος ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη.

(4) C, ἀποδώσω.

ἀμοιβάς.» Οὕτω λέγων, πυκνὰ κατεφίλει τὸν φίλτατον παῖδα. Εἶτα εὐξάμενος, καὶ, «Εἰς χεῖράς σου, φιλάνθρωπε Θεὲ, παρατίθημι τὸ πνεῦμά μου», εἰπὼν, ἐν μετανοίᾳ τὴν ψυχὴν καὶ εἰρήνῃ παρέθετο τῷ Κυρίῳ (1).

Ὁ δὲ Ἰωάσαφ δάκρυσι τιμήσας τελευτήσαντα τὸν πατέρα, καὶ κηδεύσας αὐτοῦ τὸ λείψανον ἐντίμως, κατέθετο ἐν μνήματι ἀνδρῶν εὐσεβῶν, οὐ μέντοι βασιλικῇ περιβαλὼν ἐσθῆτι, ἀλλὰ μετανοίας κοσμήσας ἀμφίοις. Στὰς δὲ ἐπὶ τῷ μνήματι, χεῖράς τε εἰς οὐρανὸν διάρας, καὶ δάκρυα ποταμηδὸν τῶν ὀμμάτων καταδύσας, ἐβόησε πρὸς τὸν Θεὸν, λέγων· «Ὁ Θεὸς, εὐχαριστῶ σε, βασιλεῦ τῆς δόξης, μόνε κραταιὲ καὶ ἀθάνατε, ὅτι οὐ παρεῖδες τὴν δέησίν μου καὶ τῶν δακρύων μου οὐ παρεσιώπησας (2), ἀλλ' εὐδόκησας τὸν δοῦλόν σου τοῦτον καὶ πατέρα μου τῆς ὁδοῦ ἐπιστρέψαι τῶν ἀνομιῶν καὶ πρὸς ἑαυτὸν ἑλκύσαι τὸν σωτῆρα τῶν ἁπάντων, ἀποστήσας μὲν τῆς ἀπάτης τῶν εἰδώλων, καταξιώσας δὲ γνωρίσαι σε τὸν ἀληθινὸν Θεὸν καὶ φιλάνθρωπον. Καὶ νῦν, ὦ κύριέ μου καὶ Θεὲ, ὁ ἀνεξιχνίαστον ἔχων τὸ τῆς ἀγαθότητος πέλαγος, τάξον αὐτὸν ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναπαύ-

(1) Lemma metricum in A: Ἐνταῦθ' Ἀβεννὴρ ἐξέπνευσεν, ὡς ὁρᾷς. Properans malo accentu in fine usus est glossator, synonymum verbum legitimo substituens, quod sæpe fit. Cogitabat enim de scribendo βλέπεις, et ὁρᾷς scripsit. Eodem fuit corruptus modo Th. Prodromus Tetrast. p. 54, de serpente æneo: Τὸν φρικοσσόμενοι ὀφεώδηκτοι Ἑβραῖοι Φύγγανον ἐκ κακότητος, ζωὸν δ' ὄφιν ὤλλυε νεκρός. Versus secundus, qui non potest scandi, scandetur si ἐκ θανάτου scribatur e cod. 2831. Sensus allegoricus librarii menti obversabatur, manusque sic aberravit.

(2) In hoc usu verbi παρασιωπᾷν color est biblicus.

σεως, ὅπου τὸ φῶς λάμπει τοῦ προσώπου σου· καὶ μὴ μνησθῇς ἀνομιῶν αὐτοῦ ἀρχαίων, ἀλλὰ, κατὰ τὸ πολὺ ἔλεός σου, ἐξάλειψον τὸ χειρόγραφον (1) τῶν αὐτοῦ πλαισμάτων, καὶ τὰ γραμματεῖα διάῤῥηξον τῶν αὐτοῦ ὀφλημάτων, καὶ τοὺς ἁγίους σου κατάλλαξον αὐτῷ οὓς πυρί τε καὶ ξίφει ἀνεῖλεν· ἐπίταξον αὐτοὺς μὴ κατ' αὐτοῦ ὀργίζεσθαι. Πάντα γὰρ δυνατά σοι τῷ πάντων δεσπότῃ, ἀλλ' ἢ μόνον τὸ μὴ ἐλεεῖν τοὺς μὴ ἐπιστρέφοντας πρὸς σέ· τοῦτο ἀδύνατον. Τὸ γὰρ ἔλεός σου ἐκκέχυται ἐπὶ πάντας, καὶ σώζεις τοὺς ἐπικαλουμένους σε, Κύριε Ἰησοῦ Χριστὲ, ὅτι πρέπει σοι δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. »

Τοιαύτας εὐχὰς καὶ δεήσεις προσέφερε τῷ Θεῷ ἐν ὅλαις ἑπτὰ ἡμέραις, μηδόλως τοῦ μνήματος ἀποστὰς, μὴ βρώσεως ἢ πόσεως τοπαράπαν μνησθεὶς (2), μήτε μὴν ἀναπαύσεως ὕπνου μετασχών· ἀλλὰ δάκρυσι μὲν τὸ ἔδαφος ἔβρεχε, στεναγμοῖς δὲ ἀσιγήτοις εὐχόμενος διετέλει. Τῇ ὀγδόῃ δὲ εἰς τὸ παλάτιον ἐπανελθὼν, πάντα τὸν πλοῦτον καὶ τὰ χρήματα τοῖς πένησι διένειμεν, ὡς μηκέτι ὑπολειφθῆναί τινα τῶν χρείαν ἐχόντων.

Ἐν ὀλίγαις δὲ ἡμέραις τὴν τοιαύτην τελέσας διακονίαν καὶ πάντας τοὺς θησαυροὺς κατακενώσας, ὅπως μέλλοντι τὴν στενὴν εἰσιέναι πύλην (3) μηδὲν αὐτῷ ἐμποδίσειεν ὁ τῶν χρημάτων ὄγκος (4), τῇ τεσσαρακοστῇ ἡμέρᾳ τῆς τοῦ πατρὸς τελευτῆς, μνήμην αὐτῷ τελῶν, συγκαλεῖ πάντας τοὺς ἐν τέλει καὶ τοὺς στρατιωτικὰ περιεζωσμένους καὶ τοῦ πολιτικοῦ λαοῦ οὐκ

(1) Cf. p. 88, n. 5.
(2) Cf. p. 104, n. 1; p. 212, 4.
(3) Conf. p. 129, n. 1.
(4) Conf. p. 128, 12.

ὀλίγους. Καὶ προκαθίσας, ὡς ἔθος, φησὶν εἰς ἐπήκοον πάντων·

«Ἰδού, καθὼς ὁρᾶτε, Ἀβεννὴρ πατήρ μου καὶ βασιλεὺς τέθνηκεν ὡς εἷς τῶν πενήτων, καὶ οὐδὲν αὐτῷ οὔτε ὁ πλοῦτος οὔτε ἡ βασιλικὴ δόξα, οὔτε μὴν ἐγὼ ὁ φιλοπάτωρ υἱός, οὔτε τις τῶν λοιπῶν αὐτοῦ φίλων καὶ συγγενῶν, βοηθῆσαι ἴσχυσεν αὐτῷ καὶ τῆς ἀπαραιτήτου ψήφου ἐξελέσθαι. Ἀλλ' ὑπάγει πρὸς τὰ ἐκεῖθεν δικαιωτήρια, λόγον ὑφέξων τῆς πολιτείας τοῦ παρόντος βίου, μηδένα τῶν ἁπάντων συνεργὸν ἐπαγόμενος, ἀλλ' ἢ μόνα τὰ αὐτῷ πεπραγμένα ὁποῖα ἂν ᾖ. Τὸ αὐτὸ δὲ τοῦτο καὶ πᾶσι τοῖς τὴν βρότειον λαχοῦσι φύσιν συμβαίνειν πέφυκε, καὶ ἄλλως οὐκ ἔστι. Νῦν οὖν ἀκούσατέ μου, φίλοι καὶ ἀδελφοί, λαὸς Κυρίου καὶ κλῆρος ἅγιος, οὓς ἐξηγόρασε Χριστὸς ὁ Θεὸς ἡμῶν τῷ τιμίῳ αὐτοῦ αἵματι καὶ ἐῤῥύσατο τῆς παλαιᾶς πλάνης καὶ δουλείας τοῦ ἀντικειμένου. Αὐτοὶ οἴδατε τὴν ἐν ὑμῖν ἀναστροφήν μου, ὡς ἐξότε τὸν Χριστὸν ἔγνων καὶ δοῦλος αὐτοῦ ἠξιώθην γενέσθαι, πάντα μισήσας, αὐτὸν ἐπεπόθησα μόνον, καὶ τοῦτό μοι ἦν καταθύμιον, τῆς ζάλης τοῦ βίου καὶ ματαίας τύρβης ὑπεξελθόντα, μόνον μόνῳ αὐτῷ συνεῖναι καὶ ἐν ἀταράχῳ γαλήνῃ ψυχῆς δουλεῦσαι τῷ Θεῷ μου καὶ δεσπότῃ. Ἀλλά με κατέσχεν ἡ τοῦ πατρός μου ἔνστασις, καὶ ἐντολὴ ἡ τιμᾷν τοὺς γεννήτορας κελεύουσα (1). Ὅθεν, Θεοῦ χάριτι καὶ συνεργίᾳ, οὐκ εἰς μάτην ἐκοπίασα, οὐδ' εἰς κενὸν τὰς τοιαύτας ἀνάλωσα ἡμέρας· ἀλλ' ἐκεῖνόν τε ᾠκείωσα Χριστῷ

(1) Exod. xx, 12: τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται.... Conf. Deuter. v, 16.

καὶ πάντας ὑμᾶς τοῦτον μόνον γινώσκειν Θεὸν ἀληθινὸν καὶ κύριον τοῦ παντὸς ἐδίδαξα, « οὐκ ἐγὼ τοῦτο » ποιήσας, ἀλλ' ἡ χάρις αὐτοῦ ἡ σὺν ἐμοὶ (1) », ἥτις κἀμὲ τῆς δεισιδαίμονος πλάνης καὶ λατρείας τῶν εἰδώλων ἐξείλετο, καὶ ὑμᾶς, λαός μου, τῆς χαλεπῆς ἠλευθέρωσεν αἰχμαλωσίας. Καιρὸς οὖν ἤδη λοιπὸν τὰ ἐπηγγελμένα τῷ Θεῷ ἔργα πληρῶσαι· καιρὸς ἀπελθεῖν ὅπου ἂν αὐτὸς ὁδηγήσῃ με καὶ ἀποδοῦναι τὰς εὐχάς μου ἃς ηὐξάμην αὐτῷ. Νῦν οὖν σκέψασθε ὑμεῖς ὃν ἂν βούλοισθε ἀφηγεῖσθαι ὑμῶν καὶ βασιλεύειν· ἤδη γὰρ κατηρτισμένοι ἐστὲ εἰς τὸ θέλημα τοῦ Κυρίου, καὶ οὐδὲν ἀποκέκρυπται ὑμῖν τῶν αὐτοῦ προσταγμάτων. Ἐν τούτοις πορεύεσθε· μὴ ἐκκλίνητε δεξιὰ ἢ ἀριστερά (2)· καὶ ὁ Θεὸς τῆς εἰρήνης εἴη μετὰ πάντων ὑμῶν (3). »

Ταῦτα ὡς ἤκουσεν ὁ λαὸς ἐκεῖνος καὶ δῆμος, θόρυβος εὐθὺς καὶ τάραχος καὶ βοὴ πλείστη καὶ σύγχυσις ἦν, κλαιόντων πάντων καὶ ὀδυρομένων τὴν ὀρφανίαν. Τοιαῦτα θρηνοῦντες, πρὸς τοῖς θρήνοις καὶ ὅρκοις ἐβεβαίουν μὴ μεθήσειν ὅλως, ἀλλ' ἀνθέξεσθαι, καὶ τὴν ὑποχώρησιν αὐτῷ μὴ τοπαράπαν παραχωρῆσαι. Οὕτω βοῶντος τοῦ δήμου καὶ τῶν ἐν τέλει πάντων, ὑπολαβὼν ὁ βασιλεὺς κατασείει τὸν ὄχλον, καὶ σιγᾶν αὐτοῖς διακελεύεται (4). Καὶ εἴκειν τῇ ἐκείνων ἐνστάσει εἰπὼν, λυπουμένους ὅμως καὶ τὰ τῆς οἰμωγῆς σημεῖα ἐπὶ τῶν παρειῶν φέροντας οἴκαδε ἐκπέμπει.

Αὐτὸς δὲ ἕνα τῶν ἀρχόντων, ὃς ἦν πρόκριτος

(1) I Epist. ad Cor. xv, 10.

(2) Loquutio est biblica.

(3) II Epist. ad Cor. XIII, 11: ὁ Θεὸς τῆς ἀγάπης καὶ εἰρήνης ἔσται μεθ' ὑμῶν.

(4) Conf. p. 239, n. 1.

αὐτῷ, ἐπ' εὐσεβείᾳ καὶ σεμνότητι βίου θαυμαζόμενος, Βαραχίας τοὔνομα (ὅνπερ καὶ ἀνωτέρω ἐδήλωσεν ὁ λόγος (1), ἡνίκα Ναχὼρ τὸν Βαρλαὰμ ὑποκρινόμενος τοῖς φιλοσόφοις διελέγετο, καὶ μόνος ὁ Βαραχίας ἡτοιμάσθη συμπαραστῆναι αὐτῷ καὶ συναγωνίσασθαι ζήλῳ θείῳ ἐκκαυθεὶς τὴν καρδίαν)· τοῦτον καταμόνας λαβὼν ὁ βασιλεὺς, προσηνῶς διελέγετο, καὶ θερμότατα ἐδεῖτο παραλαβεῖν τὴν βασιλείαν, καὶ ἐν φόβῳ Θεοῦ τὸν λαὸν αὐτοῦ ποιμᾶναι, ὡς ἂν αὐτὸς τὴν ποθουμένην αὐτῷ πορεύσηται ὁδόν. Ὡς δὲ αὐτὸν ἀπαναινόμενον εἶδε καὶ πάντη ἀπαγορεύοντα, καὶ «Ὦ βασιλεῦ», λέγοντα, «ὡς ἄδικός σου ἡ κρίσις! ὡς οὐ κατ' ἐντολὴν σοῦ ὁ λόγος! εἰ γὰρ ἀγαπῆσαι τὸν πλησίον ὡς ἑαυτὸν ἐδιδάχθης (2), τίνι λόγῳ ὅπερ αὐτὸς ἀποῤῥίψαι βάρος σπουδάζεις, ἐμοὶ ἐπιθεῖναι (3) ἐπείγῃ; εἰ μὲν γὰρ καλὸν τὸ βασιλεύειν, αὐτὸς τὸ καλὸν κάτεχε· εἰ δὲ πρόσκομμα τοῦτο ψυχῆς καὶ σκάνδαλον, τί μοι περιτίθης (4) καὶ ὑποσκελίζειν βούλει;» Ὡς οὖν τοιαῦτα λέγοντα καὶ διαβεβαιούμενον εἶδεν, ἐπαύσατο τῆς ὁμιλίας.

(1) Conf. p. 234, 6.

(2) Matth. XXII, 39; Marc. XII, 31; Epist. ad Rom. XIII, 9: ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Ex Levit. XIX, 18.

(3) A, ἐπιθῆναι, mendo solito. Theod. Prodromus Tetrast. p. 46: Ἂν, συλλαλήσας τῷ θεῷ Μωσῆς μόνον, Τόσην ὑπανθεῖ τῷ προσώπῳ τὴν χάριν, Ὡς μηδ' ὁρᾶσθαι συγκαλύμματος δίχα, Τὸ τοῦ Θεοῦ πρόσωπον οἷον εἰπέ μοι. Bene codex, ὑπανθῇ. Velim quoque ἐπανθῇ. Præpositiones ἐπὶ et ὑπὸ nonnusquam fuerunt permutatæ. Choricius in Procop. § 15: ἐν ἀγορᾷ φαινομένου, πᾶς εὐθὺς ἐπανίσταται. Bene est ὑπανίσταται in codd. regiis. Vide ad Philostrat. Her. p. 563, de verbo ὑπανίστασθαι.

(4) A, περιπθείς. C, περιτίθεις. Correxi, eadem usus permutatione. Basilius Mac. Præc. c. 42: εἰ δὲ καὶ τὸν Θεὸν ἐν πάσῃ σου πράξει ἐπόπτην καὶ ἐξεταστὴν, ὥσπερ ἐστὶν, ἀναλογίσῃ, οὔτε φανερῶς ποτε, οὔτε κρυπτῶς ἁμαρτήσῃς· imo ἁμαρτήσεις, quod tenet codex 2991 A.

Καὶ δὴ ὑπὸ νύκτα βαθεῖαν ἐπιστολὴν μὲν διαχαράττει πρὸς τὸν λαὸν, πολλῆς γέμουσαν φιλοσοφίας καὶ πᾶσαν ὑπαγορεύουσαν τὴν εὐσέβειαν, ὁποίαν τε ὀφείλουσι περὶ Θεοῦ δόξαν ἔχειν, οἷον δὲ βίον αὐτῷ προσφέρειν, οἵους δὲ ὕμνους, οἵας εὐχαριστίας· εἶτα μὴ ἄλλον ἢ τὸν Βαραχίαν δέξασθαι εἰς τὴν βασίλειον κελεύει ἀρχήν. Καὶ, εἰς τὸν ἑαυτοῦ κοιτῶνα τὸν χάρτην ἐν ᾧ ἡ ἐπιστολὴ καταλιπὼν, λαθὼν ἅπαντας ἐξέρχεται τοῦ παλατίου.

Ἀλλ' οὐκ ἠδυνήθη λαθεῖν εἰς τέλος. Ἅμα γὰρ πρωῒ τοῦτο ἀκουσθὲν τάραχον εὐθὺς καὶ ὀδυρμὸν τῷ λαῷ ἐνεποίησε· καὶ πάντες τάχει πολλῷ εἰς ζήτησιν αὐτοῦ (1) ἐξέρχονται, προκαταλαβεῖν αὐτῷ τὴν φυγὴν ἐκ παντὸς τρόπου διανοούμενοι· ὅθεν οὐδὲ εἰς μάτην αὐτοῖς ἐχώρησεν ἡ σπουδή. Ὡς γὰρ πάσας προκατελάμβανον τὰς ὁδοὺς, ὄρη δὲ πάντα περιεκύκλουν καὶ ἀτριβεῖς περιήρχοντο φάραγγας, ἐν χειμάῤῥῳ τινὶ τοῦτον εὑρίσκουσι, χεῖρας εἰς οὐρανὸν ἐκτεταμένας ἔχοντα, καὶ τὴν εὐχὴν τῆς ἕκτης ἐπιτελοῦντα ὥρας (2). Ἰδόντες δὲ αὐτὸν περιεχύθησαν δάκρυσι δυσωποῦντες καὶ τὴν ἀποδημίαν ὀνειδίζοντες. Ὁ δέ « Τί » φησί, « μάτην κοπιᾶτε; μηκέτι γὰρ ἐμὲ βασιλέα ἔχειν ἐλπίζετε. »

(1) A sine αὐτοῦ. Restituam Choricio vocem utilem magis, qua fuit privatus Orat. in Summ. § 15: οὐ τοίνυν μόνον τῆς τῶν πολέμων ἀπαλλαγῆς ἔχουσι χάριν αἱ πόλεις, ἀλλὰ καὶ τῶν ἐν εἰρήνῃ τερπνῶν. Apte præbent ἔχουσί σοι codd. regii; quod et forsan invenerat interpres qui vertit cum pronomine, « gratias tibi habent. »

(2) Orationem sextæ horæ eam esse puto, quæ in Horologio Magno hisce concepta est verbis : ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ, ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος καὶ δοξαζόμενος Χριστὸς ὁ Θεὸς, κ. τ. λ. Adde Vansleb. Histor. Eccles. Alex. pag. 67.

Τῇ πολλῇ δὲ αὐτῶν ὑπενδοὺς ἐνστάσει, ὑποστρέφει αὖθις εἰς τὸ παλάτιον. Καὶ, συναγαγὼν ἅπαντας, τὴν ἑαυτοῦ ἐφανέρωσε βουλήν. Εἶτα καὶ ὅρκοις ἐμπεδοῖ τὸν λόγον, ὡς οὐδεμίαν αὐτοῖς τοῦ λοιποῦ συνέσται ἡμέραν. «Ἐγὼ γάρ», φησί, «τὴν πρὸς ὑμᾶς διακονίαν μου ἐπληροφόρησα καὶ οὐδὲν ἐνέλιπον, «οὐδὲ (1) » ὑπεστειλάμην τῶν συμφερόντων, τοῦ μὴ ἀναγγεῖλαι » ὑμῖν καὶ διδάξαι, διαμαρτυρόμενος πᾶσι τὴν εἰς τὸν » Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστιν », καὶ μετανοίας ὁδοὺς ὑποδεικνύων. «Καὶ νῦν ἰδοὺ ἐγὼ πορεύομαι » τὴν ὁδὸν ἣν ἔκπαλαι ἐπόθουν· καὶ «οὐκ ἔτι ὄψεσθε τὸ » πρόσωπόν μου ὑμεῖς πάντες. Διὸ μαρτύρομαι ὑμῖν » τῇ σήμερον ἡμέρᾳ », κατὰ τὸν θεῖον Ἀπόστολον (2), « ὅτι καθαρὸς ἐγώ εἰμι ἀπὸ τοῦ αἵματος πάντων » ὑμῶν. Οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι » ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ. »

Ταῦτα ἀκούσαντες, καὶ τὸ τῆς γνώμης αὐτοῦ στεῤῥὸν ἐπιστάμενοι ὡς οὐδὲν τῆς προθέσεως κωλύσαι δύναται, ὠδύροντο μὲν τὴν ὀρφανίαν, οὐκ εἶχον δὲ ὅλως αὐτὸν πειθόμενον.

Τότε ὁ βασιλεὺς τὸν Βαραχίαν ἐκεῖνον, ὃν καὶ φθάσας ὁ λόγος ἐδήλωσε, κατασχών, «Τοῦτον» εἶπεν, «ἀδελφοὶ, ὑμῖν προχειρίζομαι βασιλέα.» Τοῦ δὲ ἰσχυρῶς πρὸς τὸ πρᾶγμα ἀπειθοῦντος, ἄκοντα καὶ μὴ βουλόμενον τῇ βασιλικῇ ἀρχῇ ἐγκαθίστησι, καὶ τῇ κεφαλῇ αὐτοῦ τὸ διάδημα περιτίθησι, τὸν βασιλικόν τε δακτύλιον δίδωσιν εἰς τὴν χεῖρα. Καὶ, στὰς κατὰ ἀνατολάς, ηὔξατο εὐχὴν τῷ βασιλεῖ Βαραχίᾳ· ἀπερίτρεπτον αὐτῷ τὴν εἰς Θεὸν φυλαχθῆναι

(1) Act. Apost. xx, 20. (2) Paulus in Actis Apost. xx, 25.

πίστιν καὶ ἀκλινῆ τὴν κατὰ τὰς ἐντολὰς τοῦ Χριστοῦ εὑρεῖν πορείαν. Σὺν τούτῳ δὲ ὑπερηύχετο τοῦ κλήρου καὶ τοῦ ποιμνίου παντὸς, αἰτούμενος ἀντίληψιν αὐτοῖς παρὰ Κυρίου καὶ σωτηρίαν, καὶ πᾶν ὅτιπερ ἂν αὐτοῖς εἰς αἴτησιν ᾖ πρὸς τὸ συμφέρον οἰκονομούμενον. Οὕτως εὐξάμενος ἐπιστραφεὶς λέγει τῷ Βαραχίᾳ·

« Ἰδού σοι, ἀδελφὲ, ἐντέλλομαι καθὼς ποτὲ ὁ Ἀπόστολος (1) διεμαρτύρατο. Πρόσεχε σεαυτῷ καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ σε τὸ Πνεῦμα τὸ Ἅγιον ἔθετο βασιλέα, ποιμαίνειν τὸν λαὸν τοῦ Κυρίου ὃν περιεποιήσατο διὰ τοῦ αἵματος τοῦ ἰδίου. Καὶ καθὼς πρὸ ἐμοῦ ἔγνως τὸν Θεὸν καὶ ἐλάτρευσας αὐτῷ ἐν καθαρῷ συνειδότι, οὕτω καὶ νῦν πλείονα σπουδὴν ἐνδείκνυσο εὐαρεστῆσαι αὐτῷ. Ὡς γὰρ καὶ μεγάλης ἠξιώθης παρὰ τοῦ Θεοῦ ἀρχῆς, τοσούτῳ μείζονος ἀμοιβῆς ὀφειλέτης ὑπάρχεις. Οὐκοῦν ἀπόδος τῷ εὐεργέτῃ τὸ χρέος τῆς εὐχαριστίας, τὰς ἁγίας αὐτοῦ φυλάσσων ἐντολὰς καὶ πάσης ἐκκλίνων ὁδοῦ εἰς ἀπώλειαν φερούσης. Ὥσπερ γὰρ ἐπὶ τῶν πλεόντων, ὅταν μὲν ναύτης σφαλῇ (2), μικρὰν φέρει τοῖς πλέουσι βλάβην, ὅταν δὲ ὁ κυβερνήτης, παντὸς ἐργάζεται τοῦ πλοίου ἀπώλειαν· οὕτω καὶ ἐν βασιλείοις, ἂν μέν τις τῶν ἀρχομένων ἁμάρτῃ (3), οὐ τοσοῦτον τὸ κοινὸν

(1) Paulus in Actis Apostolor. xx, 28.

(2) A, σφάλη. C, σφαλῆ. Est et σφαλῇ apud Agapetum c. 10, quem noster descripsit. Ibi diligens annotator Damkenius nostri locum apposuit e versione Trapezuntii.

(3) A, ἁμάρτοι. Prætuli scripturam codicis C, quam et Agapetus habet. Ubique η et οι confudit iotacismus. Theophilus Alex. Homil. « Cujus rei homo » similis », p. 22 : οὐκ οἴδειν ἕως τοῦ νῦν ὅτι οὕτος ἐστὶ πικρὸς ὁ θάνατος. Codex 1013 tenet οἴδειν et οὕτος. Lege ᾔδειν et οὕτως. — Mox C, παρίδης. Agap., παρίδοι.

ὅσον ἑαυτὸν ἀδικεῖ, ἂν δὲ αὐτὸς ὁ βασιλεὺς, πάσης ἐργάζεται τῆς πολιτείας βλάβην. »

« Ὡς μεγάλας οὖν ὑφέξων εὐθύνας, εἴ τι παρίδοις τῶν δεόντων, μετὰ πολλῆς ἀκριβείας φύλαττε σεαυτὸν ἐν τῷ ἀγαθῷ. Μίσησον πᾶσαν ἡδονὴν πρὸς ἁμαρτίαν ἕλκουσαν· φησὶ γὰρ ὁ Ἀπόστολος (1)· « Εἰρήνην » διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς » οὐδεὶς ὄψεται τὸν Κύριον. »

« Τὸν κύκλον πρόσεχε, ὅστις περιτρέχει τῶν ἀνθρωπίνων πραγμάτων, ἄλλοτε ἄλλως φέρων αὐτὰ καὶ περιφέρων· καὶ ἐν τῇ τούτων ἀγχιστρόφῳ μεταβολῇ ἀμετάβλητον ἔχε τὸν εὐσεβῆ λογισμόν (2). Τὸ γὰρ συμμεταβάλλεσθαι ταῖς τῶν πραγμάτων μεταβολαῖς, διανοίας ἀβεβαίου τεκμήριον. Σὺ δὲ πάγιος ἔσο, ἐν τῷ ἀγαθῷ ὅλως ἐρηρεισμένος (3). »

« Μὴ ἐπαίρου διὰ τῆς προσκαίρου δόξης πρὸς μάταιον φύσημα· ἀλλὰ κεκαθαρμένῳ λογισμῷ τὸ οὐτιδανὸν τῆς ἑαυτοῦ νόει φύσεως, τὸ βραχύ τε καὶ ὠκύμορον τῆς ἐνταῦθα ζωῆς καὶ τὸν συνεζευγμένον τῇ σαρκὶ θάνατον. Καὶ ταῦτα λογιζόμενος εἰς τὸν τῆς ὑπερηφανίας οὐ βληθήσῃ βόθρον (4), ἀλλὰ φοβηθήσῃ τὸν Θεὸν, τὸν ἀληθινὸν καὶ ἐπουράνιον βασιλέα, καὶ ὄντως μακάριος ἔσῃ. « Μακάριοι » γάρ φησι (5), « πάντες οἱ φο» βούμενοι τὸν Κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐ» τοῦ »· καί· « Μακάριος (6) ἀνὴρ ὁ φοβούμενος τὸν » Κύριον· ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. »

« Ποίας δὲ πρὸ πάντων ὀφείλεις τηρεῖν ἐντολάς;

(1) Epist. ad Hebr. xii, 14.
(2) Sequitur Agapet. c. 11.
(3) Conf. Agapet. c. 13.
(4) Conf. Agapet. c. 14.
(5) David. Psalm. cxxvii, 1.
(6) Psalm. cxi, 1.

« Μακάριοι (1) οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται »· καί· « Γίνεσθε (2) οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν ὁ οὐ-» ράνιος οἰκτίρμων ἐστί. » Ταύτην γὰρ τὴν ἐντολὴν πρὸ πάντων ἀπαιτοῦνται οἱ ἐν μεγίστῃ ὄντες ἀρχῇ. Καὶ ἀληθῶς ὁ μεγάλης ἐξουσίας ἐπιλαβόμενος τὸν δοτῆρα τῆς ἐξουσίας ὀφείλει μιμεῖσθαι κατὰ δύναμιν· ἐν τούτῳ δὲ μάλιστα τὸν Θεὸν μιμήσεται, ἐν τῷ μηδὲν ἡγεῖσθαι τοῦ ἐλεεῖν προτιμότερον (3). Ἀλλὰ καὶ τὸ ὑπήκοον οὐδὲν οὕτως εἰς εὔνοιαν ἐφέλκεται, ὡς εὐποιίας χάρις διδομένη τοῖς χρήζουσιν· ἡ γὰρ διὰ φόβον γινομένη θεραπεία, κατεσχηματισμένη ἐστὶ θωπεία, πεπλασμένῳ τιμῆς ὀνόματι φενακίζουσα τοὺς αὐτῇ προσέχοντας· καὶ τὸ ἀκουσίως ὑποτεταγμένον στασιάζει καιροῦ λαβόμενον· τὸ δὲ τοῖς δεσμοῖς τῆς εὐνοίας κρατούμενον βεβαίαν ἔχει πρὸς τὸ κρατοῦν τὴν εὐπείθειαν (4). Διὸ εὐπρόσιτος ἔσο τοῖς δεομένοις, καὶ ἄνοιγε τὰ (5) ὦτα τοῖς πενομένοις, ἵνα εὕρῃς τὴν τοῦ Θεοῦ ἀκοὴν ἀνεῳγμένην· οἷοι γὰρ τοῖς ἡμετέροις γινόμεθα συνδούλοις, τοιοῦτον περὶ ἡμᾶς εὑρήσομεν τὸν δεσπότην, καὶ ὡς ἀκούομεν ἀκουσθησόμεθα, ὡς ὁρῶμεν ὁραθησόμεθα ὑπὸ τοῦ θείου καὶ παντεφόρου βλέμματος. Προεισενέγκωμεν οὖν τοῦ ἐλέου τὸν ἔλεον, ἵνα τῷ ὁμοίῳ τὸ ὅμοιον ἀντιλάβωμεν. »

« Ἀλλὰ καὶ ἑτέραν ἄκουε ἐντολὴν σύζυγον τῆς προτέρας. Ἄφετε καὶ ἀφεθήσεται ὑμῖν· καί, « ἐὰν (6) οὐκ

(1) Conf. p. 89, n. 9.
(2) Luc. VI, 36.
(3) Ex Agapeto c. 37. Conf. et ad sententiam p. 310, n. 3.
(4) Conf. Agapet. c. 35.
(5) Addidi τὰ, sequutus Agap. cap. 8, quem noster sequitur. Vide et loca Damkenio citata.
(6) Matth. VI, 15; Marc. XI, 26. Conf. supra p. 91, n. 5. Basilius, Mac. Præc. c. 50: καθ' ἑκάστην ἑαυτῷ παρεγγύα τὴν ἡμέραν,

» ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν,
» οὐδὲ ὑμῖν ἀφήσει ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τὰ πα-
» ραπτώματα ὑμῶν. » Διὸ μὴ μνησικακήσῃς τοῖς πταίουσιν· ἀλλὰ, συγγνώμην αἰτούμενος ἁμαρτημάτων, συγγίνωσκε καὶ αὐτὸς τοῖς εἰς σὲ πλημμελοῦσιν, ὅτι ἀφέσει ἀντιδίδοται ἄφεσις, καὶ τῇ πρὸς τοὺς ὁμοδούλους ἡμῶν καταλλαγῇ τῆς δεσποτικῆς ὀργῆς γίνεται ἀπαλλαγή (1). Καὶ αὖθις τὸ ἀσυμπαθὲς ἡμῶν πρὸς τοὺς πταίοντας ἀσύγγνωστα ποιεῖ ἡμῖν τὰ ἡμέτερα πταίσματα· καθάπερ ἀκούεις τί ὁ τῶν μυρίων πέπονθεν ὀφειλέτης ταλάντων (2), τῇ πρὸς τὸν σύνδουλον ἀσπλαγχνίᾳ ἑαυτῷ τὴν εἴσπραξιν ἀνανεώσας τοῦ τοσούτου χρέους. Διὸ προσεκτέον ἀκριβῶς, μὴ καὶ ἡμεῖς τὰ ὅμοια πάθοιμεν· ἀλλ' ἀφήσωμεν πᾶσαν ὀφειλὴν, καὶ πᾶσαν μῆνιν ἐκ καρδίας ἐκβάλλωμεν, ἵνα καὶ ἡμῖν ἀφεθῇ τὰ πολλὰ ἡμῶν ὀφλήματα. »

« Ἐπὶ πᾶσι δὲ καὶ πρὸ πάντων τὴν καλὴν φύλαττε παρακαταθήκην, τὸν εὐσεβῆ τῆς πίστεως λόγον, ὃν ἔμαθες καὶ ἐδιδάχθης. Καὶ πᾶν ζιζάνιον αἱρέσεως μὴ ἐκφυέσθω ἐν ὑμῖν· ἀλλὰ καθαρὸν καὶ ἄδολον τὸν θεῖον διατήρησον σπόρον, ἵνα πολύχουν τὸν καρπὸν ὑποδείξῃς τῷ δεσπότῃ, ἡνίκα ἔλθῃ λόγον ἀπαιτῶν ἑκάστῳ τῶν βεβιωμένων καὶ ἀποδιδοὺς καθὰ ἐπράξαμεν, ὅταν οἱ μὲν δίκαιοι λάμψωσιν ὡς ὁ ἥλιος (3), τοὺς ἁμαρτωλοὺς δὲ τὸ σκότος καλύψῃ (4) καὶ αἰσχύνη αἰώνιος.

ὡς ἀφήσεις καὶ αὐτὸς ἀφεθῆναί σοι παρ' ἑαυτοῦ ἔλπιζε. Imo παρ' αὐτοῦ, quod est in codice 2991 A, scilicet τοῦ Θεοῦ.

(1) Conf. Agapet. c. 64.

(2) Conf. Matth. XVIII, 24....

(3) Conf. pag. 296, n. 3.

(4) A, λάμψουσι-καλύψει. Quæ syntaxis cum ὅταν ac similibus non est legitima. Philostratus V. A. 1, 34: ἀνεῖνταί σφισιν αἱ γυναικωνίτιδες, κἂν ξυγκαθεύδειν ταῖς γυ-

« Καὶ τὰ νῦν (1), ἀδελφοὶ, παρατίθεμαι ὑμᾶς τῷ » Θεῷ, καὶ τῷ Λόγῳ τῆς χάριτος αὐτοῦ, τῷ δυνα- » μένῳ ὑμᾶς ἐποικοδομῆσαι καὶ δοῦναι ὑμῖν κληρονο- » μίαν ἐν τοῖς ἡγιασμένοις πᾶσι. »

« Καὶ ταῦτα εἰπὼν, θεὶς τὰ γόνατα αὐτοῦ », καθὼς γέγραπται (2), μετὰ δακρύων αὖθις « προσηύ- » ξατο ». Καὶ ἐπιστραφεὶς κατεφίλησε τὸν Βαραχίαν ὃν βασιλέα προεχειρίσατο, καὶ πάντας τοὺς ἐν τέλει.

Τότε δὴ γίνεται πρᾶγμα δακρύων ὡς ἀληθῶς ἄξιον. Περιστάντες γὰρ αὐτὸν ἅπαντες, ὥσπερ τῷ ἐκείνῳ συνεῖναι ζῶντες καὶ τῇ διαιρέσει μέλλοντες συναφαιρεῖσθαι καὶ τὰς ψυχὰς, τί μὴ πρὸς οἶκτον ἔλεγον; ποίαν θρήνων ὑπερβολὴν ἀπελίμπανον (3); κατεφίλουν αὐτὸν, περιέβαλλον· παραφρονεῖν αὐτοὺς ἐποίει τὸ πάθος. « Οὐαὶ ἡμῖν » ἐβόων, « τῆς χαλεπῆς ταύτης

ναὶξὶ βούλονται. Codex 1696 recte, βούλωνται. Libanius t. IV, p. 438: ὡς ἂν.....σωφρονεῖν ἀναγκάζονται. Codex 3017, ἀναγκάζωνται, quod legi volebat Reiskius. Procopius Pan. Anast. pag. 32: φέρειν εἰδὼς εὐχερῶς ὅπως ἂν ἡ τύχη κρίνεται. Puto scripsisse κρίνηται. Nilus De octo vitiis p. 199, t. III Monum. Cotel., tres esse tradit avaritiæ modos, ὅταν τις ἐπιθυμεῖ κτήσασθαι ἃ μὴ ἔχει...ὅταν τις, ἀποταξάμενος οἷς ἔχει, πάλιν ἐπιθυμεῖ πλούτου...ὅταν τις, ὑποσχόμενος ἀποκτήσασθαι πάντα ὅσα ἔχει, λάθρα παρακατίσχει μέρος. Scribendum ἐπιθυμῇ bis et παρακατίσχῃ. Codex 39, idem codici 1662 quo usus est Cotelerius, exhibet primum ἐπιθυμεῖ, tum ἐπιθυμῇ e correctione, et παρακατίσχῃ. Basilius Mac. Præc. c. 36: ὅπερ ἂν μέλλεις ἐρεῖν, προεπισκόπει τῇ γνώμῃ. Bene codex 2991 A, μέλλῃς. Bene etiam, qui fundus est sententiæ, Isocrates, ὅτι ἂν μέλλῃς ἐρεῖν: conf. supra t. I, p. 64.

(1) Act. Ap. XX, 32.

(2) Act. Ap. XX, 36.

(3) De loquutione vide t. II, p. 182, n. 5. Anonymus Monodia in Constantinum juniorem init.: ἆρα νομίζει τις ὑπερβολήν τινα τὸ δεινὸν ὑπολελοιπέναι; Addam quæ sequuntur, ut emendem: ἐμοὶ μὲν, τῆς ὑμῶν καταστοχαζομένῳ γνώμης ἐκ τῆς ὁρωμένης κατηφείας καὶ σκυθρωπότητος, πάντα μᾶλλον ἢ τὸ νῦν κατειληφὸς ἡμᾶς μέτριον δοκεῖν τι νομίζειν. Pro πάντα, quod respuit syntaxis, propono scribendum πᾶν τι.

δυστυχίας! » Δεσπότην αὐτὸν ἀνεκαλοῦντο, πατέρα, σωτῆρα, εὐεργέτην. « Διὰ σοῦ » φησί (1), « τὸν Θεὸν ἔγνωμεν· τῆς πλάνης λελυτρώμεθα· τῶν κακῶν πάντων ἀνάπαυσιν εὕρομεν. Τί λοιπὸν ἔσται ἡμῖν μετὰ τὸν σὸν χωρισμόν; ποῖα οὐ καταλήψεται κακά; » Τοιαῦτα λέγοντες, τὰ στήθη ἔπαιον, καὶ τὴν κατασχοῦσαν αὐτοὺς ἀνωλοφύροντο συμφοράν.

Ὁ δὲ λόγοις αὐτοὺς παρακλήσεως τῶν πολλῶν κατασιγήσας οἰμωγῶν, καὶ συνεῖναι τῷ πνεύματι ἐπαγγειλάμενος, ὡς τῷ γε σώματι ἀδύνατον ἤδη τοῦτο γενέσθαι, τοιαῦτα εἰπὼν, πάντων ὁρώντων ἐξέρχεται τοῦ παλατίου. Καὶ εὐθὺς πάντες συνείποντο (2)· τὴν ὑποστροφὴν ἀπηγόρευον· τὴν πόλιν, ὡς μηκέτι δυνατὸν ὄμμασιν ὀφθῆναι τοῖς ἑαυτῶν, ἀπεδίδρασκον. Ὡς δὲ τῆς πόλεως ἔξω γεγόνασι, μόλις ποτὲ, τῇ τομῇ τοῦ λόγου παραινοῦντος αὐτοῦ καὶ δριμυτέραν που τὴν ἐπιτίμησιν ἐπιφέροντος, ἀπ' αὐτοῦ διεῤῥάγησαν, καὶ ἄκοντες ἐπανήρχοντο, πυκνῶς αὐτοῖς τῶν ὀφθαλμῶν ἐπιστρεφομένων, καὶ τὴν πορείαν τοῖς ποσὶν ἐγκοπτόντων (3). Τινὲς δὲ τῶν θερμοτέρων καὶ ὀδυρόμενοι

(1) Sic *φησὶ* de pluribus, aut potius de uno ex pluribus, pag. 22, 25; 27, 6; 43, 8.

(2) A, *συνήποντο*. Basilius Mac. Præc. c. 38 : *οὕτω γὰρ φρόνιμός τε δόξεις εἶναι καὶ τὰ ἐξ ἑκατέρου πάθη διαφύγοις*. Codex 2991 A, *διαφύγῃς*, quod malim, ob frequentem usum aoristi secundi subjunctivi pro futuro indicativi, ita ut *δόξεις* et *διαφύγῃς* optime quadrent. Vide not. ad Aristæn. pag. 258; Hasium ad Lyd. De ostentis, p. 316. Addam novam verborum Basilii proximorum lectionem. Sic edita sunt : *καὶ οἱ τὰ σὰ λογοπραγοῦντες οὐδεμίαν ἕξουσι λαβὴν τοῦ μέμφεσθαι τὰ προσπίπτοντα*. Idem codex, *λογοπραγμονοῦντες*, verbo perraro et hic, ut videtur, optimo.

(3) Glossator ad marginem : *στίχος*. Versus est quidem, sed politicus, nec notandus. Etenim si iambici, iique maxime legitimi, scriptoribus prosaicis excidere

μακρόθεν ἠκολούθουν αὐτῷ, ἕως ἡ νὺξ ἐπελθοῦσα διέστησεν αὐτοὺς ἀπ' ἀλλήλων.

Ἐξῆλθεν οὖν τῶν βασιλείων ὁ γενναῖος ἐκεῖνος χαίρων, ὡς ὅταν ἐκ μακρᾶς ἐξορίας εἰς τὴν ἰδίαν τις ἐπανερχόμενος γηθοσύνως πορεύοιτο. Καὶ ἦν ἐνδεδυμένος, ἔξωθεν μὲν τὰ ἐξ ἔθους ἱμάτια, ἔσωθεν δὲ τὸ τρίχινον ῥάκος ἐκεῖνο ὅπερ ὁ Βαρλαὰμ αὐτῷ δεδώκει (1). Τῇ δὲ νυκτὶ ἐκείνῃ εἰς οἰκίσκον (2) πένητός τινος καταντήσας, τὰ περικείμενα αὐτῷ ἄμφια ἐκβαλὼν, τελευταίαν ταύτην εὐποιΐαν τῷ πένητι δίδωσι· καὶ οὕτω ταῖς ἐκείνου τε καὶ πολλῶν ἑτέρων πενήτων εὐχαῖς ἐπίκουρον ἑαυτοῦ τὸν Θεὸν θέμενος, καὶ τὴν αὐτοῦ χάριν καὶ βοήθειαν ὡς ἱμάτιον σωτηρίου (3) καὶ χιτῶνα εὐφροσύνης ἑαυτῷ περιβαλλόμενος, ἐπὶ τὸν ἐρημικὸν ἐξῆλθε βίον, μὴ ἄρτον ἐπιφερόμενος, μὴ ὕδωρ, μηδ' ἄλλο τι τῶν πρὸς τροφὴν ἐπιτηδείων, μὴ ἱμάτιον ἐνδεδυμένος, ἀλλ' ἢ τὸ σκληρὸν ἐκεῖνο ῥάκος μόνον, οὗπερ πρὸ μικροῦ ἐμνήσθημεν. Πόθῳ γάρ τινι ὑπερφυεῖ καὶ ἔρωτι θείῳ τρωθεὶς τὴν ψυχὴν τοῦ ἀθανάτου βασιλέως Χριστοῦ, ὅλως ἦν τοῦ ποθουμένου ἐξεστηκὼς, ὅλως ἠλλοιωμένος Θεῷ, κάτοχος τῇ τούτου ἀγάπῃ· «κραταιὰ» γὰρ, φησὶν (4), «ὡς πῦρ ἀγάπη»· τοιαύτην αὐτὸς ἀπὸ τῆς θείας ἀγάπης ἐδέξατο μέθην, καὶ

imprudentibus possunt, quid mirum facillimos illos sæpius orationem ingredi? Conf. p. 318.

(1) Vide p. 185. — C, ἐδεδώκει. Prætuli formam augmento carentem, ut et pag. 192, 1. Lucianus Asin. 23, ἀπελέλειπτο : codex 1310, ἀπολέλειπτο. Ibid. 51, ἐγεγόνειν : codex, γεγόνειν. Joseph. Maccab. 6 : εἰ γὰρ τὰ πάθη τοῦ λογισμοῦ ἐκεκρατήκει, τούτοις οὖν ἀπεδόμην τὴν τῆς ἐπικρατίας μαρτυρίαν. Codex 3010, κεκρ., et, pro οὖν, optime ἄν.

(2) C, οἶκον.

(3) Cf. Epist. ad Ephes. VI, 17.

(4) Cant. cant. VIII, 6, ubi ὡς θάνατος.

οὕτως ἐξεκαύθη τῷ δίψει, κατὰ τὸν εἰπόντα (1)· «Ὃν
» τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδά-
» των, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ, ὁ Θεός·
» ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν,
» τὸν ζῶντα »· καὶ καθὼς ἡ τετρωμένη τῆς τοιαύτης
ἀγάπης (2) ψυχὴ βοᾷ ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων·
« Ἐκαρδίωσας (3) ἡμᾶς τῷ πόθῳ σου, ἐκαρδίωσας
» ἡμᾶς »· καί, « Δεῖξόν (4) μοι τὴν ὄψιν σου καὶ ἀκού-
» τισόν μοι τὴν φωνήν σου· ἡ γὰρ φωνή σου φωνὴ
» ἡδεῖα καὶ ἡ ὄψις σου ὡραία. »

Ταύτης τῆς ἀνεκλαλήτου ὡραιότητος Χριστοῦ τὸν πόθον ἐν καρδίᾳ δεξάμενος ὁ τῶν Ἀποστόλων χορὸς καὶ τῶν μαρτύρων οἱ δῆμοι πάντων ὑπερεῖδον τῶν ὁρωμένων, πάσης δὲ ζωῆς τῆς προσκαίρου, καὶ τὰ μυρία τῶν βασάνων καὶ θανάτων εἴδη προείλοντο, ἐρασθέντες τοῦ θείου κάλλους καὶ τὸ περὶ ἡμᾶς τοῦ θείου Λόγου λογισάμενοι φίλτρον. Τοῦτο τὸ πῦρ καὶ ὁ καλὸς οὗτος, καὶ εὐγενὴς μὲν τῷ σώματι, εὐγενέστατος δὲ μᾶλλον καὶ βασιλικώτατος τὴν ψυχὴν, ἐν ἑαυτῷ δεξάμενος, πάντων ὁμοῦ τῶν γηΐνων καταφρονεῖ, πατεῖ πάσας τὰς τοῦ σώματος ἡδονὰς, ὑπερορᾷ πλούτου καὶ δόξης καὶ τῆς παρὰ ἀνθρώπων τιμῆς, ἀποτίθεται διάδημα καὶ ἁλουργίδα, τῶν ἀραχνίων ὑφασμάτων εὐτελέστερα ταῦτα λογισάμενος, πρὸς πάντα δὲ τὰ ἐπίπονα καὶ λυπηρὰ τοῦ ἀσκητικοῦ βίου προθύμως ἑαυτὸν ἐκδίδωσιν, « Ἐκολλήθη (5) » βοῶν, ὦ Χριστέ μου, « ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου·

(1) Psalm. XLI, 1...

(2) Cant. cant. II, 5: τετρωμένη ἀγάπης ἐγώ.

(3) Ibid. IV, 9, cum varietate.

(4) Ibid. II, 14.

(5) Psalm. LXII, 8.

» ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. » Καὶ οὕτως ἀμεταστρεπτὶ χωρήσας εἰς τὸ τῆς ἐρήμου βάθος, καὶ ὡς ἄχθος τι καὶ κλοιὸν βαρύτατον ἀποθέμενος τῶν προσκαίρων τὴν σύγχυσιν, εὐφράνθη τῷ πνεύματι, καὶ τῷ ποθουμένῳ ἀτενίσας Χριστῷ, ἐβόα πρὸς αὐτὸν, ὡς παρόντι καὶ τῆς φωνῆς ἐπαΐοντι διαλεγόμενος· « Μὴ τὰ ἀγαθά », φησί, « τοῦ κόσμου τούτου ἴδοι ὁ ὀφθαλμός μου ἔτι, Κύριε· μὴ μετεωρισθείην ἀπὸ τῆς δεῦρο τὸν νῦν ὑπὸ τῆς παρούσης ματαιότητος (1)· ἀλλ' ἔμπλησον τοὺς ὀφθαλμούς μου, Κύριε, δακρύων πνευματικῶν. Καὶ κατεύθυνον τὰ διαβήματά μου (2), καὶ ὑπόδειξόν μοι τὸν σὸν θεράποντα Βαρλαάμ. Ὑπόδειξόν μοι τὸν ἐμοὶ σωτηρίας γενόμενον πρόξενον, ἵνα καὶ τοῦ ἐρημικοῦ βίου τούτου καὶ ἀσκητικοῦ δι' αὐτοῦ τὴν (3) ἀκρίβειαν μάθοιμι καὶ μὴ τῇ ἀπειρίᾳ τῶν πολέμων τοῦ ἐχθροῦ ὑποσκελισθῶ. Δός μοι, Κύριε, τὴν ὁδὸν εὑρεῖν δι' ἧς ἐπιτύχω σου, ὅτι τέτρωται ἡ ψυχή μου τῷ πόθῳ σου, καὶ σὲ διψῶ τὴν πηγὴν τῆς σωτηρίας. »

Ταῦτα ἔστρεφε καθ' ἑαυτὸν ἀεὶ, καὶ τῷ Θεῷ διελέγετο, διὰ προσευχῆς αὐτῷ καὶ θεωρίας ὑψηλοτάτης ἑνούμενος. Καὶ οὕτω συντόνως τὴν ὁδοιπορίαν διήνυε, τὸν χῶρον σπεύδων καταλαβεῖν, ἔνθα Βαρλαὰμ διῆγεν. Ἐτρέφετο δὲ ταῖς φυομέναις βοτάναις κατὰ τὴν ἔρημον· οὐδὲν γὰρ ἄλλο ἐπεφέρετο, καθάπερ ἔφθην εἰπὼν (4), εἰ μὴ μόνον τὸ σῶμα τὸ ἴδιον καὶ τὸ ῥάκος ὃ περιεβέβλητο. Ἀλλὰ τροφὴν μὲν μετρίαν καὶ οὐδαμινὴν ἐκ τῶν βοτανῶν ποριζόμενος, ὕδατος παντελῶς

(1) Psalm. CXVIII, 37 : ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα.

(2) Conf. pag. 182, n. 1.

(3) C, βίου τὴν, mediis omissis.

(4) Pag. 337, 15.

ἠπόρει, ἀνύδρου καὶ ξηρᾶς οὔσης τῆς ἐρήμου ἐκείνης. Ἤδη τοίνυν περὶ τὰς μεσημβρίας, τοῦ ἡλίου σφοδρὸν φλέγοντος, τῆς ὁδοιπορίας ἐχόμενος, σφοδρότερον αὐτὸς ἐφλέγετο ἐν δίψει καύματος ἐν ἀνύδρῳ, καὶ τὴν ἐσχάτην ἐταλαιπωρεῖτο ταλαιπωρίαν· ἀλλ' ἐνίκα ὁ πόθος τὴν φύσιν, καὶ ἡ δίψα, ἣν πρὸς τὸν Θεὸν ἐδίψα, τὴν φλόγα ἐδρόσιζε τῆς τοῦ ὕδατος δίψης.

Ὁ δὲ μισόκαλος καὶ φθονερὸς Διάβολος, μὴ ὑποφέρων ἐν αὐτῷ τὴν τοιαύτην ὁρᾶν πρόθεσιν καὶ οὕτω θερμοτάτην πρὸς τὸν Θεὸν ἀγάπην, πολλοὺς αὐτῷ κατὰ τὴν ἔρημον ἐξήγειρε πειρασμούς, ὑποβάλλων αὐτῷ (1) μνήμην τῆς βασιλικῆς αὐτοῦ δόξης καὶ τῆς παρισταμένης αὐτῷ λαμπροτάτης δορυφορίας, φίλων τε καὶ συγγενῶν καὶ ὁμηλίκων, καὶ ὡς αἱ πάντων ψυχαὶ τῆς αὐτοῦ ἐξήρτηντο ψυχῆς, καὶ τὰς ἄλλας ἀνέσεις τοῦ βίου· εἶτα τὸ τραχὺ τῆς ἀρετῆς προεβάλλετο καὶ τοὺς πολλοὺς αὐτῆς ἱδρῶτας (2), τοῦ σώματός τε τὴν ἀσθένειαν καὶ τὸ ἀσύνηθες αὐτοῦ ἐν τῇ τοιαύτῃ ταλαιπωρίᾳ, καὶ τοῦ χρόνου τὸ μῆκος, τὴν ἐν χερσίν τε ἀνάγκην τῆς δίψης, καὶ τὸ μηδαμόθεν ἐκδέχεσθαι παράκλησιν ἢ τέλος τοῦ τοσούτου κόπου· « καὶ ὅλως » πολὺν αὐτῷ ἤγειρε κονιορτὸν τῶν λογισμῶν ἐν τῇ » διανοίᾳ (3) », καθά που καὶ περὶ τοῦ μεγάλου γέ-

(1) A sine αὐτῷ. Restituam obiter Luciano, Asin. 23, voculam, qua neque carere videtur, quæque addita loci leporem augebit : ὦ καλὲ σύ, est edita lectio; codex autem 1310 exhibet, ὦ καλὲ ὄντι σύ.

(2) Dictum est Hesiodi nobile, quod auctor respexit, aut non; ut et p. 197, 10. Confer quæ monui ad Hes. Opp. 287. Isidorus Pel. v, 480 : τοῖς τῆς ἀρετῆς πόνοις ἐκ πρώτης μέχρι τελευτῆς ἐγκαρτερῆσαι οὐχ οἷόν τε, μὴ τῆς προσδοκίας τῶν γερῶν κιρναμένης ἠρέμα τῷ ἱδρῶτι.

(3) Verba sunt Athanasii Vita Antonii § 5, qui locus con-

γραπτὰ Ἀντωνίου. Ὡς δὲ εἶδεν ἑαυτὸν ὁ ἐχθρὸς ἀσθενοῦντα πρὸς τὴν ἐκείνου πρόθεσιν (τὸν Χριστὸν γὰρ αὐτὸς ἐνθυμούμενος καὶ τῷ ἐκείνου πόθῳ φλεγόμενος, ῥωννύμενός τε καλῶς τῇ ἐλπίδι καὶ τῇ πίστει στηριζόμενος, εἰς οὐδὲν τὰς ἐκείνου ὑποβολὰς ἐλογίζετο), κατῃσχύνθη ὁ πολέμιος ἐκ πρώτης, ὃ λέγεται, προσβολῆς πεσών. Ἑτέραν οὖν ἔρχεται ὁδὸν (πολλαὶ γὰρ αὐτῷ αἱ τῆς κακίας τρίβοι), καὶ φαντάσμασι ποικίλοις ἀνατρέπειν αὐτὸν ἐπειρᾶτο καὶ εἰς δειλίαν ἐμβαλεῖν, ποτὲ μὲν μέλας αὐτῷ φαινόμενος, οἷος ἐστί· ποτὲ δὲ, ῥομφαίαν ἐσπασμένην κατέχων, ἐπεπήδα αὐτῷ, καὶ πατάξαι ἠπείλει, εἰ μὴ θᾶττον εἰς τὰ ὀπίσω στραφῇ· ἄλλοτε θηρίων ὑπήρχετο παντοδαπῶν μορφὰς, βρυχῶν κατ' αὐτοῦ καὶ δεινότατον ἀποτελῶν μυκηθμὸν καὶ ψόφον· εἶτα καὶ εἰς δράκοντα μετεμορφοῦτο καὶ ἀσπίδα καὶ βασιλίσκον (1).

Ὁ δὲ καλὸς ἐκεῖνος καὶ γενναιότατος ἀθλητὴς ἀτρέμας ἦν τὴν ψυχὴν, ἅτε δὴ τὸν ὕψιστον ἑαυτοῦ καταφυγὴν θέμενος. Νήφων δὲ τῇ διανοίᾳ καὶ (2) καταγελῶν τοῦ πονηροῦ, ἔλεγεν· « Οὐκ ἔλαθές με, ὦ ἀπατεὼν, ὅστις εἶ, ὁ ταῦτά μοι ἐγείρων, ὁ ἐξ ἀρχῆς κακὰ τεκταινόμενος τῶν ἀνθρώπων τῷ γένει, καὶ ἀεί ποτε πονηρὸς ὢν καὶ τὸ βλάπτειν οὐδαμῶς ἀπολείπων. Ἀλλ' ὡς προσῆκόν σοι τὸ σχῆμα καὶ οἰκειότατον, αὐτῷ δὴ τούτῳ τῷ θηρίοις καὶ ἑρπετοῖς ὁμοιοῦσθαι,

ferendus. A, ἐξήγειρεν αὐτῷ κόνιον.

(1) Psalm. xc, 13: ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.

(2) A sine καί. Philostratus, Epist. 26: ὁ δὲ Ἑρμῆς κομᾷ κροτάφῳ καὶ τοῖς σφυροῖς. Non importune duplici copula codex Vatic. 140: καὶ κροτ. Dion Chrys. Orat. xi, pag. 310, 2: καὶ ταῦτα αὐλούντων καὶ ᾀδόντων ἀνέχονται. Codex 2958, καὶ τ. καὶ αὐλ. Nec id sine vi.

τὸ θηριῶδές σου τῆς γνώμης καὶ σκολιὸν, ἰοβόλον τε καὶ βλαπτικὸν τῆς προαιρέσεως, ἐνδεικνυμένῳ (1)! Τί οὖν ἀνηνύτοις ἐπιχειρεῖς, ἄθλιε; ἐξότε γὰρ ἔγνων τῆς σῆς εἶναι κακίας τὰ μηχανήματα ταῦτα καὶ φόβητρα, οὐδεμία μοι λοιπὸν ἔτι ἐστὶ φροντὶς περὶ σοῦ. « Κύ- » ριος (2) ἐμοὶ βοηθὸς, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς » μου », καὶ ἐπὶ ἀσπίδα καὶ βασιλίσκον σὲ ἐπιβήσομαι οἷς ὁμοιοῦσαι, καὶ καταπατήσω σὲ τὸν λέοντα καὶ δράκοντα (3), τῇ δυνάμει τοῦ Χριστοῦ κραταιούμενος. Αἰσχυνθείησαν καὶ ἐντραπείησαν πάντες οἱ ἐχθροί μου· ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους (4). »

Ταῦτα λέγων, καὶ τὸ σημεῖον τοῦ σταυροῦ ἑαυτῷ περιβαλὼν ὅπλον ἀκαταγώνιστον, πάσας τὰς τοῦ Διαβόλου φαντασίας κατήργησεν. Εὐθὺς γὰρ τά τε θηρία καὶ τὰ ἑρπετὰ, ὡς ἐκλείπει καπνὸς, ἐξέλιπον, καὶ ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς (5)· αὐτὸς δὲ, τῇ τοῦ Χριστοῦ δυνάμει ἰσχύων, ἐπορεύετο χαίρων καὶ εὐχαριστῶν τῷ Κυρίῳ.

Ἀλλὰ καὶ θηρία πολλὰ καὶ ποικίλα καὶ ὄφεων παντοδαπὰ καὶ δρακοντόμορφα γένη ἡ ἔρημος ἐκείνη τρέφει, ἅτινα συναντῶντα αὐτῷ οὐκ ἔτι φαντασίᾳ, ἀλλ' ἀληθείᾳ ἐδείκνυτο, ὡς ἐντεῦθεν φόβου μὲν ἦν πλήρης (6) ἡ ὁδὸς καὶ πόνου· αὐτὸς δὲ ἀμφοτέρων ὑπερ-

(1) AC, αὐτὸ δὴ τοῦτο τὸ θ.... θηριῶδές που... ἐνδεικνύμενος.

(2) Psalm. CXVII, 7.

(3) Conf. pag. 341, n. 1.

(4) Psalm. LXIX, 2: αἰσχυνθείησαν καὶ ἐντραπείησαν οἱ ζητοῦντες τὴν ψυχήν μου... ἀποστραφείησαν παραυτίκα αἰσχυνόμενοι.... Psalm. VI, 10: αἰσχυνθείησαν καὶ ταραχθείησαν σφόδρα πάντες οἱ ἐχθροί μου· ἐπιστραφείησαν καὶ αἰσχυνθείησαν σφόδρα διὰ τάχους.

(5) Conf. pag. 295, n. 4.

(6) A sine πλήρης. Libanius obiter recuperabit quod amisit Epist. 377, ubi: ἀλλὰ τὸ πάλαι

ίπλατο τῷ λογισμῷ, τὸν μὲν φόβον τῆς ἀγάπης, ὥς φησιν ἡ γραφὴ (1), ἔξω βαλλούσης, τὸν πόνον δὲ τοῦ πόθου ἐπικουφίζοντος.

Οὕτως οὖν πολλαῖς καὶ ποικίλαις συμφοραῖς καὶ ταλαιπωρίαις πυκτεύσας, δι' ἡμερῶν οὐκ ὀλίγων κατέλαβε τὴν ἔρημον ἐκείνην τῆς Σενααρίτιδος γῆς, ἐν ᾗ ὁ Βαρλαὰμ ᾤκει (2)· ἔνθα καὶ ὕδατος τυχὼν τὴν φλόγα κατέσβεσε τῆς δίψης.

Ἔμεινε δὲ Ἰωάσαφ διετίαν ὅλην κατὰ τὸ πέλαγος τῆς ἐρήμου ταύτης ἀλώμενος καὶ μὴ εὑρίσκων τὸν Βαρλαὰμ, τοῦ Θεοῦ κἀνταῦθα τὸ στερρὸν τοῦ λογισμοῦ αὐτοῦ καὶ τὸ τῆς ψυχῆς γενναῖον δοκιμάζοντος. Καὶ ἦν οὕτως αἴθριος συγκαιόμενος τῷ καύσωνι καὶ τῷ κρύει πηγνύμενος καὶ ἀπαύστως ζητῶν ὥσπερ τινὰ θησαυρὸν πολύτιμον τὸν τιμιώτατον γέροντα. Πολλοὺς δὲ ὑπέμεινε πειρασμοὺς καὶ πολέμους τῶν πονηρῶν Πνευμάτων, καὶ πολλοὺς ὑπήνεγκε πόνους τῆς τῶν βοτανῶν ἐνδείας, ἃς εἰς τροφὴν ἐκέχρητο (3), ὅτι καὶ ταύτας

τοῦτο « ἄξιος Δεινσαίνετος » διὰ πάσης ἐχώρει τῆς πόλεως. Codex 3035 plenius: ... κοινῇ φωνῇ διὰ πάσ. ....Lucretur etiam quod minus requirit Epist. 1083. Textus editus sic habet: τοιοῦτος δὲ ὢν, αὐτοῦ βελτίω σε τίθησι, καὶ παῖδάς σοι γενέσθαι προσομοίους εὔχεται. Codex idem: ... σε βελτ. τιθ. κ. π. αὐτῷ σοι πρ.... Utilior fiat restitutio Psello sic edito De dæm. p. 74, ubi traditur dæmoniacorum corpus in varias mutari posse figuras ac varios colores: ὡς δ' ἀερώδες, χρωμάτων ὂν δεκτικὸν παντοίων ὥσπερ ἀήρ· τουτὶ δὲ τὸ σῶμα παρὰ τῆς ἐν αὐτῷ φανταστικῆς ἐνεργείας, προϊσχούσης εἰς αὐτὸ τὰ χρωμάτων εἴδη. Latina facta sunt ad meliorem ac pleniorem codicem, quibus respondebunt græca hæcce, quæ in codd. 39 et 1310 reperi: ... ὥσπερ ἀήρ· ἀλλ' ἀὴρ μὲν ἔξωθέν ποθεν χρώννυται; τουτὶ δὲ....

(1) Joann. I Epist. IV, 18: ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον.

(2) Cf. pagg. 36, 150, 194.

(3) Forsan τῇ τῶν β. ἐνδείᾳ. Consentiunt AC in mala accusativi ἃς syntaxi.

ξηρὰ οὖσα ἡ ἔρημος ἐνδεῶς ἐβλάστανεν. Ἀλλὰ, τῷ πόθῳ τοῦ Δεσπότου φλεγομένη, ἡ ἀδαμαντίνη ψυχὴ ἐκείνη καὶ ἀήττητος ῥᾷον ἤνεγκε τὰ λυπηρὰ ταῦτα ἢ τὰς ἡδονὰς ἕτεροι. Διὸ τῆς ἄνωθεν οὐ διήμαρτε συμμαχίας, ἀλλὰ, κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν αὐτοῦ καὶ πόνων, αἱ παρὰ τοῦ ποθουμένου Χριστοῦ ἐγγινόμεναι παρακλήσεις (1) καθ' ὕπνους τε καὶ καθ' ὕπαρ εὔφραναν τὴν ψυχὴν αὐτοῦ.

Συμπληρουμένης δὲ τῆς διετίας, Ἰωάσαφ μὲν ἀπαύστως περιῄει ζητῶν τὸν ποθούμενον, καὶ ἐποτνιᾶτο πρὸς τὸν Θεὸν δάκρυα ποταμηδὸν τῶν ὀφθαλμῶν προχεόμενος, καὶ « Δεῖξόν μοι, δέσποτα », βοῶν, « δεῖξόν μοι τὸν αἴτιόν μοι τῆς σῆς ἐπιγνώσεως καὶ τῶν τοσούτων ἀγαθῶν γενόμενόν μοι πρόξενον (2)· καὶ μὴ, διὰ τὸ πλῆθος τῶν ἀνομιῶν μου, καλοῦ με τοσούτου στερήσῃς. Ἀλλ' ἀξίωσόν με ἰδεῖν τε αὐτὸν καὶ ἴσον αὐτῷ τὸν ἀγῶνα τῆς ἀσκήσεως θέσθαι. »

Εὑρίσκει δὲ Θεοῦ χάριτι σπήλαιον, ἰχνηλατήσας τῶν ἐκεῖσε πορευομένων τὴν τρίβον. Καὶ μοναχῷ τινὶ

(1) Psalm. XCIII, 19: *Κύριε, κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου αἱ παρακλήσεις σου ηὐφρανάν τὴν ψυχήν μου.*

(2) A sine *μοι πρόξενον*. Sic librarii sæpius properamus nimium. Adrianus rhetor Declam. de venefica, p. 239: *οὐ γὰρ χρὴ τὸ παθεῖν ἀναμείναντας οὕτως ἀμύνασθαι ζητεῖν τοὺς ἐξ ὧν ἔπαθον δρᾶσαι δυνηθέντας, ἀλλὰ, πρίν τι παθεῖν, ὑποπτεύειν τὸ δρᾶσαι δύνασθαι.* Codex 3035, *μὴ δυνηθέντας*, negatione sententiam præbente non malam, videlicet, « eos qui ex » quibusdam circumstantiis ma- » lum facere non potuerunt. » Negatio necessaria omnino reddatur Libanio sic edito tom. IV, pag. 46: *οὐ δὴ φαίνεται τοσούτῳ χεῖρον ὁ Τελαμώνιος Αἴας τοῦ πατρὸς, τοῦ συνεξελόντος Ἡρακλεῖ Τροίαν, ὥστ' ἐκείνου συνοργισθέντος ἐπ' ἐλάττοσιν, αὐτὸς ἐφ' οὕτω μείζοσι μιμήσασθαι τὸν γεννήσαντα.* Codex 3017 optime, *μὴ μιμ.*, quod volebat Reiskius; exhibet quoque melius, *οὐδὲ φαν. τοσοῦτον χείρων ὁ Τελ.*

ἐντυγχάνει τὸν ἐρημικὸν μετιόντι βίον. Καὶ τούτῳ θερμότατα περιχυθεὶς καὶ ἀσπασάμενος, τοῦ Βαρλαὰμ ἠρώτα τὸ σκήνωμα εὑρεῖν, καὶ τὰ καθ' ἑαυτὸν διεξῄει, δῶρα τῷ ἀνδρὶ θέμενος. Δι' αὐτοῦ τοίνυν τὸν τόπον διδαχθεὶς τῆς τοῦ ζητουμένου οἰκήσεως, καταλαμβάνει τάχιστα, ὡς ὅταν θηρευτὴς ἐμπειρότατος ἴχνεσιν ἐπιτύχῃ τοῦ θηράματος. Καὶ φθάσας τινὰ σημεῖα τὰ παρὰ τοῦ ἄλλου γέροντος διδαχθέντα αὐτῷ, ἐπορεύετο χαίρων καὶ τῇ ἐλπίδι ῥωννύμενος, ὡς νήπιος ἐκ μακροῦ χρόνου τὸν πατέρα ἐλπίζων θεάσασθαι. Ὅταν γὰρ ὁ κατὰ Θεὸν πόθος εἰς ψυχὴν ῥαγῇ, πολλῷ τοῦ φυσικοῦ δείκνυται θερμότερός τε καὶ βιαιότερος.

Ἐφίσταται τοίνυν τῇ θύρᾳ τοῦ σπηλαίου. Καὶ, κρούσας, « Εὐλόγησον », εἶπε, « πάτερ, εὐλόγησον ». Ὡς δὲ τῆς φωνῆς ἀκούσας ἐξῆλθεν ὁ Βαρλαὰμ τοῦ σπηλαίου, ἐγνώρισε τῷ πνεύματι τὸν, κατά γε τὴν ἔξω θέαν, οὐκ εὐχερῶς γνωρισθῆναι δυνάμενον, διὰ τὴν θαυμαστὴν ἐκείνην μεταβολὴν καὶ ἀλλοίωσιν ἣν ἠλλοίωτο καὶ μετεβέβλητο τῆς ὄψεως ἐκείνης τῆς προτέρας καὶ τῆς ὡραῖον ἀνθούσης νεότητος, μεμελανωμένος μὲν ἐκ τῆς ἡλιακῆς καύσεως, κατάκομος δὲ ταῖς θριξὶν, ἐκτετηκυίας δὲ τὰς παρειὰς καὶ τοὺς ὀφθαλμοὺς ἔσω που εἰς βάθος δεδυκότας καὶ τὰ βλέφαρα περιπεφλεγμένα ἔχων ταῖς ῥοαῖς τῶν δακρύων καὶ τῇ πολλῇ τῆς ἐνδείας ταλαιπωρίᾳ. Ἔγνω δὲ καὶ Ἰωάσαφ τὸν πνευματικὸν πατέρα, τοὺς χαρακτῆρας μάλιστα τῆς ὄψεως ἔχοντα τοὺς αὐτούς.

Στὰς οὖν εὐθὺς κατὰ ἀνατολὰς, ὁ γέρων εὐχὴν ἀνέπεμψε τῷ Θεῷ εὐχαριστήριον. Καὶ, μετὰ τὴν εὐχὴν

δυστυχίας! » Δεσπότην αὐτὸν ἀνεκαλοῦντο, πατέρα, σωτῆρα, εὐεργέτην. « Διὰ σοῦ » φησί (1), « τὸν Θεὸν ἔγνωμεν· τῆς πλάνης λελυτρώμεθα· τῶν κακῶν πάντων ἀνάπαυσιν εὕρομεν. Τί λοιπὸν ἔσται ἡμῖν μετὰ τὸν σὸν χωρισμόν; ποῖα οὐ καταλήψεται κακά; » Τοιαῦτα λέγοντες, τὰ στήθη ἔπαιον, καὶ τὴν κατασχοῦσαν αὐτοὺς ἀπωλοφύροντο συμφοράν.

Ὁ δὲ λόγοις αὐτοὺς παρακλήσεως τῶν πολλῶν κατασιγήσας οἰμωγῶν, καὶ συνεῖναι τῷ πνεύματι ἐπαγγειλάμενος, ὡς τῷ γε σώματι ἀδύνατον ἤδη τοῦτο γενέσθαι, τοιαῦτα εἰπὼν, πάντων ὁρώντων ἐξέρχεται τοῦ παλατίου. Καὶ εὐθὺς πάντες συνείποντο (2)· τὴν ὑποστροφὴν ἀπηγόρευον· τὴν πόλιν, ὡς μηκέτι δυνατὸν ὄμμασιν ὀφθῆναι τοῖς ἑαυτῶν, ἀπεδίδρασκον. Ὡς δὲ τῆς πόλεως ἔξω γεγόνασι, μόλις ποτὲ, τῇ τομῇ τοῦ λόγου παραινοῦντος αὐτοῦ καὶ δριμυτέραν που τὴν ἐπιτίμησιν ἐπιφέροντος, ἀπ' αὐτοῦ διερράγησαν, καὶ ἄκοντες ἐπανήρχοντο, πυκνῶς αὐτοῖς τῶν ὀφθαλμῶν ἐπιστρεφομένων, καὶ τὴν πορείαν τοῖς ποσὶν ἐγκοπτόντων (3). Τινὲς δὲ τῶν θερμοτέρων καὶ ὀδυρόμενοι

(1) Sic φησὶ de pluribus, aut potius de uno ex pluribus, pag. 22, 25; 27, 6; 43, 8.

(2) A, συνήποντο. Basilius Mac. Præc. c. 38 : οὕτω γὰρ φρόνιμός τε δόξεις εἶναι καὶ τὰ ἐξ ἑκατέρου πάθη διαφύγοις. Codex 2991 A, διαφύγῃς, quod malim, ob frequentem usum aoristi secundi subjunctivi pro futuro indicativi, ita ut δόξεις et διαφύγῃς optime quadrent. Vide not. ad Aristæn. pag. 258; Hasium ad Lyd. De ostentis, p. 316. Addam novam verborum Basilii proximorum lectionem. Sic edita sunt : καὶ οἱ τὰ σὰ λογοπραγοῦντες οὐδεμίαν ἕξουσι λαβὴν τοῦ μέμφεσθαι τὰ προσπίπτοντα. Idem codex, λογοπραγμονοῦντες, verbo perraro et hic, ut videtur, optimo.

(3) Glossator ad marginem : στίχος. Versus est quidem, sed politicus, nec notandus. Etenim si iambici, iique maxime legitimi, scriptoribus prosaicis excidere

μακρόθεν ἠκολούθουν αὐτῷ, ἕως ἡ νὺξ ἐπελθοῦσα διέστησεν αὐτοὺς ἀπ' ἀλλήλων.

Ἐξῆλθεν οὖν τῶν βασιλείων ὁ γενναῖος ἐκεῖνος χαίρων, ὡς ὅταν ἐκ μακρᾶς ἐξορίας εἰς τὴν ἰδίαν τις ἐπανερχόμενος γηθοσύνως πορεύοιτο. Καὶ ἦν ἐνδεδυμένος, ἔξωθεν μὲν τὰ ἐξ ἔθους ἱμάτια, ἔσωθεν δὲ τὸ τρίχινον ῥάκος ἐκεῖνο ὅπερ ὁ Βαρλαὰμ αὐτῷ δεδώκει (1). Τῇ δὲ νυκτὶ ἐκείνῃ εἰς οἰκίσκον (2) πένητός τινος καταντήσας, τὰ περικείμενα αὐτῷ ἄμφια ἐκβαλὼν, τελευταίαν ταύτην εὐποιΐαν τῷ πένητι δίδωσι· καὶ οὕτω ταῖς ἐκείνου τε καὶ πολλῶν ἑτέρων πενήτων εὐχαῖς ἐπίκουρον ἑαυτοῦ τὸν Θεὸν θέμενος, καὶ τὴν αὐτοῦ χάριν καὶ βοήθειαν ὡς ἱμάτιον σωτηρίου (3) καὶ χιτῶνα εὐφροσύνης ἑαυτῷ περιβαλλόμενος, ἐπὶ τὸν ἐρημικὸν ἐξῆλθε βίον, μὴ ἄρτον ἐπιφερόμενος, μὴ ὕδωρ, μηδ' ἄλλο τι τῶν πρὸς τροφὴν ἐπιτηδείων, μὴ ἱμάτιον ἐνδεδυμένος, ἀλλ' ἢ τὸ σκληρὸν ἐκεῖνο ῥάκος μόνον, οὗπερ πρὸ μικροῦ ἐμνήσθημεν. Πόθῳ γάρ τινι ὑπερφυεῖ καὶ ἔρωτι θείῳ τρωθεὶς τὴν ψυχὴν τοῦ ἀθανάτου βασιλέως Χριστοῦ, ὅλως ἦν τοῦ ποθουμένου ἐξεστηκὼς, ὅλως ἠλλοιωμένος Θεῷ, κάτοχος τῇ τούτου ἀγάπῃ· « κραταιὰ » γὰρ, φησὶν (4), « ὡς πῦρ ἀγάπη »· τοιαύτην αὐτὸς ἀπὸ τῆς θείας ἀγάπης ἐδέξατο μέθην, καὶ

imprudentibus possunt, quid mirum facillimos illos sæpius orationem ingredi? Conf. p. 318. Maccab. 6 : εἰ γὰρ τὰ πάθη τοῦ λογισμοῦ ἐκεκρατήκει, τούτοις οὖν ἀπεδόμην τὴν τῆς ἐπικρατείας μαρτυρίαν. Codex 3010, κεκρ., et, pro οὖν, optime ἄν.

(1) Vide p. 185. — C, ἐδεδώκει. Prætuli formam augmento carentem, ut et pag. 192, 1. Lucianus Asin. 23, ἀπελέλειπτο : codex 1310, ἀπολέλειπτο. Ibid. 51, ἐγεγόνειν : codex, γεγόνειν. Joseph.

(2) C, οἶκον.

(3) Cf. Epist. ad Ephes. VI, 17.

(4) Cant. cant. VIII, 6, ubi ὡς θάνατος.

οὕτως ἐξεκαύθη τῷ δίψει, κατὰ τὸν εἰπόντα (1)· « Ὃν
» τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδά-
» των, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ, ὁ Θεός·
» ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν,
» τὸν ζῶντα »· καὶ καθὼς ἡ τετρωμένη τῆς τοιαύτης
ἀγάπης (2) ψυχὴ βοᾷ ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων·
« Ἐκαρδίωσας (3) ἡμᾶς τῷ πόθῳ σου, ἐκαρδίωσας
» ἡμᾶς »· καί, « Δεῖξόν (4) μοι τὴν ὄψιν σου καὶ ἀκού-
» τισόν μοι τὴν φωνήν σου· ἡ γὰρ φωνή σου φωνὴ
» ἡδεῖα καὶ ἡ ὄψις σου ὡραία. »

Ταύτης τῆς ἀνεκλαλήτου ὡραιότητος Χριστοῦ τὸν πόθον ἐν καρδίᾳ δεξάμενος ὁ τῶν Ἀποστόλων χορὸς καὶ τῶν μαρτύρων οἱ δῆμοι πάντων ὑπερεῖδον τῶν ὁρωμένων, πάσης δὲ ζωῆς τῆς προσκαίρου, καὶ τὰ μυρία τῶν βασάνων καὶ θανάτων εἴδη προείλοντο, ἐρασθέντες τοῦ θείου κάλλους καὶ τὸ περὶ ἡμᾶς τοῦ θείου Λόγου λογισάμενοι φίλτρον. Τοῦτο τὸ πῦρ καὶ ὁ καλὸς οὗτος, καὶ εὐγενὴς μὲν τῷ σώματι, εὐγενέστατος δὲ μᾶλλον καὶ βασιλικώτατος τὴν ψυχὴν, ἐν ἑαυτῷ δεξάμενος, πάντων ὁμοῦ τῶν γηΐνων καταφρονεῖ, πατεῖ πάσας τὰς τοῦ σώματος ἡδονὰς, ὑπερορᾷ πλούτου καὶ δόξης καὶ τῆς παρὰ ἀνθρώπων τιμῆς, ἀποτίθεται διάδημα καὶ ἁλουργίδα, τῶν ἀραχνίων ὑφασμάτων εὐτελέστερα ταῦτα λογισάμενος, πρὸς πάντα δὲ τὰ ἐπίπονα καὶ λυπηρὰ τοῦ ἀσκητικοῦ βίου προθύμως ἑαυτὸν ἐκδίδωσιν, « Ἐκολλήθη (5) » βοῶν, ὦ Χριστέ μου, « ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου·

(1) Psalm. XLI, 1...

(2) Cant. cant. II, 5 : τετρωμένη ἀγάπης ἐγώ.

(3) Ibid. IV, 9, cum varietate.

(4) Ibid. II, 14.

(5) Psalm. LXII, 8.

» ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. » Καὶ οὕτως ἀμεταστρεπτὶ χωρήσας εἰς τὸ τῆς ἐρήμου βάθος, καὶ ὡς ἄχθος τι καὶ κλοιὸν βαρύτατον ἀποθέμενος τῶν προσκαίρων τὴν σύγχυσιν, εὐφράνθη τῷ πνεύματι, καὶ τῷ ποθουμένῳ ἀτενίσας Χριστῷ, ἐβόα πρὸς αὐτὸν, ὡς παρόντι καὶ τῆς φωνῆς ἐπαΐοντι διαλεγόμενος· « Μὴ τὰ ἀγαθά », φησί, « τοῦ κόσμου τούτου ἴδοι ὁ ὀφθαλμός μου ἔτι, Κύριε· μὴ μετεωρισθείην ἀπὸ τῆς δεῦρο τὸν νοῦν ὑπὸ τῆς παρούσης ματαιότητος (1)· ἀλλ' ἔμπλησον τοὺς ὀφθαλμούς μου, Κύριε, δακρύων πνευματικῶν. Καὶ κατεύθυνον τὰ διαβήματά μου (2), καὶ ὑπόδειξόν μοι τὸν σὸν θεράποντα Βαρλαάμ. Ὑπόδειξόν μοι τὸν ἐμοὶ σωτηρίας γενόμενον πρόξενον, ἵνα καὶ τοῦ ἐρημικοῦ βίου τούτου καὶ ἀσκητικοῦ δι' αὐτοῦ τὴν (3) ἀκρίβειαν μάθοιμι καὶ μὴ τῇ ἀπειρίᾳ τῶν πολέμων τοῦ ἐχθροῦ ὑποσκελισθῶ. Δός μοι, Κύριε, τὴν ὁδὸν εὑρεῖν δι' ἧς ἐπιτύχω σου, ὅτι τέτρωται ἡ ψυχή μου τῷ πόθῳ σου, καὶ σὲ διψῶ τὴν πηγὴν τῆς σωτηρίας. »

Ταῦτα ἔστρεφε καθ' ἑαυτὸν ἀεὶ, καὶ τῷ Θεῷ διελέγετο, διὰ προσευχῆς αὐτῷ καὶ θεωρίας ὑψηλοτάτης ἑνούμενος. Καὶ οὕτω συντόνως τὴν ὁδοιπορίαν διήνυε, τὸν χῶρον σπεύδων καταλαβεῖν, ἔνθα Βαρλαὰμ διῆγεν. Ἐτρέφετο δὲ ταῖς φυομέναις βοτάναις κατὰ τὴν ἔρημον· οὐδὲν γὰρ ἄλλο ἐπεφέρετο, καθάπερ ἔφθην εἰπὼν (4), εἰ μὴ μόνον τὸ σῶμα τὸ ἴδιον καὶ τὸ ῥάκος ὃ περιεβέβλητο. Ἀλλὰ τροφὴν μὲν μετρίαν καὶ οὐδαμινὴν ἐκ τῶν βοτανῶν ποριζόμενος, ὕδατος παντελῶς

(1) Psalm. cxviii, 37 : ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα.

(2) Conf. pag. 182, n. 1.

(3) C, βίου τὴν, mediis omissis.

(4) Pag. 337, 15.

ἠπόρει, ἀνύδρου καὶ ξηρᾶς οὔσης τῆς ἐρήμου ἐκείνης. Ἤδη τοίνυν περὶ τὰς μεσημβρίας, τοῦ ἡλίου σφοδρὸν φλέγοντος, τῆς ὁδοιπορίας ἐχόμενος, σφοδρότερον αὐτὸς ἐφλέγετο ἐν δίψει καύματος ἐν ἀνύδρῳ, καὶ τὴν ἐσχάτην ἐταλαιπωρεῖτο ταλαιπωρίαν· ἀλλ' ἐνίκα ὁ πόθος τὴν φύσιν, καὶ ἡ δίψα, ἣν πρὸς τὸν Θεὸν ἐδίψα, τὴν φλόγα ἐδρόσιζε τῆς τοῦ ὕδατος δίψης.

Ὁ δὲ μισόκαλος καὶ φθονερὸς Διάβολος, μὴ ὑποφέρων ἐν αὐτῷ τὴν τοιαύτην ὁρᾷν πρόθεσιν καὶ οὕτω θερμοτάτην πρὸς τὸν Θεὸν ἀγάπην, πολλοὺς αὐτῷ κατὰ τὴν ἔρημον ἐξήγειρε πειρασμούς, ὑποβάλλων αὐτῷ (1) μνήμην τῆς βασιλικῆς αὐτοῦ δόξης καὶ τῆς παρισταμένης αὐτῷ λαμπροτάτης δορυφορίας, φίλων τε καὶ συγγενῶν καὶ ὁμηλίκων, καὶ ὡς αἱ πάντων ψυχαὶ τῆς αὐτοῦ ἐξήρτηντο ψυχῆς, καὶ τὰς ἄλλας ἀνέσεις τοῦ βίου· εἶτα τὸ τραχὺ τῆς ἀρετῆς προεβάλλετο καὶ τοὺς πολλοὺς αὐτῆς ἱδρῶτας (2), τοῦ σώματός τε τὴν ἀσθένειαν καὶ τὸ ἀσύνηθες αὐτοῦ ἐν τῇ τοιαύτῃ ταλαιπωρίᾳ, καὶ τοῦ χρόνου τὸ μῆκος, τὴν ἐν χερσίν τε ἀνάγκην τῆς δίψης, καὶ τὸ μηδαμόθεν ἐκδέχεσθαι παράκλησιν ἢ τέλος τοῦ τοσούτου κόπου· « καὶ ὅλως » πολὺν αὐτῷ ἤγειρε κονιορτὸν τῶν λογισμῶν ἐν τῇ » διανοίᾳ (3) », καθά που καὶ περὶ τοῦ μεγάλου γέ-

(1) A sine *αὐτῷ*. Restituam obiter Luciano, Asin. 23, voculam, qua neque carere videtur, quæque addita loci leporem augebit : *ὦ καλὲ σύ*, est edita lectio; codex autem 1310 exhibet, *ὦ καλὲ ὄντι σύ*.

(2) Dictum est Hesiodi nobile, quod auctor respexit, aut non; ut et p. 197, 10. Confer quæ monui ad Hes. Opp. 287. Isidorus Pel. v, 480 : *τοῖς τῆς ἀρετῆς πόνοις ἐκ πρώτης μέχρι τελευτῆς ἐγκαρτερῆσαι οὐχ οἷόν τε, μὴ τῆς προσδοκίας τῶν γερῶν κιρναμένης ἠρέμα τῷ ἱδρῶτι*.

(3) Verba sunt Athanasii Vita Antonii § 5, qui locus con-

γράπτῃ Ἀντωνίου. Ὡς δὲ εἶδεν ἑαυτὸν ὁ ἐχθρὸς ἀσθενοῦντα πρὸς τὴν ἐκείνου πρόθεσιν (τὸν Χριστὸν γὰρ αὐτὸς ἐνθυμούμενος καὶ τῷ ἐκείνου πόθῳ φλεγόμενος, ῥωννύμενός τε καλῶς τῇ ἐλπίδι καὶ τῇ πίστει στηριζόμενος, εἰς οὐδὲν τὰς ἐκείνου ὑποβολὰς ἐλογίζετο), κατῃσχύνθη ὁ πολέμιος ἐκ πρώτης, ὃ λέγεται, προσβολῆς πεσών. Ἑτέραν οὖν ἔρχεται ὁδὸν (πολλαὶ γὰρ αὐτῷ αἱ τῆς κακίας τρίβοι), καὶ φαντάσμασι ποικίλοις ἀνατρέπειν αὐτὸν ἐπειρᾶτο καὶ εἰς δειλίαν ἐμβαλεῖν, ποτὲ μὲν μέλας αὐτῷ φαινόμενος, οἷος ἐστί· ποτὲ δὲ, ῥομφαίαν ἐσπασμένην κατέχων, ἐπεπήδα αὐτῷ, καὶ πατάξαι ἠπείλει, εἰ μὴ θᾶττον εἰς τὰ ὀπίσω στραφῇ· ἄλλοτε θηρίων ὑπήρχετο παντοδαπῶν μορφὰς, βρυχῶν κατ' αὐτοῦ καὶ δεινότατον ἀποτελῶν μυκηθμὸν καὶ ψόφον· εἶτα καὶ εἰς δράκοντα μετεμορφοῦτο καὶ ἀσπίδα καὶ βασιλίσκον (1).

Ὁ δὲ καλὸς ἐκεῖνος καὶ γενναιότατος ἀθλητὴς ἀτρέμας ἦν τὴν ψυχὴν, ἅτε δὴ τὸν ὕψιστον ἑαυτοῦ καταφυγὴν θέμενος. Νήφων δὲ τῇ διανοίᾳ καὶ (2) καταγελῶν τοῦ πονηροῦ, ἔλεγεν· « Οὐκ ἔλαθές με, ὦ ἀπατεὼν, ὅστις εἶ, ὁ ταῦτά μοι ἐγείρων, ὁ ἐξ ἀρχῆς κακὰ τεκταινόμενος τῶν ἀνθρώπων τῷ γένει, καὶ ἀεί ποτε πονηρὸς ὢν καὶ τὸ βλάπτειν οὐδαμῶς ἀπολείπων. Ἀλλ' ὡς προσῆκόν σοι τὸ σχῆμα καὶ οἰκειότατον, αὐτῷ δὴ τούτῳ τῷ θηρίοις καὶ ἑρπετοῖς ὁμοιοῦσθαι,

ferendus. A, ἐξήγειρεν αὐτῷ κόνιον.

(1) Psalm. xc, 13: ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.

(2) A sine καὶ. Philostratus, Epist. 26: ὁ δὲ Ἑρμῆς κομᾷ κροτάφῳ καὶ τοῖς σφυροῖς. Non importune duplici copula codex Vatic. 140: καὶ κροτ. Dion Chrys. Orat. xi, pag. 310, 2: καὶ ταῦτα αὐλούντων καὶ ᾀδόντων ἀνέχονται. Codex 2958, καὶ τ. καὶ αὐλ. Nec id sine vi.

τὸ θηριῶδές σου τῆς γνώμης καὶ σκολιὸν, ἰοβόλον τε καὶ βλαπτικὸν τῆς προαιρέσεως, ἐνδεικνυμένῳ (1)! Τί οὖν ἀνηνύτοις ἐπιχειρεῖς, ἄθλιε; ἐξότε γὰρ ἔγνων τῆς σῆς εἶναι κακίας τὰ μηχανήματα ταῦτα καὶ φόβητρα, οὐδεμία μοι λοιπὸν ἔτι ἐστὶ φροντὶς περὶ σοῦ. « Κύ» ριος (2) ἐμοὶ βοηθὸς, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς » μου », καὶ ἐπὶ ἀσπίδα καὶ βασιλίσκον σὲ ἐπιβήσομαι οἷς ὁμοιοῦσαι, καὶ καταπατήσω σὲ τὸν λέοντα καὶ δράκοντα (3), τῇ δυνάμει τοῦ Χριστοῦ κραταιούμενος. Αἰσχυνθείησαν καὶ ἐντραπείησαν πάντες οἱ ἐχθροί μου· ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους (4). »

Ταῦτα λέγων, καὶ τὸ σημεῖον τοῦ σταυροῦ ἑαυτῷ περιβαλὼν ὅπλον ἀκαταγώνιστον, πάσας τὰς τοῦ Διαβόλου φαντασίας κατήργησεν. Εὐθὺς γάρ τά τε θηρία καὶ τὰ ἑρπετὰ, ὡς ἐκλείπει καπνὸς, ἐξέλιπον, καὶ ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός (5)· αὐτὸς δὲ, τῇ τοῦ Χριστοῦ δυνάμει ἰσχύων, ἐπορεύετο χαίρων καὶ εὐχαριστῶν τῷ Κυρίῳ.

Ἀλλὰ καὶ θηρία πολλὰ καὶ ποικίλα καὶ ὄφεων παντοδαπὰ καὶ δρακοντόμορφα γένη ἡ ἔρημος ἐκείνη τρέφει, ἅτινα συναντῶντα αὐτῷ οὐκ ἔτι φαντασίᾳ, ἀλλ' ἀληθείᾳ ἐδείκνυτο, ὡς ἐντεῦθεν φόβου μὲν ἦν πλήρης (6) ἡ ὁδὸς καὶ πόνου· αὐτὸς δὲ ἀμφοτέρων ὑπερ-

(1) AC, αὐτὸ δὴ τοῦτο τὸ θ.... θηριῶδές που... ἐνδεικνύμενος.

(2) Psalm. CXVII, 7.

(3) Conf. pag. 341, n. 1.

(4) Psalm. LXIX, 2: αἰσχυνθείησαν καὶ ἐντραπείησαν οἱ ζητοῦντες τὴν ψυχήν μου... ἀποστραφείησαν παραυτίκα αἰσχυνόμενοι.... Psalm. VI, 10: αἰσχυνθείησαν καὶ ταραχθείησαν σφόδρα πάντες οἱ ἐχθροί μου· ἐπιστραφείησαν καὶ αἰσχυνθείησαν σφόδρα διὰ τάχους.

(5) Conf. pag. 295, n. 4.

(6) A sine πλήρης. Libanius obiter recuperabit quod amisit Epist. 377, ubi: ἀλλὰ τὸ πάλαι

ίπλατο τῷ λογισμῷ, τὸν μὲν φόβον τῆς ἀγάπης, ὥς φησιν ἡ γραφὴ (1), ἔξω βαλλούσης, τὸν πόνον δὲ τοῦ πόθου ἐπικουφίζοντος.

Οὕτως οὖν πολλαῖς καὶ ποικίλαις συμφοραῖς καὶ ταλαιπωρίαις πυκτεύσας, δι' ἡμερῶν οὐκ ὀλίγων κατέλαβε τὴν ἔρημον ἐκείνην τῆς Σενααρίτιδος γῆς, ἐν ᾗ ὁ Βαρλαὰμ ᾤκει (2)· ἔνθα καὶ ὕδατος τυχὼν τὴν φλόγα κατέσβεσε τῆς δίψης.

Ἔμεινε δὲ Ἰωάσαφ διετίαν ὅλην κατὰ τὸ πέλαγος τῆς ἐρήμου ταύτης ἀλώμενος καὶ μὴ εὑρίσκων τὸν Βαρλαὰμ, τοῦ Θεοῦ κἀνταῦθα τὸ στερρὸν τοῦ λογισμοῦ αὐτοῦ καὶ τὸ τῆς ψυχῆς γενναῖον δοκιμάζοντος. Καὶ ἦν οὕτως αἴθριος συγκαιόμενος τῷ καύσωνι καὶ τῷ κρύει πηγνύμενος καὶ ἀπαύστως ζητῶν ὥσπερ τινὰ θησαυρὸν πολύτιμον τὸν τιμιώτατον γέροντα. Πολλοὺς δὲ ὑπέμεινε πειρασμοὺς καὶ πολέμους τῶν πονηρῶν Πνευμάτων, καὶ πολλοὺς ὑπήνεγκε πόνους τῆς τῶν βοτανῶν ἐνδείας, ἃς εἰς τροφὴν ἐκέχρητο (3), ὅτι καὶ ταύτας

τοῦτο « ἄξιος Δελσαίνετος » διὰ πάσης ἐχώρει τῆς πόλεως. Codex 3035 plenius: ... κοινῇ φωνῇ διὰ πάσ. ....Lucretur etiam quod minus requirit Epist. 1083. Textus editus sic habet: πάντως δὲ ὤν, αὐτοῦ βελτίω σε τίθησι, καὶ παῖδάς σοι γενέσθαι προσομοίους εὔχεται. Codex idem: ... σε βελτ. τιθ. κ. π. αὐτῷ σοι πρ.... Utilior fiat restitutio Psello sic edito De dæm. p. 74, ubi traditur dæmoniacorum corpus in varias mutari posse figuras ac varios colores: ὡς δ' ἀερῶδες, χρωμάτων ὂν δεκτικὸν παντοίων ὥσπερ ἀήρ· τουτὶ δὲ τὸ σῶμα παρὰ τῆς ἐν αὐτῷ φανταστικῆς ἐνεργείας, προϊσχούσης εἰς αὐτὸ τὰ χρωμάτων εἴδη. Latina facta sunt ad meliorem ac pleniorem codicem, quibus respondebunt græca hæcce, quæ in codd. 39 et 1310 reperi: ... ὥσπερ ἀήρ· ἀλλ' ἀὴρ μὲν ἔξωθέν ποθεν χρώννυται; τουτὶ δὲ....

(1) Joann. I Epist. IV, 18: ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον.

(2) Cf. pagg. 36, 150, 194.

(3) Forsan τῇ τῶν β. ἐνδείᾳ. Consentiunt AC in mala accusativi ἃς syntaxi.

ξηρὰ οὖσα ἡ ἔρημος ἐνδεῶς ἐβλάστανεν. Ἀλλὰ, τῷ πόθῳ τοῦ Δεσπότου φλεγομένη, ἡ ἀδαμαντίνη ψυχὴ ἐκείνη καὶ ἀήττητος ῥᾷον ἤνεγκε τὰ λυπηρὰ ταῦτα ἢ τὰς ἡδονὰς ἕτεροι. Διὸ τῆς ἄνωθεν οὐ διήμαρτε συμμαχίας, ἀλλὰ, κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν αὐτοῦ καὶ πόνων, αἱ παρὰ τοῦ ποθουμένου Χριστοῦ ἐγγινόμεναι παρακλήσεις (1) καθ' ὕπνους τε καὶ καθ' ὕπαρ εὔφραναν τὴν ψυχὴν αὐτοῦ.

Συμπληρουμένης δὲ τῆς διετίας, Ἰωάσαφ μὲν ἀπαύστως περιῄει ζητῶν τὸν ποθούμενον, καὶ ἐποτνιᾶτο πρὸς τὸν Θεὸν δάκρυα ποταμηδὸν τῶν ὀφθαλμῶν προχεόμενος, καὶ « Δεῖξόν μοι, δέσποτα », βοῶν, « δεῖξόν μοι τὸν αἴτιόν μοι τῆς σῆς ἐπιγνώσεως καὶ τῶν τοσούτων ἀγαθῶν γενόμενόν μοι πρόξενον (2)· καὶ μὴ, διὰ τὸ πλῆθος τῶν ἀνομιῶν μου, καλοῦ με τοσούτου στερήσῃς. Ἀλλ' ἀξίωσόν με ἰδεῖν τε αὐτὸν καὶ ἴσον αὐτῷ τὸν ἀγῶνα τῆς ἀσκήσεως θέσθαι. »

Εὑρίσκει δὲ Θεοῦ χάριτι σπήλαιον, ἰχνηλατήσας τῶν ἐκεῖσε πορευομένων τὴν τρίβον. Καὶ μοναχῷ τινὶ

(1) Psalm. xciii, 19: Κύριε, κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου αἱ παρακλήσεις σου ηὐφρανάν τὴν ψυχήν μου.

(2) A sine μοι πρόξενον. Sic librarii sæpius properamus nimium. Adrianus rhetor Declam. de venefica, p. 239: οὐ γὰρ χρὴ τὸ παθεῖν ἀναμείναντας οὕτως ἀμύνασθαι ζητεῖν τοὺς ἐξ ὧν ἔπαθον δρᾶσαι δυνηθέντας, ἀλλὰ, πρίν τι παθεῖν, ὑποπτεύειν τὸ δρᾶσαι δύνασθαι. Codex 3035, μὴ δυνηθέντας, negatione sententiam præbente non malam, videlicet, « eos qui ex » quibusdam circumstantiis ma» lum facere non potuerunt. » Negatio necessaria omnino reddatur Libanio sic edito tom. iv, pag. 46: οὐ δὴ φανεῖται τοσούτῳ χεῖρον ὁ Τελαμώνιος Αἴας τοῦ πατρὸς, τοῦ συνεξελόντος Ἡρακλεῖ Τροίαν, ὥστ' ἐκείνου συνοργισθέντος ἐπ' ἐλάττοσιν, αὐτὸς ἐφ' οὕτω μείζοσι μεμηνέναι τὸν γεννήσαντα. Codex 3017 optime, μὴ μεμ., quod volebat Reiskius; exhibet quoque melius, οὐδὲ φαν. τοσοῦτον χείρων ὁ Τελ.

ἐντυγχάνει τὸν ἐρημικὸν μετιόντι βίον. Καὶ τούτῳ θερμότατα περιχυθεὶς καὶ ἀσπασάμενος, τοῦ Βαρλαὰμ ἠρώτα τὸ σκήνωμα εὑρεῖν, καὶ τὰ καθ' ἑαυτὸν διεξῄει, δῆλα τῷ ἀνδρὶ θέμενος. Δι' αὐτοῦ τοίνυν τὸν τόπον διδαχθεὶς τῆς τοῦ ζητουμένου οἰκήσεως, καταλαμβάνει τάχιστα, ὡς ὅταν θηρευτὴς ἐμπειρότατος ἴχνεσιν ἐπιτύχῃ τοῦ θηράματος. Καὶ φθάσας τινὰ σημεῖα τὰ παρὰ τοῦ ἄλλου γέροντος διδαχθέντα αὐτῷ, ἐπορεύετο χαίρων καὶ τῇ ἐλπίδι ῥωννύμενος, ὡς νήπιος ἐκ μακροῦ χρόνου τὸν πατέρα ἐλπίζων θεάσασθαι. Ὅταν γὰρ ὁ κατὰ Θεὸν πόθος εἰς ψυχὴν ῥαγῇ, πολλῷ τοῦ φυσικοῦ δείκνυται θερμότερός τε καὶ βιαιότερος.

Ἐφίσταται τοίνυν τῇ θύρᾳ τοῦ σπηλαίου. Καὶ, κρούσας, « Εὐλόγησον », εἶπε, « πάτερ, εὐλόγησον ». Ὡς δὲ τῆς φωνῆς ἀκούσας ἐξῆλθεν ὁ Βαρλαὰμ τοῦ σπηλαίου, ἐγνώρισε τῷ πνεύματι τὸν, κατά γε τὴν ἔξω θέαν, οὐκ εὐχερῶς γνωρισθῆναι δυνάμενον, διὰ τὴν θαυμαστὴν ἐκείνην μεταβολὴν καὶ ἀλλοίωσιν ἣν ἠλλοίωτο καὶ μετεβέβλητο τῆς ὄψεως ἐκείνης τῆς προτέρας καὶ τῆς ὡραῖον ἀνθούσης νεότητος, μεμελανωμένος μὲν ἐκ τῆς ἡλιακῆς καύσεως, κατάκομος δὲ ταῖς θριξὶν, ἐκτετηκυίας δὲ τὰς παρειὰς καὶ τοὺς ὀφθαλμοὺς ἔσω που εἰς βάθος δεδυκότας καὶ τὰ βλέφαρα περιπεφλεγμένα ἔχων ταῖς ῥοαῖς τῶν δακρύων καὶ τῇ πολλῇ τῆς ἐνδείας ταλαιπωρίᾳ. Ἔγνω δὲ καὶ Ἰωάσαφ τὸν πνευματικὸν πατέρα, τοὺς χαρακτῆρας μάλιστα τῆς ὄψεως ἔχοντα τοὺς αὐτούς.

Στὰς οὖν εὐθὺς κατὰ ἀνατολὰς, ὁ γέρων εὐχὴν ἀνέπεμψε τῷ Θεῷ εὐχαριστήριον. Καὶ, μετὰ τὴν εὐχὴν

ἐπειπόντες τὸ ἀμὴν, περιλαβόντες τε καὶ (1) περιπλυξάμενοι θερματάταις ἠμείβοντο ἀλλήλους περιπλοκαῖς, χρονίου πάθου ἐμφορούμενοι ἀκορέστως. Ἐπεὶ δὲ ἀρκούντως περιέλαβον καὶ προσηγόρευσαν, καθίσαντες διωμίλουν. Λόγου δὲ ἀρξάμενος ὁ Βαρλαὰμ, « Καλῶς ἦλθες », ἔλεγε, « τέκνον ἠγαπημένον, τέκνον Θεοῦ καὶ κληρονόμε τῆς ἐπουρανίου βασιλείας διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃν ἠγάπησας, ὃν ἐπόθησας δικαίως ὑπὲρ τὰ πρόσκαιρα καὶ φθαρτά· καὶ, ὡς ἐχέφρων ἔμπορος καὶ σοφὸς (2), πάντα πωλήσας, τὸν ἀτίμητον ἐξωνήσω μαργαρίτην (3), καὶ, τῷ ἀσύλῳ ἐντυχὼν θησαυρῷ κεκρυμμένῳ (4) ἐν τῷ ἀγρῷ τῶν

(1) A, περιλαβόντες καί. C, περ. δὲ καί. Mutavi δὲ in τε. Quæ voculæ sæpius sibi nocent. Libanius t. IV, pag. 1051 : τῶν δὲ συνήθων ὅστις προσῆλθε βοηθήσων, οὔτ' ἐγνωρίζετο, δυσμενοῦς τε ἔργον ἐδόκει ποιεῖν. Cod. 1000, δυσμ. δὲ, quod malum est, ni, pro οὔτ', οὐκ scribatur.

(2) A sine καὶ σοφός. Rursus ea omissione monitus, aliam eamque majorem in Choriciana de Summo oratione supplebo, sic edita, § 25 : ἐπεὶ δὲ Λακεδαιμονίων ἐμνήσθην, νόμος ἐστὶν ἐκείνοις ἀρχαῖος ἐπὶ τὸν ἤδη πολλαῖς ἀβρυνόμενον ἀριστείαις βραχυλογεῖν, κἂν μέγα τι διαπράξηται· ἕπομαι τῷ νόμῳ τῆς Σπάρτης. Codd. regii : ... ἀρχαῖος τὸν ἤδη π. ἁ. ἀριστείαις, κἂν μ. τ. δ., βραχέος ἐπαίνου τυχεῖν, ὅτι, φησὶν ὁ νόμος, σύνηθες τούτῳ πράττειν μεγάλα· ἕπομαι... Quæ ante oculos habuit latinus interpres.

(3) Confer pag. 40, 2. Ad Aristænetum p. 258 adjectivum ἀτίμητον ex priore loco notatu dignum significabam.

(4) Bina epitheta ἀσύλῳ κεκρυμμένῳ faciunt ut Agathiæ meminerim Epigr. 42 : Οὔπω ἐπισταμένην τάχα κύμβαλα χερσὶ τινάξαι Βάκχην αἰδομένην στήσατο λαοτύπος. Ibi ad bina epitheta offendebant teretes nimium editoris præstantissimi aures, atque plus æquo conjecturæ Heynianæ, ἐπισταμέναις, tribuisse videtur. Sed, quod ad rem magis pertinet, notanda imitatio verborum Matthæi XIII, 44. ... ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος,.... πάντα ὅσα ἔχει πωλεῖ, καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον· πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ, ζητοῦντι καλοὺς μαργαρίτας· εὑρὼν δὲ ἕνα πολύτιμον μαργαρίτην, ἀπελθὼν πέπρακε πάντα ὅσα εἶχε καὶ ἠγόρασεν αὐτόν.

ἐντολῶν τοῦ Κυρίου, πάντα δέδωκας, μηδενὸς φεισάμενος τῶν ὅσον οὔπω παρερχομένων, ἵνα τὸν ἀγρὸν ἐκεῖνον ἀγοράσῃς ἑαυτῷ. Δώῃ σοι Κύριος ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, ἀντὶ τῶν φθαρτῶν (1) τὰ ἄφθαρτα καὶ μὴ παλαιούμενα. Εἰπὲ οὖν μοι, φίλτατε, πῶς ἐνταῦθα παρεγένου, πῶς μετὰ τὴν ἐμὴν ἄφιξιν γέγονε τὰ κατὰ σέ, καὶ εἰ ἔγνω τὸν Θεὸν ὁ σὸς πατήρ, ἢ καὶ εἰσέτι, τῇ προτέρᾳ φερόμενος ἀφροσύνῃ, ὑπὸ τῆς τῶν δαιμόνων ἀπάτης αἰχμαλωτίζεται.»

Ταῦτα τοῦ Βαρλαὰμ εἰρημένου, ἀναλαβὼν ὁ Ἰωάσαφ τὸν λόγον, ὅσα μετὰ τὴν ἐκείνου ἀποδημίαν γέγονεν αὐτῷ, καὶ ὅσα Κύριος εὐώδωσε μέχρι τῆς αὖθις συνελεύσεως αὐτῶν, πάντα κατὰ μέρος διῄει. Ὁ δὲ γέρων, ἀκούων σὺν ἡδονῇ καὶ θαύματι, θερμῶς δακρύων, ἔλεγε· «Δόξα σοι, ὁ Θεὸς ἡμῶν, ὁ ἀεὶ παριστάμενος καὶ βοηθῶν τοῖς ἀγαπῶσί σε. Δόξα σοι, Χριστέ, βασιλεῦ τῶν ἁπάντων καὶ Θεὲ πανάγαθε, ὅτι εὐδόκησας τὸν σπόρον, ὃν ἐν τῇ ψυχῇ κατέβαλον (2) τοῦ δούλου σου Ἰωάσαφ, οὕτως ἑκατοστεύοντα καρπὸν ἐνεγκεῖν (3), ἐπάξιον σοῦ τοῦ γεωργοῦ καὶ δεσπότου τῶν ἡμετέρων ψυχῶν. Δόξα σοι, παράκλητε ἀγαθέ, τὸ πανάγιον Πνεῦμα, ὅτι ἧς ἔδωκας χάριτος τοῖς ἁγίοις σου Ἀποστόλοις, ταύτης (4) μετασχεῖν κατηξίωσας τοῦτον, καὶ πολυάνθρωπα πλήθη τῆς δεισιδαίμονος δι' αὐτοῦ ἠλευθέρωσας πλάνης καὶ τῇ ἀληθινῇ ἐφώτισας θεογνωσίᾳ.»

Οὕτω παρ' ἀμφοτέρων ηὐχαριστεῖτο ὁ Θεός. Καὶ τοιαῦτα ὁμιλούντων καὶ τῇ τοῦ Θεοῦ ἀγαλλιωμένων

(1) C, δώῃ σ. κ. ἀ. τῶν φθαρτῶν, mediis omissis.

(2) A, καπβάλου.

(3) Conferantur similia pag. 40, 3.

(4) C, ταύτην.

χάριτι, κατελάμβανεν ἡ ἑσπέρα. Καὶ δὴ πρὸς εὐχὴν ἀναστάντες τὰς συνήθεις ἐτέλουν λειτουργίας.

Εἶτα καὶ τροφῆς μνησθέντες (1), παρετίθει πολυτελῆ ὁ Βαρλαὰμ τράπεζαν, τῆς πνευματικῆς πεπληρωμένην καρυκείας, αἰσθητῆς δὲ ἥκιστα μετέχουσαν παρακλήσεως. Λάχανα γὰρ ἦσαν ὠμὰ, ὧν αὐτουργὸς καὶ γεωργὸς ἦν ὁ γέρων, καὶ φοίνικες ὀλίγοι ἐν τῇ αὐτῇ εὑρισκόμενοι ἐρήμῳ, καὶ ἄγριαι βοτάναι. Εὐχαριστήσαντες οὖν, καὶ τῶν παρατιθεμένων μεταλαβόντες, καὶ ὕδωρ ἐκ τῆς παρατυγχανούσης πηγῆς πιόντες, τῷ ἀνοίγοντι χεῖρα καὶ ἐμπιπλῶντι πᾶν ζῶον (2) αὖθις ηὐχαρίστουν Θεῷ.

Ἀναστάντες δὲ πάλιν, καὶ τὰς νυκτερινὰς πληρώσαντες εὐχὰς, τῆς πνευματικῆς πάλιν μετὰ τὴν εὐχὴν ἥπτοντο ὁμιλίας, λόγους σωτηρίους καὶ τῆς οὐρανίου πεπληρωμένους φιλοσοφίας (3) παρ' ὅλην διεξερχόμενοι τὴν νύκτα, ἕως αὐτοὺς ὄρθρος τῶν συνήθων αὖθις μνησθῆναι εὐχῶν (4) πεποίηκεν.

Ἔμεινε δὲ Ἰωάσαφ μετὰ τοῦ Βαρλαὰμ ἱκανοὺς οὑτωσὶ χρόνους, τὴν θαυμαστὴν ταύτην καὶ ὑπὲρ ἄνθρωπον μετερχόμενος πολιτείαν, καὶ ὡς πατρὶ τούτῳ καὶ παιδευτῇ μεθ' ὅσης συμπαραμαρτῶν αὐτῷ ὑποταγῆς καὶ ταπεινώσεως, καὶ πρὸς πᾶσαν ἰδέαν γυμναζόμενος ἀρετῆς, ἄριστά τε παιδευόμενος τὴν πάλην τῶν πονηρῶν καὶ ἀοράτων Πνευμάτων. Ἐντεῦθεν τὰ μὲν πάθη ἐθανάτωσε πάντα· τὸ φρόνημα δὲ τῆς

(1) Philo, De vita cont. p. 894: ἔνιοι δὲ καὶ διὰ τριῶν ἡμερῶν ὑπομιμνήσκονται τροφῆς. Quæ sunt conferenda cum loco simili supra p. 104, ubi et de loquutione egi.

(2) Psalm. CXLIV, 16: ἀνοίγεις σὺ τὰς χεῖράς σου καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας.

(3) C, σοφίας.

(4) C sine εὐχῶν.

σαρκὸς οὕτω καθυπέταξε τῷ πνεύματι, ὡς δοῦλον δεσπότῃ, τρυφῆς καὶ ἀναπαύσεως ἐπιλαθόμενος πάντη, τῷ ὕπνῳ δὲ ὡς κακῷ προστάσσων οἰκέτῃ. Καὶ, ἁπλῶς εἰπεῖν, τοσοῦτος ἦν αὐτῷ ὁ ἀγὼν τῆς ἀσκήσεως, ὡς καὶ αὐτὸν θαυμάζειν τὸν πολλοὺς ἐν ταύτῃ χρόνους διενεγκόντα Βαρλαὰμ, καὶ τῆς καρτερίας αὐτῷ ἡττᾶσθαι ἐνστάσεως. Τοσοῦτον μὲν γὰρ τῆς σκληρᾶς ἐκείνης καὶ ἀπαρακλήτου μετελάμβανε βρώσεως, ὅσον ἀποζῆν μόνον, καὶ μὴ βιαίως θανόντα τοὺς μισθοὺς ζημιωθῆναι τῆς τῶν καλῶν ἐργασίας. Οὕτω δὲ εἰς τὸ ἀγρυπνεῖν τὴν φύσιν ὑπέταξεν, ὡς ἄσαρκός τίς (1) καὶ ἀσώματος. Εὐχῆς δὲ αὐτῷ καὶ τῆς νοερᾶς ἐργασίας ἄληκτον τὸ ἔργον ἦν καὶ ἅπας ὁ τῆς ζωῆς χρόνος εἰς θεωρίας ἀνηλίσκετο πνευματικάς τε καὶ οὐρανίους, ὡς μὴ ὥραν, μὴ στιγμὴν αὐτὸν τοπαράπαν ζημιωθῆναι, ἀφ' οὗπερ τὴν ἔρημον ᾤκησε ταύτην. Τοῦτο γὰρ ἔργον μοναχικῆς τάξεως, τὸ μηδέποτε ἀργὸν τῆς πνευματικῆς ἐργασίας εὑρεθῆναι· ὃ δὴ καλῶς κατώρθωσεν ὁ γενναῖος καὶ εὐσταλὴς σταδιοδρόμος τῆς οὐρανίου πορείας. Καὶ ἄσβεστον αὐτοῦ τὴν θέρμην ἐφύλαξεν ἀπ' ἀρχῆς μέχρι τέλους, ἀναβάσεις ἀεὶ ἐν καρδίᾳ τιθέμενος, καὶ ἐκ δυνάμεως εἰς ὑψηλοτέραν μεταβαίνων δύναμιν, πόθῳ πόθον καὶ σπουδὴν σπουδῇ διηνεκῶς προστιθεὶς, ἕως ἔφθασεν εἰς τὴν ἐλπιζομένην καὶ ποθουμένην μακαριότητα.

(1) C sine τίς. Lucianus D. Mar. VI, 3 : ἀνδραποδιστὴς εἶ. Melius codex 1310, ἀνδρ. τις εἶ. Libanius, t. IV, p. 217 : μανίαν τὸ πρᾶγμα ἡγούμην, εἰ, ζῆν ἐξὸν, αἱρεῖταί τις ἀποθανεῖν, καὶ ὃ τοῖς κακούργοις εἰς τιμωρίαν ὥρισται, τοῦτο κέρδος ἡγεῖται λαβεῖν. Codex 3017, κέρδος τις ἡγ. quo pronomine facile carebit sententia. Statim sophista : νυνὶ δὲ ὡς ἔγνων.... ὅτι τοῦτο τὸ τοῦ θανάτου περισπούδαστον. Illud ὡς, quod valde molestum est, abest omnino codice eodem.

Οὕτως οὖν ἀλλήλοις συνόντες Βαρλαάμ τε καὶ Ἰωάσαφ, καὶ τὴν καλὴν ἅμιλλαν ἁμιλλώμενοι, ἐκτὸς πάσης μερίμνης καὶ πάσης βιωτικῆς ὄντες ταραχῆς, ἀνεπιθόλωτόν τε τὸν νοῦν κεκτημένοι καὶ ἀμιγῆ πάσης συγχύσεως, μετὰ τοὺς πολλοὺς δὲ αὐτῶν ὑπὲρ εὐσεβείας καμάτους, ἐν μιᾷ τῶν ἡμερῶν προσκαλεσάμενος τὸν πνευματικὸν υἱὸν, ὃν διὰ τοῦ εὐαγγελίου ἐγέννησε (1), λόγου ἥπτετο καὶ ὁμιλίας πνευματικῆς, « Πάλαι » λέγων, « ὦ φίλτατε Ἰωάσαφ, ἐν ταύτῃ σε τῇ ἐρήμῳ κατοικεῖν ἔδει· καὶ τοῦτό μοι ὁ Χριστὸς προσευχομένῳ περὶ σοῦ ἐπηγγείλατο πρὸ τῆς τοῦ βίου τελευτῆς ὄψεσθαι. Εἶδον οὖν ὡς ἐπεθύμουν· εἶδόν σε ἀποῤῥαγέντα μὲν κόσμου καὶ τῶν ἐν κόσμῳ, συναφθέντα δὲ τῷ Χριστῷ ἀδιστάκτῳ τῇ γνώμῃ, καὶ εἰς μέτρον ἐλθόντα τελειότητος τοῦ πληρώματος αὐτοῦ. Νῦν οὖν ἐπειδή μοι ὁ τῆς ἀναλύσεως καιρὸς ἐπὶ θύραις, καὶ ἡ σύντροφος καὶ ἡλικιῶτις ἐπιθυμία τοῦ συνεῖναι τῷ Χριστῷ διὰ παντὸς ἤδη πληροῦται, σὲ μὲν δεῖ καλύψαι μου τὸ σῶμα τῇ γῇ καὶ τὸν χοῦν ἀποδοῦναι τῷ χοΐ (2), μεῖναι δὲ τοῦ λοιποῦ ἐν τῷδε τῷ τόπῳ τῆς πνευματικῆς ἐχόμενον πολιτείας καὶ τῆς ἐμῆς μνείαν ποιούμενον μετριότητος. Δέδοικα γὰρ μή ποτε ἡ ζοφερὰ τῶν δαιμόνων πληθὺς τῇ ψυχῇ μου ἐμποδὼν καταστῇ διὰ τὸ πλῆθος τῶν ἐμῶν ἀγνοημάτων. Σὺ οὖν, τέκνον, μὴ ὀλιγωρήσῃς τὸ ἐπίπονον τῆς ἀσκήσεως, μηδὲ δειλιάσῃς τὸ μῆκος τοῦ χρόνου καὶ τὰς ἐπιβουλὰς τῶν δαιμόνων· ἀλλὰ τούτων μὲν τῆς ἀσθενείας, τῇ τοῦ Χριστοῦ ῥωννύμενος χάριτι, τολμηρῶς καταγέλα, πρὸς δὲ τὴν σκληρότητα τῶν πόνων καὶ τὸ

(1) Conf. p. 185, n. 3. (2) Conf. t. 1, p. 95, n. 2.

τοῦ χρόνου διάστημα οὕτως ἔσο, ὡς καθ' ἡμέραν τὴν ἐντεῦθεν ἀνάλυσιν προσδοκῶν, καὶ ὡς ἀρχὴν εἶναί σοι τῆς ἀσκήσεως τὴν αὐτὴν ἡμέραν καὶ τέλος. Οὕτως ἀεὶ τῶν μὲν ὀπίσω ἐπιλανθανόμενος, πρὸς τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατασκοπῶν δίωκε τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ, καθάπερ ὁ θεῖος Ἀπόστολος παρακελεύεται, « Μὴ ἐκκακῶ» μεν » λέγων (1)· « ἀλλ' εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος » διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ » ἡμέρᾳ· τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως » ἡμῶν καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος » δόξης κατεργάζεται ἡμῖν, μὴ σκοπούντων ἡμῶν τὰ » βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ γὰρ βλε» πόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια. »

« Ταῦτα λογιζόμενος, ἀγαπητὲ, ἀνδρίζου καὶ ἴσχυε, καὶ ὡς καλὸς στρατιώτης σπούδαζε τῷ στρατολογήσαντι ἀρέσαι (2). Κἂν λογισμούς σοι ὀλιγωρίας ὁ πονηρὸς φέρῃ καὶ τὸν τόνον ὑποχαλᾷν τῆς προθέσεως σπεύδῃ, μὴ φοβοῦ αὐτοῦ τὰς ἐπιβουλὰς, τὸ δεσποτικὸν ἐννοῶν πρόσταγμα, « Ἐν τῷ κόσμῳ θλίψιν » ἕξετε », λέγοντος (3)· « ἀλλὰ θαρσεῖτε· ἐγὼ νενί» κηκα τὸν κόσμον. » Διὸ « χαῖρε (4) ἐν Κυρίῳ πάν» τοτε », ὅτι ἐξελέξατό σε καὶ διεχώρισεν (5) ἐκ τοῦ κόσμου καὶ ἔθετο ὡς ἐν προσώπῳ αὐτοῦ. Αὐτὸς δὲ, ὁ καλέσας σε κλήσει ἁγίᾳ, ἐγγύς ἐστιν ἀεί. « Μηδὲν (6) » μερίμνα· ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει

(1) II Epist. ad Cor. IV, 16.

(2) II Epist. ad Tim. II, 3: ... κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ· οὐδεὶς στρατιώτης ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ.

(3) Joann. XVI, 33.

(4) Epist. ad Philipp. IV, 4.

(5) C, διεχώρησεν.

(6) Ibid. IV, 6.

» μετὰ εὐχαριστίας τὰ αἰτήματα σου γνωριζέσθω » πρὸς τὸν Θεόν. Αὐτὸς (1) γὰρ εἴρηκεν· οὐ μή σε ἀνῶ, » οὐδ' οὐ μή σε ἐγκαταλίπω. » Οὕτως μὲν οὖν ἐν τῇ σκληρότητι τῆς ἀγωγῆς καὶ τῇ ὀλιγωρίᾳ τῆς ἀσκήσεως τοιούτους κτώμενος λογισμοὺς, εὐφραίνου, μεμνημένος Κυρίου τοῦ Θεοῦ ἡμῶν· « ἐμνήσθην » γάρ φησι (2), « τοῦ Θεοῦ, καὶ εὐφράνθην. »

« Ὅταν δὲ πάλιν ὁ ἐξ ἐναντίας ἄλλον σοι τρόπον ἐπινοῇ πολέμων, ὑψηλόφρονας προβάλλων λογισμοὺς, καὶ τὴν δόξαν ὑποδεικνύων τῆς τοῦ κόσμου βασιλείας ἧς καταλέλιπες (3), καὶ τὰ λοιπὰ τὰ ἐν τῷ κόσμῳ, τὸν σωτήριον πρόβαλλε λόγον, ὡς θυρεὸν (4), τὸν φάσκοντα· « Ὅταν (5) ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, » λέγετε ὅτι ἀχρεῖοι δοῦλοι ἐσμὲν, ὅτι ὃ ὀφείλομεν » ποιῆσαι πεποιήκαμεν. » Ἀλλὰ καὶ τίς ἐξ ἡμῶν δύναται τὴν ὀφειλὴν ἐκτίσαι ἣν ὀφείλομεν τῷ δεσπότῃ, ὑπὲρ ὧν « δι' ἡμᾶς (6) ἐπτώχευσε, πλούσιος ὢν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν », καὶ ἔπαθεν ὁ ἀπαθὴς, ἵνα τῶν παθῶν ἡμᾶς ἐλευθερώσῃ; ποία γὰρ χάρις δούλῳ ὅμοια τῷ δεσπότῃ παθεῖν; ἡμεῖς δὲ πολλὰ τῶν αὐτοῦ ὑστερούμεθα παθημάτων. »

(1) Epist. ad Hebr. IV, 5.

(2) Psalm. LXXVI, 3.

(3) C, ἣν καταλέλοιπας. Præstat in talibus relativi quam dicunt attractio. Libanius t. I, p. 220 : παρὰ τούτων ἴσως ἐπαίνους ἐπὶ ταῖς ὕβρεσιν, ἃς ὑβρίζεις, ἀκούεις. Præstat codicis 1000 lectio, αἷς. Cf. Notit. Mss. t. XI, II, p. 76.

(4) Cf. Epist. ad Ephes. VI, 16.

(5) Luc. XVII, 10. Hæc Christi verba superbiæ remedium adhiberi jubet et Nilus De octo vitiis p. 212 : διὰ, τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν, « ὅταν ποιήσητε.... ἐσμέν· » μονονουχὶ λέγων· ὅτι ἐπειστέναι μέλλῃ τὸ θηρίον, τότε διὰ τῶν ῥημάτων τούτων ἀποκλείετε τὰς θύρας αὐτῷ. Male jungitur ὅτι cum μέλλῃ. Rescribas ὅταν, ut est in cod. 39, quod neglexisse Cotelerium miror Monum. t. III, qui eo libro utebatur.

(6) II Epist. ad Cor. VIII, 9.

« Ταῦτα ἐννόει, λογισμοὺς (1) καθαίρων καὶ πᾶν » ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, » καὶ αἰχμαλωτίζων πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ » Χριστοῦ· καὶ ἡ εἰρήνη (2) τοῦ Θεοῦ, ἡ ὑπερέχουσα » πάντα νοῦν, φρουρήσει τὴν καρδίαν καὶ τὰ νοήματά » σου ἐν Χριστῷ Ἰησοῦ. »

Τούτων ὑπὸ τοῦ μακαρίου Βαρλαὰμ λεχθέντων, ἡ ῥοὴ τῶν δακρύων τοῦ Ἰωάσαφ μέτρον οὐκ εἶχεν, ἀλλ', ὡς ἐκ πηγῆς πολυχεύμονος βρύουσα, ὅλον αὐτὸν καὶ τὴν γῆν ἐν ᾗ ἐκάθητο κατέβρεχεν. Ὀδυρόμενος δὲ τὸν χωρισμὸν, ἠξίου μάλα θερμῶς συνοδοιπόρος αὐτῷ τῆς τελευταίας πορείας γενέσθαι, καὶ μηκέτι παραμεῖναι τῷ βίῳ μετὰ τὴν ἐκείνου ἐκδημίαν, « Διὰ τί » λέγων, « τὸ σεαυτοῦ ζητεῖς μόνον, ὦ πάτερ, καὶ μὴ καὶ τὸ τοῦ πλησίον; πῶς δὲ τὴν τελείαν ἐν τούτῳ πληροῖς ἀγάπην κατὰ τὸν εἰπόντα, « Ἀγαπήσεις (3) τὸν πλησίον σου ὡς σεαυτόν », πρὸς ἀνάπαυσιν μὲν καὶ ζωὴν αὐτὸς ἀπαίρων, εἰς θλίψιν δὲ καὶ ταλαιπωρίαν ἐμὲ καταλιμπάνων, καὶ, πρὶν καλῶς ἐγγυμνασθῆναι τοῖς ἄθλοις τῆς ἀσκήσεως καὶ τῶν πολεμίων μαθεῖν τὰς πολυτρόπους ἐφόδους, πρὸς μονομαχίαν με τῆς αὐτῶν παρατάξεως προβαλλόμενος; ἵνατί γένηται ἄλλο, εἰ μὴ βληθῆναί με ταῖς κακοτρόποις αὐτῶν μηχαναῖς, καὶ ἀποθανεῖν οἴμοι! τὸν ψυχικὸν ὄντως καὶ αἰώνιον θάνατον; ὅπερ τοῖς ἀπείροις καὶ δειλοῖς συμβαίνειν πέφυκε μοναχοῖς (4). Ἀλλὰ δεήθητι τοῦ Κυρίου, δυσωπῶ, συνέκ-

(1) II Epist. ad Cor. x, 5.
(2) Epist. ad Philipp. IV, 7.
(3) Conf. p. 328, n. 2.
(4) C, μοναχοῖς. A, μονομάχοις. Hoc Trapezuntius vertit, illud Billyus.

δημον κἀμὲ τοῦ βίου λαβεῖν. Ναὶ, πρὸς αὐτῆς τῆς ἐλπίδος ἧς ἔχεις ἀπολαβεῖν τοῦ καμάτου τὸν μισθὸν, δεήθητι μηδεμίαν ἡμέραν μετὰ τὸν σὸν χωρισμὸν παροικεῖν τῷ βίῳ, καὶ εἰς τὸ πέλαγος ταύτης πλανᾶσθαι τῆς ἐρήμου. »

Ταῦτα τοῦ Ἰωάσαφ σὺν δάκρυσι λέγοντος, ὁ γέρων πράως ἀνακόπτων καὶ ὁμαλῶς, « Οὐκ ὀφείλομεν, » τέκνον », ἔφη, « τοῖς ἀνεφίκτοις κρίμασι τοῦ Θεοῦ ἀνθίστασθαι. Ἐγὼ γὰρ πολλὰ δεηθεὶς περὶ τούτου, καὶ τὸν ἀβίαστον δεσπότην βιασάμενος τοῦ μὴ χωρισθῆναι ἡμᾶς ἀπ' ἀλλήλων, ἐδιδάχθην παρὰ τῆς αὐτοῦ ἀγαθότητος ὡς οὐκ ἔστι συμφέρον σε νῦν τὸ ἄχθος τῆς σαρκὸς ἀποθέσθαι· ἀλλὰ παραμεῖναι δεῖ τῇ ἀσκήσει, ἕως λαμπρότερον ἑαυτῷ τὸν στέφανον πλέξῃς. Οὐ γὰρ ἀρκούντως ἀκμὴν ἠγωνίσω πρὸς τὴν ἡτοιμασμένην σοι μισθαποδοσίαν· ἀλλὰ δεῖ σε κοπιάσαι μικρὸν, ἵνα χαίρων εἰσέλθῃς εἰς τὴν χαρὰν τοῦ κυρίου σου (1). Ἐγὼ γὰρ ἐγγύς που τῶν ἑκατὸν λοιπὸν εἰμὶ χρόνων, διατελέσας ἐν τῇ ἐρήμῳ ταύτῃ ἐνιαυτοὺς ἤδη πέντε καὶ ἑβδομήκοντα· σοὶ δὲ, εἰ καὶ τοσοῦτον οὐκ ἐκταθήσεται ὁ χρόνος, ἀλλὰ πλησίον που γενέσθαι δεῖ, καθὼς κελεύει ὁ Κύριος, ἵν' ἐφάμιλλος ἀναδειχθῇς, καὶ μηδὲν ὅλως ὑστερούμενος τῶν βαστασάντων τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα (2). Δέχου τοίνυν, ὦ φιλότης (3), τὰ τῷ Θεῷ δεδογμένα ἀσμένως· ἃ γὰρ αὐτὸς βεβούλευται τίς ἱκανὸς ἀνθρώπων διασκεδάσαι; καὶ καρτέρει τῇ ἐκείνου φυλαττόμενος

(1) Matth. xxv, 23: εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου.

(2) Matth. xx, 12: ἴσους ἡμῖν αὐτοὺς ἐποίησας τοῖς βαστάσασι τὸ βάρος τῆς.....

(3) A, ad marg.: γράφ. φίλ-

χάριτι. Νῆφε δὲ ἀεὶ πρὸς τοὺς ἐναντίους λογισμοὺς, καὶ τὴν καθαρότητα τοῦ νοὸς, ὥσπερ τινὰ θησαυρὸν πολύτιμον, ἄσυλον διατήρει, πρὸς ὑψηλοτέραν ἐργασίαν καὶ θεωρίαν ἐμβιβάζων ἑαυτὸν ἡμέραν καθ' ἡμέραν, ἵνα πληρωθῇ ἐπὶ σοὶ ὃ τοῖς φίλοις αὐτοῦ ὁ Σωτὴρ ἐπηγγείλατο, « Ἐάν τις ἀγαπᾷ με », λέγων (1), « τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει » αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' » αὐτῷ ποιήσομεν. »

Ταῦτα εἰπὼν ὁ γέρων, καὶ πολλῷ πλείονα τῆς ἡγιασμένης αὐτοῦ ψυχῆς καὶ θεολόγου γλώττης ἐπάξια, τὴν ἀνιωμένην τοῦ Ἰωάσαφ ψυχὴν παρεμυθεῖτο. Εἶτα πρός τινας ἐκπέμπει αὐτὸν ἀδελφοὺς, ἐκ πολλοῦ διαστήματος τὴν οἴκησιν ἔχοντας τοῦ ἀγαγεῖν τὰ πρὸς τὴν ἱερὰν θυσίαν ἁρμόδια.

Καὶ δὴ ἀναζωσάμενος ὁ Ἰωάσαφ λίαν τάχιστα τὴν διακονίαν πληροῖ· ἐδεδίει γὰρ μή πως ἀπόντος αὐτοῦ τὴν ὀφειλὴν ὁ Βαρλαὰμ τῆς φύσεως ἀποδῷ, καὶ, τὸ πνεῦμα παραθεὶς τῷ Κυρίῳ, ζημίαν αὐτῷ τὴν χαλεπὴν ἐπενέγκοι, μὴ ῥημάτων, μὴ προσφθεγμάτων ἐξοδίων, μὴ εὐχῶν, μὴ εὐλογιῶν τῶν ἐκείνου, τυγχάνοντι.

Οὕτω δὲ ἀνδρικώτατα διελθόντος αὐτοῦ τὴν μακρὰν ὁδὸν ἐκείνην καὶ τὰ τῆς ἱερᾶς θυσίας ἐνεγκόντος, προσφέρει τῷ Θεῷ τὴν ἀναίμακτον θυσίαν ὁ θειότατος Βαρλαάμ. Καὶ κοινωνήσας αὐτὸς, μετα-

ται. De formula, ὦ φιλότης, vide Schol. Plat. p. 55; Græv. ad Luc. Rhet. præc. 14; not. ad Aristæn. 1, 16, p. 467; Wernsd. ad Himerii verba p. 508: ταῦτα ὑμῖν, ὦ φιλότης, φιλοξενίας τὰ χαριστήρια. Ibi quidem ego prætulerim scripturæ varietatem, ὦ φίλοι, τῆς φιλ.

(1) Joann. XIV, 23.

δοὺς δὲ καὶ τῷ Ἰωάσαφ τῶν ἀχράντων τοῦ Χριστοῦ μυστηρίων, ἠγαλλιάσατο τῷ πνεύματι (1).

Καὶ τῆς συνήθους μεταλαβόντες τροφῆς, ψυχωφελέσι λόγοις τὴν ψυχὴν αὖθις ἔτρεφε τοῦ Ἰωάσαφ, «Οὐκ ἔτι» λέγων, «ἡμᾶς, ὦ φίλτατε υἱὲ, συνάγῃ ἐν τῷ βίῳ τούτῳ εἰς ἓν ἑστία καὶ τράπεζα· πορεύομαι γὰρ ἤδη τὴν τελευταίαν ὁδὸν τῶν πατέρων μου (2). Χρὴ οὖν σε τὸ πρὸς ἐμὲ φίλτρον διὰ τῆς φυλακῆς τῶν τοῦ Θεοῦ ἐντολῶν, καὶ τῆς ἐν τῷδε τῷ τόπῳ μέχρι τέλους καρτερίας, ἐπιδείξασθαι, πολιτευόμενος καθὼς ἔμαθες καὶ ἐδιδάχθης, καὶ μεμνημένος διὰ παντὸς (3) τῆς ταπεινῆς καὶ ῥαθύμου μου ψυχῆς. Χαρᾷ οὖν χαῖρε, καὶ τῇ ἐν Χριστῷ ἀγαλλιάσει (4) εὐφραίνου, ὅτι τῶν ἐπιγείων καὶ φθαρτῶν ἀντηλλάξω τὰ αἰώνιά τε

(1) Conf. p. 168, 1

(2) Multa loca e libris sacris ac profanis de necessaria illa et ultima πορείᾳ contulit auctor Sacr. Observ. c. 7, in Ikenianis Symbolis tom. 3, p. 329. Adde Wyttenb. ad Plut. p. 791; Heyler. ad Jul. Epist. 58, p. 430; Palairet. ad Luc. XXII, 22, ubi ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου πορεύεται κατὰ τὸ ὡρισμένον. Antiphanes Stob. tit. 124, 27: Οὐ γὰρ τεθνᾶσιν, ἀλλὰ τὴν αὐτὴν ὁδὸν, Ἣν πᾶσιν ἐλθεῖν ἐστ' ἀναγκαίως ἔχον, Προεληλύθασιν. Ælianus fragm. p. 105[illegible]: ὅτε ἔμελλε τὴν ἐπιτηδειοτάτην οἱ καὶ τελευταίαν ὁδὸν ἰέναι. Auctor Axiochi, c. 20: τὸ θάῤῥος τῆς ἐκεῖσε πορείας. Asterius Hom. in avar. p. 41: σοὶ μὲν γὰρ ἀκολουθήσει πικρὸν ἐφόδιον ἡ ἁμαρτία τὴν ἀναγκαίαν πορευομένῳ πορείαν. Conf. Agath. Hist. v, pag. 157; et supra pp. 196, n. 2; 353, 12.

(3) Epigramma tangam Anth. Pal. XII, 61, quod illa loquutio mihi in memoriam revocat, præfatus veniam quod fœda sacris verbis verba misceam: Ἄθρει μοι διὰ παντός· ὅλαν κατέπρηξ' Ἀρίβαζος Τὰν Κνίδον· ἁ πέτρα θρυπτομένα φέρεται. Offendunt viri d. ad primum hemistichium, quod corrigunt; facillimum tamen ac nitidissimum, modo sic distinguatur: Ἄθρει μοι· διὰ παντὸς ὅλαν κ.: « aspice mi; totam omnino incen» dit Aribazus Cnidum. » Fuit Aribazus ille καταφλεξίπολις, ut Sthenelais illa de qua Epigr. Inc. 55. Poterat etiam servari, quæ memorata est, Vaticani scriptura, κατάπηξ'.

(4) C, τὴν ἐν κυρίῳ ἀγαλλίασιν.

καὶ ἄφθαρτα, καὶ ὅτι ἐγγίζει ὁ μισθὸς τῶν ἔργων σου, καὶ ὁ μισθαποδότης ἤδη πάρεστιν, ὃς ἥξει τὸν ἀμπελῶνα ἰδεῖν ὃν ἐγεώργησας (1) καὶ πλουσίως σοι τὸν μισθὸν τῆς γεωργίας παρέξει. « Πιστὸς γὰρ ὁ λό-» γος » (2) καὶ πάσης ἀποδοχῆς ἄξιος, καθὼς ὁ θεσπέσιος βοᾷ Παῦλος· « εἰ γὰρ συναπεθάνομεν, » καὶ συζήσομεν· εἰ ὑπομένομεν, καὶ συμβασιλεύσο-» μεν » βασιλείαν τὴν αἰώνιον καὶ ἀτελεύτητον, τῷ φωτὶ καταλαμπόμενοι τῷ ἀπεῤῥίτῳ (3), καὶ τῆς ἐλλάμψεως καταξιούμενοι τῆς μακαρίας ὄντως καὶ ζωαρχικῆς Τριάδος. »

Τοιαῦτα μὲν ὁ Βαρλαὰμ ἕως ἑσπέρας καὶ παρ' ὅλην τὴν νύκτα τῷ Ἰωάσαφ ὡμίλει, ἀκατασχέτοις δάκρυσιν ὀδυρομένῳ καὶ τὸν χωρισμὸν μὴ φέροντι. Ἄρτι δὲ τῆς ἡμέρας διαφαυούσης (4), τὴν πρὸς αὐτὸν ὁμιλίαν διαπεράνας, ἦρεν εἰς οὐρανὸν χεῖράς τε καὶ ὄμματα, καὶ εὐχαριστίαν ἀναπέμψας τῷ Θεῷ, ἔφη·

« Κύριε, ὁ Θεός μου, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, εὐχαριστῶ σοι, ὅτι ἐπεῖδες τὴν ταπείνωσίν μου καὶ ἐν τῇ ὀρθοδόξῳ σου ὁμολογίᾳ καὶ ἐν ὁδῷ τῶν ἐντολῶν σου ἠξίωσας τὸν δρόμον τελέσαι με τῆς ἐνθάδε παροικίας μου. Καὶ νῦν, φιλάγαθε δέσποτα καὶ πανοικτίρμον, δέξαι με εἰς τὰς αἰωνίους σου σκηνὰς (5), καὶ μὴ μνησθῇς ὅσα σοι ἥμαρτον ἐν γνώσει τε καὶ ἀγνοίᾳ. Φύλαξον δὲ καὶ τὸν πιστόν σου δοῦλον τοῦτον, οὗπερ προστῆναί με τὸν ἀχρεῖόν σου ἠξίωσας οἰκέτην· ῥῦσαι αὐτὸν ἀπὸ πάσης ματαιότη-

(1) Respectu ad parabolam patrisfamilias apud Matth. xx.

(2) II Epist. ad. Tim., II, 11.

(3) Conf. p. 44, n. 2.

(4) C, διαφαινούσης.

(5) Conf. p. 17, n. 1.

τος καὶ ἐπηρείας τοῦ ἀντικειμένου, καὶ ὑψηλότερον αὐτὸν ποίησον τῶν πολυπλόκων παγίδων, ὧν εἰς σκάνδαλον ἥπλωσεν ὁ πονηρὸς πάντων τῶν θελόντων σωθῆναι. Ἀφάνισον, παντοδύναμε, πᾶσαν τὴν δύναμιν τοῦ ἀπατεῶνος ἀπὸ προσώπου τοῦ δούλου σου, καὶ δὸς αὐτῷ ἐξουσίαν πατεῖν τὴν ὀλεθροτόκον κάραν τοῦ πολεμίου τῶν ἡμετέρων ψυχῶν. Κατάπεμψον ἐξ ὕψους τὴν χάριν τοῦ Ἁγίου σου Πνεύματος. Καὶ ἐνίσχυσον αὐτὸν πρὸς τὰς ἀοράτους παρατάξεις, ἵνα τὸν τῆς νίκης ἀξιωθῇ παρὰ σοῦ στέφανον δέξασθαι, καὶ δοξασθῇ ἐν αὐτῷ τὸ ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, ὅτι σοι πρέπει δόξα καὶ αἴνεσις εἰς τοὺς αἰῶνας. Ἀμήν. »

Ταῦτα εὐξάμενος, καὶ τὸν Ἰωάσαφ πατρικῶς περιπλυξάμενος, καὶ ἀσπασμὸν αὐτῷ δοὺς ἐν φιλήματι ἁγίῳ, τῷ τύπῳ τε τοῦ σταυροῦ ἑαυτὸν ἐπισφραγισάμενος, καὶ τοὺς πόδας ἐξάρας, καὶ λίαν περιχαρὴς γενόμενος, ὥσπερ τινῶν ἐπιδημησάντων φίλων, πρὸς τὴν μακαρίαν ἀπῆλθε πορείαν, πρὸς τὴν ἐκεῖθεν διελθὼν γεροδοσίαν, πρεσβύτης ὢν καὶ πλήρης ἡμερῶν τῶν τοῦ πνεύματος.

Ὁ δὲ Ἰωάσαφ, περιχυθεὶς τῷ πατρὶ μεθ' ὅσης ἂν εἴποις τῆς εὐλαβείας καὶ οἰμωγῆς, δάκρυσί τε τὸ λείψανον λούσας, καὶ τῷ τριχίνῳ ῥακίῳ, ὅπερ αὐτὸς ἦν ἐν τῷ παλατίῳ παρασχὼν (1), περιελίξας, τοὺς νενομισμένους ἐπιλέγει ψαλμοὺς, διὰ πάσης τῆς ἡμέρας καὶ τῆς νυκτὸς ὅλης ψάλλων ἅμα καὶ δάκρυσι τὸ τίμιον τοῦ μάκαρος βρέχων σῶμα. Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ, τάφον ποιήσας ἐχόμενον (2) τοῦ σπηλαίου, καὶ

(1) Conf. pag. 185. (2) A, ἐχόμενα.

εὐλαβῶς ἄγαν τὸ ἱερὸν λείψανον διαβαστάσας, ἐν τῷ μνήματι κατέθετο τὸν πνευματικὸν πατέρα ὁ καλὸς υἱὸς καὶ τιμιώτατος. Καὶ, θερμότερον ἐκκαυθεὶς τὴν ψυχὴν, εἰς ἐκτενεστέραν τε συντείνας εὐχὴν ἑαυτὸν, ἔφη·

« Κύριε, ὁ Θεός μου, εἰσάκουσον τῆς φωνῆς μου (1) » ἧς ἐκέκραξα· ἐλέησόν με καὶ εἰσάκουσόν μου », ὅτι σε ἐκ καρδίας μου ζητῶ. Ἐξεζήτησέ (2) σε ἡ ψυχή μου· « μὴ ἀποστρέψῃς (3) τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, » καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. Βοηθός » μου γενοῦ »· μὴ ἀποσκορακίσῃς με, καὶ μὴ « ἐγκα» ταλίπῃς με, ὁ Θεὸς, ὁ σωτήρ μου, ὅτι ὁ πατήρ » μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με »· σὺ δὲ, Κύριε, προσλαβοῦ με (4). « Νομοθέτησόν με (5), Κύριε, ἐν » τῇ ὁδῷ σου, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθεία, » ἕνεκα τῶν ἐχθρῶν μου. Μὴ παραδῷς με εἰς ψυχὰς » θλιβόντων με, ὅτι ἐπὶ σὲ (6) ἐπεῤῥίφην ἐκ μήτρας. » Ἀπὸ γαστρὸς μητρός μου Θεός μου εἶ σύ· μὴ ἀπο» στῇς ἀπ' ἐμοῦ, ὅτι πλήν σου οὐκ ἔστιν ὁ βοηθῶν » μοι. » Ἰδοὺ γὰρ εἰς τὸ πέλαγος τῶν οἰκτιρμῶν σου τὴν ἐλπίδα ἐθέμην τῆς ψυχῆς μου· κυβέρνησόν μου τὴν ζωὴν ὁ πᾶσαν τὴν κτῆσιν ἀῤῥήτῳ σοφίας προνοίᾳ κυβερνῶν, καὶ « γνώρισόν μοι (7) ὁδὸν ἐν ᾗ πορεύσο» μαι ». Καὶ σῶσόν με, ὡς ἀγαθὸς Θεὸς καὶ φιλάνθρωπος, εὐχαῖς καὶ πρεσβείαις τοῦ θεράποντός σου Βαρλαὰμ, ὅτι σὺ εἶ ὁ Θεός μου, καὶ σὲ δοξάζω τὸν

(1) Psalm. XXVI, 7.

(2) Ibid. 8 : σοὶ εἶπεν ἡ καρδία μου· ἐξεζήτησε τὸ πρόσωπόν σου.

(3) Ibid. 9. . . .

(4) A, μου. Præstat accusativus. Psalm. ibid. 10 : ὁ δὲ Κύριος προσελάβετό με.

(5) Ibid. 11. . . .

(6) Psalm. XXI, 10, 11.

(7) Psalm. CXLII, 8.

Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. »

Ταῦτα εὐξάμενος, πλησίον τοῦ μνήματος ἐκάθισε κλαίων. Καὶ καθεζόμενος ὕπνωσε. Καὶ ὁρᾷ τοὺς φοβεροὺς ἄνδρας ἐκείνους, οὓς καὶ πρότερον ἑωράκει (1), ἐλθόντας πρὸς αὐτὸν, καὶ ἀπαγαγόντας αὐτὸν εἰς τὴν μεγίστην καὶ θαυμαστὴν ἐκείνην πεδιάδα, καὶ πρὸς τὴν δεδοξασμένην καὶ ὑπέρλαμπρον εἰσαγαγόντες πόλιν. Εἰσερχομένῳ δὲ αὐτῷ τὴν πύλην ἕτεροι ὑπήντουν πολλῷ κατηγλαϊσμένοι φωτὶ, στεφάνους ἔχοντες ἐν χερσὶν ἀῤῥήτῳ διαλάμποντας κάλλει καὶ οἵους ὀφθαλμοὶ οὐδέποτε βρότειοι ἐθεάσαντο. Ἐρομένου δὲ τοῦ Ἰωάσαφ, « Τίνος οἱ στέφανοι τῆς δόξης οἱ ὑπέρλαμπροι, οὓς ὁρῶ »; « Σὸς μὲν ὁ εἷς », ἔφησαν, « ὑπὲρ τῶν πολλῶν σοι ψυχῶν ὧν ἔσωσας κατασκευασθεὶς, κοσμηθεὶς δὲ νυνὶ πλέον ὑπὲρ τῆς ἀσκήσεως ἧς μετέρχῃ, εἴπερ ἀνδρείως ταύτην ἕως τέλους διέλθῃς· ὁ δὲ ἕτερος σὸς μὲν καὶ αὐτός· ἀλλὰ τῷ πατρί σου δεῖ σε τοῦτον παρασχεῖν, τῷ διὰ σοῦ τῆς ὁδοῦ ἐκκλίναντι τῆς πονηρᾶς καὶ μετανοήσαντι γνησίως τῷ Κυρίῳ. » Ὁ δὲ Ἰωάσαφ δυσχεραίνοντι ἐῴκει. Καί, « Πῶς δυνατόν » φησίν, « ἴσων ἐμοῦ, τοῦ τοσαῦτα κοπιάσαντος, τυχεῖν τὸν πατέρα μου δωρεῶν ὑπὲρ μόνης τῆς μετανοίας; »

Εἶπε ταῦτα, καὶ τὸν Βαρλαὰμ εὐθὺς ἐδόκει βλέπειν ὀνειδίζοντα οἱονεὶ, καὶ λέγοντα· « Οὗτοι οἱ λόγοι μου, Ἰωάσαφ, οὕς ποτέ σοι, « Ὅταν ὑπερπλουτήσῃς », ἔλεγον (2), « οὐκ εὐμετάδοτος ἔσῃ »· καὶ αὐτὸς ἠπόρεις ἐπὶ τῷ ῥήματι. Νυνὶ δὲ πῶς ἐδυσχέρανας ἐπὶ τῇ ἰσοτιμίᾳ τοῦ πατρός σου, καὶ οὐ μᾶλλον εὐφραν-

(1) Conf. pag. 280. (2) Conf. pag. 158.

θης τὴν ψυχὴν ὅτι εἰσηκούσθη σοῦ ἡ πολλὴ περὶ αὐτοῦ δέησις; »

Ὁ δὲ Ἰωάσαφ, ὡς εἴθιστο ἀεὶ λέγειν αὐτῷ, « Συγχώρησον », ἔφη, « πάτερ, συγχώρησον. Ποῦ δὲ αὐτὸς οἰκεῖς γνώρισόν μοι ». « Ἐν ταύτῃ » φησί, « τῇ μεγάλῃ καὶ περικαλλεῖ πόλει· οἰκεῖν ἔλαχον ἐν μεσαιτάτῃ τῆς πόλεως πλατείᾳ φωτὶ καταστραπτομένῃ ἀπλέτῳ. » Ἀξιοῦν δὲ αὖθις ὁ Ἰωάσαφ ἐδόκει τὸν Βαρλαὰμ εἰς τὸ ἑαυτοῦ ἀπαγαγεῖν αὐτὸν σκήνωμα καὶ φιλοφρόνως ξεναγῆσαι. Ἀλλ' οὔπω τὸν καιρὸν ἥκειν ἔλεγεν ἐκεῖνος, « πρὸς ἐκεῖνά σε τὰ σκηνώματα ἐλθεῖν, ἔτι τῷ φορτίῳ τοῦ σώματος ὑποκείμενον. Εἴπερ οὖν ἀνδρείως καρτερήσεις, καθάπερ σοι ἐνετειλάμην, ἥξεις μικρὸν ὕστερον, καὶ τῶν αὐτῶν ἀξιωθήσῃ σκηνωμάτων, τῆς αὐτῆς τεύξῃ χαρᾶς τε καὶ δόξης, καὶ συνδιαιωνίζων ἔσῃ μοι. »

Ἔξυπνος δὲ ἐπὶ τούτοις γενόμενος, ὁ Ἰωάσαφ τοῦ φωτὸς ἐκείνου καὶ τῆς ἀρρήτου δόξης εἶχε τὴν ψυχὴν ἔτι (1) πεπληρωμένην, καὶ σὺν πολλῷ τῷ θαύματι τῷ Δεσπότῃ χαριστήριον ἀνέπεμπεν ὕμνον.

Ἔμεινε δὲ μέχρι τέλους τὴν ἀγγελικὴν ἀληθῶς ἐπὶ γῆς ἀνύων διαγωγήν, καὶ σκληροτέρᾳ ἀσκήσει μετὰ τὴν παρέλευσιν τοῦ γέροντος χρώμενος· πέμπτῳ μὲν καὶ εἰκοστῷ τῆς ἡλικίας ἔτει τὴν ἐπίγειον καταλιπὼν βασιλείαν καὶ τὸν ἀσκητικὸν ὑπελθὼν ἀγῶνα, πέντε δὲ καὶ τριάκοντα χρόνους ἐν τῇ πανερήμῳ ταύτῃ ἀσκήσας, ὥσπερ τις ἄσαρκος (2), τὴν ὑπὲρ

(1) A, sine ἔτι. Psellus De dæm. p. 98 : οἷον, ὦ ἑταῖρε, ποιεῖς, ἐκκρεμῆ τὸν λόγον καταλιπών; Codex 39 : .... λόγον ἔτι καταλιπών.

(2) Conf. p. 349, n. 1.

ἄνθρωπον ἄσκησιν, πολλὰς μὲν πρότερον ψυχὰς ἀνθρώπων τοῦ ψυχοφθόρου δράκοντος ἀποσπάσας καὶ τῷ Θεῷ προσαγαγὼν σεσωσμένας, καὶ ἀποστολικῆς ἐν τούτῳ χάριτος ἀξιωθεὶς, μάρτυς δὲ τῇ προαιρέσει γενόμενος, καὶ παῤῥησίᾳ τὸν Χριστὸν ἐνώπιον βασιλέων ὁμολογήσας καὶ τυράννων, καὶ κήρυξ μεγαλοφωνότατος τῆς αὐτοῦ μεγαλειότητος ἀναφανεὶς, πολλὰ δ' αὖ πάλιν πνεύματα πονηρίας ἐν τῇ ἐρήμῳ καταπαλαίσας, καὶ πάντων τῇ τοῦ Χριστοῦ περιγενόμενος δυνάμει. Καὶ τῆς ἄνωθεν πλουσίως μεταλαβὼν δωρεᾶς τε καὶ χάριτος, ἐντεῦθεν κεκαθαρμένον τὸ τῆς ψυχῆς ὄμμα πάσης περιγείου ἀχλύος εἶχεν, ὡς παρόντα δὲ τὰ μέλλοντα προεθεώρει, καὶ Χριστὸς ἦν αὐτῷ ἀντὶ πάντων, Χριστὸν ἐπόθει, Χριστὸν ὡς παρόντα ἑώρα, Χριστοῦ τὸ κάλλος διὰ παντὸς ἐνωπτρίζετο, κατὰ τὸν προφήτην τὸν λέγοντα (1)· « Προωρώμην τὸν Κύριον » ἐνώπιόν μου διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν ἵνα » μὴ σαλευθῶ »· καὶ αὖθις (2)· « Ἐκολλήθη ἡ ψυχή » μου ὀπίσω σου· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. » Ἐκολλήθη γὰρ ὄντως ἡ ψυχὴ αὐτοῦ ὀπίσω τοῦ Χριστοῦ, συναρμοσθεῖσα αὐτῷ ἀῤῥαγεῖ συναφείᾳ. Οὐ μετετράπη τῆς θαυμαστῆς ταύτης ἐργασίας, οὐκ ἠλλοίωσε τὸν κανόνα τῆς ἀσκήσεως ἑαυτοῦ, ἀπ' ἀρχῆς μέχρι τέλους, ἴσην τηρήσας τὴν προθυμίαν ἐκ νεωτέρας μέχρι τῆς τοσαύτης ἡλικίας, μᾶλλον δὲ καὶ εἰς ὑψηλοτέραν ὁσημέραι προκόπτων τὴν ἀρετὴν καὶ καθαρωτέρας ἀξιούμενος θεωρίας. Ἀμέλει τοιαύτην πολιτευσάμενος πολιτείαν καὶ οὕτως ἀξίαν τῆς ἑαυτοῦ κλήσεως ἐργασίαν ἀποδεδωκὼς τῷ καλέσαντι, σταυ-

(1) Psalm. XV, 8. (2) Psalm. LXII, 8.

ρώσας τὸν κόσμον ἑαυτῷ καὶ ἑαυτὸν τῷ κόσμῳ (1), ἐν εἰρήνῃ πρὸς τὸν τῆς εἰρήνης ἀναλύει Θεὸν, καὶ πρὸς τὸν ἀεὶ ποθούμενον ἐκδημεῖ δεσπότην, καὶ τῷ προσώπῳ Κυρίου ἀμέσως καὶ καθαρῶς ἐμφανίζεται, τῷ τῆς ἐκεῖθέν τε δόξης ἤδη προηυτρεπισμένῳ αὐτῷ στεφάνῳ κοσμεῖται, καὶ Χριστὸν βλέπειν καταξιοῦται, Χριστῷ συνεῖναι, Χριστοῦ τῷ κάλλει διὰ παντὸς ἐναγάλλεσθαι, οὗπερ εἰς χεῖρας τὴν ἑαυτοῦ ψυχὴν παραθέμενος (2), ἐν τῇ τῶν ζώντων μετεφοίτησε χώρᾳ (3), ἔνθα ἦχος ἑορταζόντων (4), ἔνθα τῶν εὐφραινομένων ἡ κατοικία (5).

Τὸ δέ γε τίμιον αὐτοῦ σῶμα ἐκ γειτόνων αὐτῷ τὰς οἰκήσεις ποιούμενός τις ἀνὴρ ἅγιος, ὃς καὶ τὴν πρὸς Βαρλαὰμ πορείαν ἐκείνῳ ποτὲ ὑπέδειξε (6), θείᾳ τινὶ μυηθεὶς ἀποκαλύψει κατ' αὐτὴν τὴν ὥραν τῆς τελειώσεως αὐτοῦ παραγίνεται, καὶ ὕμνοις ἱεροῖς τιμήσας, δάκρυά τε κατασπείσας, σύμβολον τοῦ πρὸς αὐτὸν πόθου, τἄλλα δὴ τὰ νενομισμένα χριστιανοῖς πάντα τελέσας, ἐν τῷ τοῦ πατρὸς ἔθετο Βαρλαὰμ μνήματι. Συνεῖναι γὰρ ἔδει τὰ σώματα ὧν αἱ ψυχαὶ συνδιαιωνίζειν ἔμελλον ἀλλήλαις.

Προστάγματι δέ τινος φοβερωτάτου κατ' ὄναρ

(1) Conf. pag. 10, n. 2.

(2) Psalm. XXX, 5: εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου. Hinc color Epigrammatis incerti 688: Ἐνθάδε σῶμα λέλοιπεν Ἀπελλιανὸς μέγ' ἄριστος· Ψυχὴν δ' ἐν χείρεσσιν ἑὴν παρεκάτθετο Χριστῷ. Cf. pp. 324, 3; 355, 19.

(3) Diligens glossator ad marginem scripsit στίχος. Versus est enim purus putus, sed politicus, et idcirco non notabilis. Cf. p. 336.

(4) Psalm. XLI, 4: ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντων.

(5) Psalm. LXXXVI, 7: ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

(6) Cf. pag. 344. — Ceterum syntaxis valde turbata est. Τὸ τίμιον σῶμα jungendum cum ἔθετο, sed plurima intercidunt membra quæ non possunt in ordinem cogi. Forsan θείᾳ τέ τινι μυηθ... — De μυηθεὶς supra p. 266, n. 1.

κραταιῶς ἐπισκήπτοντος πεισθεὶς, ὁ τοῦτον κηδεύσας ἀναχωρητὴς τὰ βασίλεια καταλαμβάνει Ἰνδῶν, καὶ τῷ βασιλεῖ Βαραχίᾳ προσελθὼν, πάντα αὐτῷ δῆλα τὰ περὶ τοῦ Βαρλαὰμ καὶ τοῦ μακαρίου τούτου τίθησιν Ἰωάσαφ. Ὁ δὲ, μηδὲν μελλήσας, ἀπέρχεται αὐτὸς μετὰ δυνάμεως ὄχλου, καὶ τῷ σπηλαίῳ ἐφίσταται, τὸ μνῆμά τε θεωρεῖ, καὶ, τούτῳ θερμότατα ἐπιδακρύσας, αἴρει τὸ κάλυμμα. Καὶ ὁρᾷ τόν τε Βαρλαὰμ καὶ τὸν Ἰωάσαφ ἔχοντας τὰ μέλη κατὰ σχῆμα κείμενα, καὶ τὰ σώματα οὐδὲν τοῦ προτέρου χρωτὸς παραλλάττοντα, ὁλόκληρα δὲ καὶ ἀκριβῶς ὑγιῆ σὺν τοῖς ἐνδύμασι. Ταῦτα τοίνυν τὰ ἱερὰ τῶν ἁγίων ψυχῶν σκηνώματα, πολλὴν ἐκπέμποντα τὴν εὐωδίαν καὶ οὐδὲν ὅλως ἀηδὲς ἐπιδεικνύμενα, θήκαις ἐνθεὶς ὁ βασιλεὺς τιμίαις, εἰς τὴν ἑαυτοῦ πατρίδα μετακομίζει.

Ὡς δὲ εἰς τὰς ἀκοὰς ἔπιπτε τοῦ λαοῦ τὸ γεγονὸς, πλῆθος ἀριθμοῦ κρεῖττον ἐκ πάντων τε τῶν (1) πόλεων καὶ τῶν περιχώρων εἰς προσκύνησιν καὶ θέαν συνέῤῥεον τῶν μακαρίων σωμάτων ἐκείνων. Ἔνθεν τοι καὶ ὕμνους ἐπ' αὐτοῖς τοὺς ἱεροὺς ᾄσαντες, καὶ λαμπάδας φιλοτίμως ἀνάψαντες (ἀκολούθως, ἄν τις εἶπεν, ἐκεῖ καὶ λίαν οἰκείως τὰ φῶτα περὶ τοὺς τοῦ φωτὸς υἱοὺς (2) τε καὶ κληρονόμους), λαμπρῶς δὲ ὁμοῦ καὶ μεγαλοπρεπῶς ἐν τῇ ἐξ αὐτῶν κρηπίδων παρὰ τοῦ Ἰωάσαφ ἀνεγηγερμένῃ (3) κατέθεντο ἐκκλησίᾳ.

Πολλὰ δὲ θαύματα καὶ ἰάσεις ἔν τε τῇ μετακομιδῇ, ἔν τε τῇ καταθέσει, καὶ ἐν τοῖς ἑξῆς χρόνοις

(1) In τῶν deficit A, avulso ultimo folio.

(2) Conf. p. 321, n. 6.

(3) Conf. p. 305.

διὰ τῶν ὁσίων αὐτοῦ θεραπόντων ἐποίησε Κύριος. Καὶ εἶδεν ὁ βασιλεύς τε Βαραχίας καὶ πᾶς ὁ ὄχλος τὰς δι' αὐτῶν γενομένας δυνάμεις, καὶ πολλοὶ τῶν πέριξ ἐθνῶν, ἀπιστίαν νοσοῦντες καὶ τοῦ Θεοῦ ἄγνοιαν, διὰ τῶν γινομένων ἐν τῷ μνήματι σημείων ἐπίστευσαν. Καὶ πάντες οἱ ὁρῶντές τε καὶ ἀκούοντες τὴν ἀγγελομίμητον τοῦ Ἰωάσαφ πολιτείαν καὶ τὸν ἐξ ἁπαλῶν ὀνύχων διάπυρον αὐτοῦ πρὸς τὸν Θεὸν πόθον, ἐθαύμαζον δοξάζοντες ἐν πᾶσι τὸν Θεὸν, τὸν ἀεὶ συνεργοῦντα τοῖς ἀγαπῶσιν αὐτὸν καὶ μεγίστοις τούτους ἀμειβόμενον δωρεαῖς.

Ἕως ὧδε τὸ πέρας τοῦ παρόντος λόγου, ὃν κατὰ δύναμιν ἐμὴν γέγραφηκα, καθὼς ἀκήκοα παρὰ τῶν ἀψευδῶς παραδεδωκότων μοι τιμίων ἀνδρῶν. Γένοιτο δὲ ἡμᾶς, τοὺς ἀναγινώσκοντάς τε καὶ ἀκούοντας τὴν ψυχωφελῆ διήγησιν ταύτην, τῆς μερίδος ἀξιωθῆναι τῶν εὐαρεστησάντων τῷ Κυρίῳ εὐχαῖς καὶ πρεσβείαις Βαρλαάμ τε καὶ Ἰωάσαφ τῶν μακαρίων, περὶ ὧν ἡ διήγησις, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει τιμὴ, κράτος, μεγαλωσύνη τε καὶ μεγαλοπρέπεια, σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΕΞΙΚΟΝ

ΣΧΕΔΟΓΡΑΦΙΚΟΝ.*

Σύνοψις τέχνης σοφικῆς γραμμάτων ἀντιστοίχων
Ὠφέλιμος, σωτήριος πᾶσι τοῖς ἐρασμίοις,
Καὶ πρὸς ποθοῦσι (1) τὸ καλὸν ἔτι καὶ τὴν παιδείαν,
Ἤτοι τὴν θείαν παίδευσιν τῶν θείων γραφιαίων (2).
Λέξεις φημὶ τὰς κρείττονας καὶ φράσεις τὰς τιμίας
Εἰσγράφειν, ἐτυμολογεῖν (3), καὶ σαφηνεῖν τας βίβλους,
Ὥσπερ ἐστὶ τὸ εὐπρεπὲς πᾶσι τοῖς χειστωνύμοις.
Ἐπεὶ ὁ λόγος (4) ἄρχει σε, ἄρχου καὶ σὺ τοῦ λόγου,
Ὡς ζῶον λογικώτατον, καὶ βασιλεὺς τῶν ζώων (5).

* E codice 400, ubi lemma integrum est: *ἀρχὴ σὺν θεῷ τοῦ λεξικοῦ καὶ τῶν ἀντιστοίχων τοῦ πρώτου σχέδους εἰς μέτρον στίχων πολιτικῶν, εἰς νόησιν γραμμάτων καὶ τέχνης ἀντιστοίχων καὶ νόησιν λέξεων.* Hoc codice, qui olim fuit Colberteus 6044, deinde Regius 3015, usus est Cangius non paucis Glossarii locis. Verba *τοῦ πρώτου σχέδους* intelligenda videntur de themate quodam inter plura primo, quod hoc lexico auctor interpretatur, eo fere modo quo Moschopulus libro *περὶ σχεδῶν*, Basilius Grammatica, et auctor anonymus supra t. III, p. 330, themata proposita sunt persequuti. Scriptor sæpius barbara oratione est usus; videtur tamen ad Annæ Comnenæ tempora referendus. Nam, v. 55, Annam imperatricem compellat: *ἄνασσα Ἄννα, σκόπει.* Rursus, v. 185, orationem ad Angelum Comnenum quemdam dirigere videtur, quem et epitheto divini viri ornavit v. 188: *ἄφθογγον γράφε, θεῖε.* In locis aliis plurimis *φίλε* discipulus vocatur.

(1) Malim *προσποθοῦσι.*

(2) Sic codex.

(3) Cod. *ἐτοιμολογεῖν.* Democrit. Stobæi tit. 46, 44: *καὶ οἱ ψυχῆς ἄξια ἔρδουσιν, ἢ δεσμῶν ἢ θοίνης ἄξιοι, καταψηφισματέον, καὶ μὴ ἀπολύειν.* Forsan *ἢ εὐθύνης*, simili vocalium *υ* et *οι* permutatione. Et habet *καταψηφισματέον* quod criticum lectorem impediat. An *καταψηφισματιστέον*?

(4) Est *ὁ λόγος*, *ratio*; *τοῦ λόγου*, *orationis*. Forsan *ἄρχει σου.*

(5) Cum varietate *βασ. τοῦ λόγου.*

Περίφημος καὶ θαυμαστὸς ὡς ἔφυς ἐξαρχῆθεν,
Ὡς λογικοειδέστατος (1), μάνθανε καὶ τοῦ λόγου,
Τοῦ λέγειν, ἐτυμολογεῖν, ἀσόλοικα παντοίως,
Ἀβάρβαρα, ἀναίτια, μᾶλλον χειστομιμήτως.
Καὶ γὰρ ὁ λόγος εὕρηται βασίλειον ἀνθρώποις
Καὶ ὅπλον ἀρραγέστατον, τῆς ἀληθοῦς σοφίας
Κραταίωμα καὶ τείχισμα καὶ στήριγμα καὶ θάρσος.
Οὐκοῦν ἄς ἄρξομαι (2) καλῶς τοῦ λέγειν ἀριδήλως
Τῶν ἀντιστοίχων τῆς γραφῆς καὶ τῆς ὀρθογραφίας.
Οὐ μὴν δὲ γράψομεν ἁπλῶς τὰς λέξεις δίχα στίχων·
Ἀλλὰ καὶ ἐναρμόνιον σαφῶς ὀρθογραφήσω,
Εἰς δεκαπέντε συλλαβὰς τὸν στίχον περιπλέξω,
Ὅπως ἀποστηθίζομεν, ὡς εὐμαρῶς τῇ φύσει,
Ὦ φίλε λογιώτατε ἱμειρόεντε λόγου (3).

Ἄναξ ὑπάρχει βασιλεύς· ἄνασσα, ἡ δέσποινα.
Ἄντρον ἐστὶ τὸ σπήλαιον. Ἀπρεπῶς, πρεπόντως.
Ἀρωγός τε, ὁ βοηθός. Ἀνοίσω, ἀναφέρω.
Ἀρήγω, καὶ τὸ βοηθῶ. Ἅρπαξ, καὶ ὁ ἁρπάζων.
Ἀβάλε δὲ, ἀντὶ τοῦ φεῦ. Ἄρω, καὶ τὸ ἐπαίρω.
Ἀβέβηλον, ἀναίσχυντον. Ἀβδή (4), ἀντὶ τοῦ λέγει.
Ἀρίδηλον, τὸ φανερόν. Ἄρδην, ἀντὶ τοῦ ἄφνου.
Ἄγαμαι, καὶ τὸ χαίρομαι· ἀγάμενος, ὁμοίως.

(1) Cod. λογικοηδέστατος. Cf. 23.

(2) Illud ἀς ἄρχομαι hominen ostendit oratione antiqua balbutientem, nec a recentioris corruptelæ vitiis liberum. Et conjunctione νὰ uti non veretur. Cf. vv. 125, 359, 443, 507, 519, 806. Si fuit Anna, fœmina doctissima, talis magistri discipula, non fuit magister ipse dignus qui foret discipulæ discipulus. Adeo verum est quod vulgo dicunt : Πολλοὶ μαθηταὶ κρείσσονες διδασκάλων.

(3) Sic codex. Forsan legendum ἱμερόεντα λόγον.

(4) Forsan αὐδᾷ: vel αὐδὴ... λόγος.

Ἀβληχρὸν, καὶ τὸ ἀσθενές. Ἀλήτης, ὁ πλανήτης.
Ἀλῶ δὲ ἔνι τὸ πλανῶ, ἀφ' οὗ καὶ ἡ ἀλώπηξ.
Ἁλλόμενον, τὸ τρέχον τι, ἤγουν τὸ βαδιοῦν τι,
Ὡς ὕδωρ ζῶν ἀλλόμενον (1)· ἅλλω, καὶ τὸ πηδῶ γάρ (2).
Αἱμύλος, ὁ ἀπατεών. Αἴθω δὲ, καὶ τὸ καίω.
Αἰθάλη τε. Καὶ ὁ αἰθήρ. Αἰθρία (3), ἡ εὐδία.
Αἰθρηγενέτης πέφυκεν ὁ ἄνεμος Βορέας.
Αἰνάζω (4) τε, καὶ τὸ θρηνῶ. Αἶνος, ὄνομα, πόλις.
Αἰνόμορος γὰρ λέγεται ὁ κακοθάνατός τε.
Αἴτιος, καὶ ὁ πρόξενος. Αἰτοῖμι, εὐκτικόν γάρ.
Αἰτία δὲ, ἡ ἀφορμή. Αἶνος, ὁ ἔπαινός τε.
Ἀρείσημος, ὦ φίλε μου, ὁ καταράσημός τε (5).
Ἀπόδημος, ἀλλότριος, ἀλλοόριος, ξένος.
Ἀκαριαῖον, γρήγορον (6). Ἄφνω πάλιν, ὁμοίως.
Ἀπήνη, καὶ ἡ ἅμαξα. Ἁβρὰ, καὶ ἡ πλουσία.
Ἁβρὸν ἐστὶ τὸ τρυφερὸν, καὶ πλούσιον ὑπάρχει.

(1) Joann. IV, 14. Conf. pag. 315, n. 1.

(2) Notabilis usus conjunctionis encliticæ γάρ : conf. vv. 131, 151, 185, 196, 306, &c. &c. Sic conjunctione δὲ utitur, quod suo loco infra notabitur. Homo fuit valde imperitus, qui in metro facillimo, syllabarum numerum ut impleret, γὰρ ac δὲ contra usum, et τε ad nauseam, nec sine absurditate sæpius, infersciebat. Illud γὰρ παραπληρωματικὸν notavit e recentissimis scriptoribus ac damnavit Corayus Atact. t. I, pp. 70, 97.

(3) Ab αἰθρία fit vox rara αἰθριοποιός, quam mihi exhibuit fragmentum Glossarii in codice 2831 : αἰθριοποιόν· καθαροποιόν, ἀθόλωτον.

(4) Sic v. 212. Forsan αἰάζω.

(5) An ἀράσιμος... καταράσιμος?

(6) Recentioribus ἐγρήγορα, γρήγορα, adverbia sunt in usu pro αὐτίκα, ταχέως. Vide Corayi Atacta, t. II, pp. 76, 113. Adjectivum γρήγορος pro rapido ad eum modum usurpatur ab eis, quo ipsi *éveillé* dicere solemus de homine alacri, mobili. Scribunt etiam, idque, ni fallor, bene minus, γλήγορος. In odis P. S., quæ mihi quidem, sed judici non idoneo, placerent magis, si plus haberent antiquitatis, legere memini : ἂν, σὰν γλήγορα δελφίνια, κολυμβᾶτε σὰ νερά.

Ἀσχοῦ δὲ ἐστὶ τὸ κοντά. Ἀσχιτέρμων, ὁ γείτων (1).
Ἄληκτον, καὶ τὸ ἄπαυστον. Ἁρμόζων δὲ, τὸ πρέπων.
Ἅλα ἐστὶν ἡ θάλασσα, ἀφ' ἧς δὲ καὶ τὸ ἅλας.
Ἕως ὧδε κατὰ λεπτὸν ἐδηλώθη τὸ ἄλφα.
Τὸ ἄλφα δέ γε, φίλε μου, ἑρμηνεύεται οὕτως·
Ἀρχὴ μαθήσεως ἐστὶ καὶ πρῶτον τῶν στοιχείων·
Ἑβραϊκὴ διάλεκτος ἄληφι (2) πέλει, φίλε.
Ἀλφῶ δὲ ἐστὶ ψηλαφῶ· ἄνασσα Ἄννα, σκόπει.
Τὸ βῆτα πάλιν ἐστὶν βὴθ τῆς ἑβραΐδος γλώττης,
Ὅπερ καὶ ἑρμηνεύεται οἶκος μαθήσεώς τε (3).
Βαβαὶ θαυμαστικόν ἐστίν. Βάναυσος, ὁ χαλκεύς τε
Καὶ χρυσοχόος λέγεται, ἀλλὰ καὶ κωμοδρόμος (4).
Βέβαιον ἐστὶν ἀληθές. Βάθρον, θεμέλιόν τε.
Βάσις ἡ πίστις λέγεται. Βάρος, καὶ τὸ φορτίον.
Τὸ βῆτα μετὰ ο μικροῦ οὕτω μοι γράφε, φίλε.
Βοῶ· βοή. Καὶ βόθυνος. Βόθρος..Καὶ βοηθός τε.
Βορρᾶς δὲ πάλιν, ἄνεμος. Βορὰ (5), καὶ ἡ τροφή τε.
Βορὸς ἐστὶν ὁ λαίμαργος. Βόσις, καὶ ἡ τροφή μοι.
Βοτὰ δὲ, καὶ τὰ πρόβατα. Βότρυς, καὶ τὸ σταφύλιν.
Βόλος ἐστὶ τὸ δίκτυον. Βόστρυχος (6), πλόκαμός τε.
Βότειρα γῆ, ἡ θρεπτική. Καὶ ὅσα τοῖς ὁμοίοις.
Πλὴν τοῦ βωμὸς, καὶ ὁ ναός (7)· βὼξ (8), καὶ ὁ βάτραχός τε·

(1) Est hic versus apud Cangium Gloss. in Κοντά.

(2) Cod. ἄληφη. Fors. ἄλεφα.

(3) Quum hebraicum nomen beth sit domus, erit litera beth domus doctrinæ!

(4) 58, 59, sunt apud Cangium in Κωμοδρόμοι. Scripsit quidem Cangius κωμοδρόμος, idque bene; sed cod. habet κωμοδρόμως.

(5) Cod. βορρᾶ. Vide Jacobs. Anal. t. XIII, p. 634.

(6) Codex, βότρυχος.

(7) Junctura non rara, βωμὸς καὶ ναός : cf. p. 305, 308, 320; Plat. Legg. v, p. 157. Et recentioribus fuit usurpatum βωμὸς ἀντὶ τοῦ ναοῦ, si lexico huic fides.

(8) Melius fuerit βῶξ : vide not. ad Herod. Epim. pag. 9.

Βωτὴρ δὲ πάλιν, ὁ ποιμήν· βωβός (1), ὁ ἀλαλός τε·
Βρῶμος, ἡ δυσωδία τε· βρῶσις, καὶ ἡ τροφή μοι.
Βροτὸν τὸν ἄνθρωπον ἐρεῖ (2), βρότειον καὶ τὸ γένος.
Βρόχος, καὶ τὸ σχοινίον τε. Βία, καὶ ἡ ἀνάγκη.
Τὸ γάμμα γῆθ ὠνόμασται εἰς ἑβραΐδα γλῶτταν·
Πλήρωσις ἑρμηνεύεται μαθήσεως ἐν βίβλοις.
Γαννύμενος, χαιρόμενος. Γάννυμαι, χαίρομαί τε (3).
Γίγαντες, οἱ πανθαύμαστοι καὶ τῆς ἀνδρείας ὄντως.
Γίγαρτα, τὰ τῆς σταφυλῆς γενόμενα κοκκία.
Καὶ γράφε τοίνυν, φίλε μου, ταῦτα μετὰ ἰῶτα.
Πλὴν τοῦ γηρῶ, γηράλεως (4), καὶ γηραλαία χήρα·
Γηροτροφῶ· καὶ γηγενής· γήθω τε, καὶ τὸ χαίρω·
Γηθόσυνος, χαρμόσυνος· γῆρυς, καὶ ἡ φωνή τε.
Γήλοφος πάλιν λέγεται ὑψηλότατος τόπος.
Γήτης ἐστὶν ὁ γεωργός· λέγεται καὶ γηπόνος.
Γήπεδον καὶ γηπέδιον, ἡ σμικροτάτη γαῖα.
Τὸ γει δὲ πάλιν δίφθογγον, ε καὶ ἰῶτα, βλέπε.
Γειώρας, φίλε, λέγεται ὁ φύλαξ ὁ τῆς γαίας.
Γεῖσσον ἐστὶν θεμέλιον. Γείτων, καὶ ὁ πλησίον,
Καὶ κλίνεται τοῦ γείτονος, ἀλλὰ καὶ τοῦ γειτόνου.
Γεινῶ δὲ τοίνυν τὸ γεννῶ. Γειτνιῶ, πλησιάζω.
Καὶ γειωπείνης λέγεται ὁ γεωργὸς, ὦ φίλε.
Τὸ γάμμα καὶ τὸ ε ψιλὸν οὕτως καλῶς μοι σκόπει.
Γεωργὸς τε καὶ Γεδεών (5). Γεραίτατος. Καὶ γέλος.
Γερήνη πόλις πέφυκεν. Γέρανος, καὶ τὸ ζῶον·
Γέρων, ὁ πολυχρόνιος. Γέῤῥον, καὶ τὸ κοντάριν (6).

(1) De βωβὸς vide Corayi Atacta, t. II, p. 85.

(2) Forsan, ἐρεῖς.

(3) Codex, χαίρομαί σε.

(4) Forsan γηραλαιος.

(5) Moschop. Π. σχ. pag. 67: γεώμορον ... Γεδεών. Restituatur e Cod. 2599: γεωργός· γεώμ....

(6) Cod. κόντρ. Conf. v. 103, 109, 181, et not. ad Herod.

Γεωμέτρης, καὶ ὁ μετρῶν τὴν γαῖαν μετὰ τέχνης.
Γεννέτης τοίνυν λέγεται ὁ πατὴρ τοῦ ἀνθρώπου.
Γενειάς τε, καὶ τὸ γένειον, κλίνεται γενειάδος.
Γεθσημανὴ, χωρίον τε ἐν ᾧ ἡ Θεοτόκος
Ἡ παναγία καὶ σεπτὴ ἐκηδεύθην ἀξίως (1).
Γεώργιος ἐστὶν ὄνομα· ὁ καρπὸς ἑρμηνεία (2)·
Καὶ γεωργία τε ἡ γῆ. Γέρας, καὶ ἡ τιμή τε.
Πλὴν τοῦ γαισσὸς, κοντάριον· γαῖα τε, καὶ ἡ γῆ τε·
Γαίω δὲ, καὶ τὸ γαυριῶ. Γαιτοῦλος ἐστὶν ἔθνος.
Τὸ δέ γε δέλτα, φίλε μου, εἴπωμεν μετεμπόνως.
Δέλτα γὰρ ἑρμηνεύεται, φίλε, πολλὰ βιϐλία.
Τὸ δέλτα μετὰ ο μικρὸν σαφῶς διασαφήσω.
Δοκῶ ἐλπίζω λέγεται, ἀφ' οὗ καὶ δοκησία.
Δόξα, καὶ εὐδοκία τε. Δόρυ, καὶ τὸ κοντάριν (3),
Ἀφ' οὗ καὶ δορυφόρος τε ὑπάρχει στρατιώτης.
Δόλος καὶ δόλιον ἐστίν. Δορὰ δὲ, καὶ τὸ δέρμα.
Δόμος ὁ οἶκος λέγεται. Δόναξ, ὁ κάλαμός τε.
Δόλοψ δὲ πάλιν, κύριον, ὁ κατάσκοπος πέλει (4).
Δόρπον τὸν δεῖπνον (5) νόει μοι. Δολιχὸν, τὸ μακρόν γε,
Ἀφ' οὗ καὶ δολιχόσκιον, τὸ μακρὰν σκιὰν ἔχον.
Δοσίθεός τε, ὄνομα. Δόμα τε, καὶ τὸ δῶρον.

Epim. p. 12; ad Nicet. pag. 301.

(1) In Gethsemane Maria mortua et sepulta, tradente Germano Hom. in Mariæ dormitionem. Ad ἐκηδεύθην, pro ἐκηδεύθη, vid. not. in Synt. p. 203: cf. v. 170.

(2) Conf. v. 140.

(3) Hunc versum affert Cangius in Κοντάριον, male omisso π.

(4) Confudit Δόλοψ et Δόλων.

(5) De masculino ὁ δεῖπνος, tom. I, p. 51, n. 5; not. ad Andreopuli Syntip. p. 188; et Bachmann. Anecd. t. II, p. 445. Theodorus Prodr. Rhod. VI, p. 258: Ὤμοι. τὸ σὸν δὲ σῶμα δεῖπνος ἰχθύων, Καὶ σὴ δὲ σὰρξ τράπεζα τῶν ἐναλίων. Ni fuerit usus Theodorus neutro, sed eo suspecto, τὸ δεῖπνος: conf. not. ad Herod. Epim. p. 22. Gregorius Naz. supra t. I, p. 51: Κρείσσων τροφὴ σύμμετρος εὐπορουμένη, Ἡ δεῖπνος ἁϐρός... Codex 1760 κρεῖσσον, quod malim.

Δόγμα. Καὶ δόνος, ταραχή. Δοκὸς, τὸ μέγα ξύλον.
Δοτὴρ δὲ πάλιν νόει μοι· δονῶ, καὶ τὸ ταράσσω (1),
Καὶ τοῖς ὁμοίοις, φίλε μου, δόλιος, ὁ σκληρός τε (2).
Πλὴν δῶμα, καὶ δωμάτιον, τὸ οἴκημα ὑπάρχον.
Τὸ ω μοι τοίνυν πρόσεχε. Καὶ δῶρον μέγα γράφε.
Δωροῦμαι. Καὶ Δωρόθεος. Δωδώνη πάλιν, χώρα.
Καὶ Δωριεύς. Δωροδοκῶ. Δὼς καὶ ἡ δωρεά τε.
Ὡσαύτως καὶ δωτίνη τε· ἀλλὰ καὶ δωδεκάτη.
Καὶ δῴη εὐκτικώτατον, ἀντὶ τοῦ νὰ παράσχῃ (3).
Ἔτι τὸ δέλτα λέξομεν ἄμφω μετὰ ἰῶτα (4).
Διομήδης τε, ὄνομα· ἀλλὰ καὶ Διογένης.
Δίδυμος (5) καὶ Διόσκορος. Δίφρος τε, καὶ τὸ ἅρμα.
Δῖος ὁ ἔνδοξος ἐστί. Δίκη, δικαιοσύνη.
Δίρκη δὲ ἐστὶν ἡ πηγή. Διφθέρα, καὶ ἡ γοῦνα (6).
Δίκελλα, τὸ δικέλλιον. Δίαιτα, ἡ τροφή γάρ.
Διάδημα βασιλικόν. Διαίνω δὲ, τὸ βρέχω (7).
Διειδὴς ἐστὶ καθαρός. Διθῶ, τὸ σακελίζω (8).
Διώροφος, ὁ ὑψηλὸς οἶκος ὁ τῶν ἀνθρώπων.

(1) Moschop. Π. σχ. pag. 21 : δονῶ, τὸ ταράσω. Codex 2599 recte, ταράσσω. Et sic Herodianus Epimer. p. 23. Cf. v. 117.

(2) Si syntaxis potest institui, junge νόει δοτὴρ, δονῶ, καὶ, σὺν τοῖς ὁμοίοις, δόλιος.

(3) Codex, ναπαράσχει. Cf. 17, 225.

(4) Non capio quid sit ἄμφω. Voluitne dicere cum duobus iota, scilicet cum iota et cum ita, δι et δη? Cf. v. 136.

(5) Codex, Δίδημος. Moschop. Π. σχ. pag. 79 : Δίδυμος. Addit cod. 2599, κύριον.

(6) De γοῦνα p. 402, n. 2.

(7) Notum a διαίνω fieri plantæ nomen ἀδίαντον. Quod nuper in Theocrito XIII, 41, mirabar a viro d. intellectum fuisse de Diantho Prolifero L., quasi aliquid foret commune inter Δίανθος et ἀδίαντον. Bene intellexerunt alii de Adianto Capillo-Veneris L.

(8) Est versus apud Cang. in Σακκελίζειν. Forsan διηθῶ, σακκελ. Schedographus, t. III, p. 334: διηθῶ, πελαστωμενῶς, τὸ σακκαλίζω. Puto me descripsisse diligenter : malim σακκελίζω. Confer Moschop. Π. σχ. p. 179.

Διωλύγιον, θρηνητικόν. Δίοζον (1), τὸ ὀζῶδες.
Ἦκε καὶ πρὸς τὸ ἦτα μου, ἄμφω μετὰ τοῦ δέλτα.
Δηλωτικὸς, ὁ φανερός. Δῆλος, ὄνομα νήσου.
Δηλήμων τε, ὁ βλαπτικός. Δῆμος, ὁ πλεῖστος ὄχλος.
Δημόσιος. Δημιουργός (2). Δήμητρα, καὶ ἡ γαῖα,
Ἐξ ἧς Δημήτριος ὄνομα· καρπὸς, ἡ ἑρμηνεία.
Δῆρις, φιλονεικία τε. Δηθύνω, τὸ βραδύνω.
Δήθ', ἀντὶ τοῦ ἐπιπολύ. Δήνεον, βούλευμά τε (3).
Καὶ δηναιὸν, ὦ φίλε μου, τὸ πολυχρόνιόν τε.
Λέξω καὶ δίφθογγον τὸ δεὶ (4), ὡς ἐφετὸν ἀνθρώποις.
Δείκω, δεικνύω φανερόν. Δεῖμός τε, καὶ ὁ φόβος.
Δειρὴ (5) δὲ, καὶ ὁ τράχηλος. Δειμαίνω, τὸ φοβοῦμαι.
Καὶ δεισιδαιμονία τε. Δειδία (6), καὶ ἡ νύξ τε.
Δειροπέδη (7) δὲ λέγεται δεσμὸς ὁ τοῦ τραχήλου.
Δεῖσα, ἡ ὑγρασία τε, ἀφ' οὗ παράδεισός τε (8).
Δεινὸς, ὁ χαλεπώτατος. Δείλη, ἡ μεσημβρία.
Δείκνυμι. Δεῖν, ἁρμόδιον (9). Καὶ δεῖν, καὶ τὸ δεσμεῖν
γάρ.
Δειλὸς, ὁ ἀσθενέστατος. Δείσαντες, φοβηθέντες.

(1) Codex, δίωζον. Conf. Moschop. Π. σχ. p. 179.

(2) Codex, ὁ δημιουργός.

(3) Est et ap. Moschop. p. 80, δήνεον, τὸ βούλευμα, cum varietate δήναιον.

(4) Velim transponi, τὸ δεὶ δίφθ. Sed conf. v. 158, 292, 320.

(5) Codex, δειρής.

(6) Moschop. Π. σχ. pag. 80: δειλία, ἡ νύξ. Repon. δειδία. Cf. ad Herod. Epim. p. 22.

(7) Moschop. ibid. δειροπέζης, ὁ τοῦ τραχήλου δεσμός. Quem corrigas ex hoc loco, et e codice etiam regio 2599, ubi δειροπέδη.

(8) Eadem est in Moschopulo paradisi etymologia. Notum est nomen esse ex orientalibus linguis derivandum. Vide Bos. Diss. de etymol. p. 4; anonymus (videlicet J. Ph. Pfeifferus) in Observ. Halens. t. VIII, p. 88 seqq.; Wetstein. ad Origen. p. 167; Drusius Animadv. II, 57; Ast. ad Plat. Symp. p. 263; et quæ notavi ad Aristæn. I, 3, p. 263.

(9) Moschop. ibid. : δεῖν, τὸ δέον. Quod fuit Atticorum. Vide t. III, p. 47.

Δέλεαρ πλάνη λέγεται. Δαιτυμόνες (1), οἱ φίλοι.
Δέμας, τὸ σῶμα, φίλε μου, δεῦρο τοῖς δεομένοις (2).
Δᾷδες δὲ πάλιν λέγονται, φίλε μου, αἱ λαμπάδες.
Ἕως ὧδε κατὰ λεπτὸν ἐδηλώθη τὸ δέλτα.
Δαίμων δὲ, τὸ δαιμόνιον, δίφθογγον αι μοι γράφε (3).
Εἴπωμεν, φίλε, καὶ τὸ ε, ὡς θέμις, τὴν ἀξίαν.
Ἐλαίαν τὴν πολύκαρπον, ἐξ ἧς τὸ ἔλαιόν τε.
Ἔλεος, ἐλεήμων τε. Καὶ ἐλεγεῖον, μέτρος (4)
Στίχων καλῶν θρηνητικῶν καὶ πλήρης κωκυσμάτων.
Ἔλαφος, τὸ ἐλάφιον, παρὰ τὸ ἐλεῖν ὄφεις.
Ἕλκω, τὸ σύρω. Ἔλεγχος. Ἕλενος καὶ Ἑλένη.
Ἕλληνες οἱ πανάθλιοι. Ἑλλὰς (5) ἐστὶ καὶ πόλις.
Ἕλυμα, καὶ τὸ κάλυμμα. Ἐλέφας, καὶ τὸ ζῶον.
Ἐλλόβια, κόσμος γυναικός (6). Ἕλω, καὶ τὸ προκρίνω.

(1) Pravo accentu Wernsdorf. scripsit Philæ sui versum p. 310: ὁ δαιτύμων τίς.... Epigramma Philæ, unde illa verba recito, fuit a me, post Dutheilium, editum t. III, p. 8, sub Theodori Prodromi nomine. Quorum auctorum nomina fuerunt non semel a librariis confusa; verbi gratia, idque jam significavi, in poemate de anu libidinosa, quod Thorlacius edidit. Ibi v. 86 in accentu pariter peccatum est, quod sæpius librariis græcistis accidit: Ὁ νεκρότομπος τὴν παλαίπωρον δέχου. Librarius græcus codicis 2831 recte scripsit νεκροπομπὸς, p. 152, I. Paginam diligenter noto, Dutheilium propter, qui, Notit. Mss. t. VIII, II, p. 181, poema in illo codice non integrum esse dixit, quod non animadvertisset turbatum esse foliorum ordinem, et poema, quod fol. 160 incipit, fol. 152 continuari.

(2) Sic codex.

(3) Versus 156, 157, transponendi sunt.

(4) Forsan μέτρον et mox πλήρες. Sed recentiores masculino ὁ μέτρος utuntur: vide Corayi Atacta, t. II, p. 245.

(5) Codex, ἑλάς. Moschopulus Π. σχ. p. 52: Ἑλλάς. Codex 2599 addit, ὄνομα τόπου.

(6) Longius est prius hemistichium. An habuit βια pro una syllaba, ut recentiores sæpius? conf. tom. III, pag. 228, n. 2; et v. 208. Facilius medebor nimiæ longitudini versus epigrammatis tertii de horto, auctoris ἀδήλου, in editione Morelliana

Ἔλλοψ ἰχθὺς γὰρ πέφυκεν, ἐκ τῆς ὀπὸς μὴ ἔχων (1).
Ἔτυμος δὲ, ὁ ἀληθής· ψιλά τε καὶ τὰ δύο.
Ἕτοιμος δὲ, ὁ πρόχειρος, τὸ τοι δίφθογγον γράφε.
Ἔστη δὲ, φίλε, λέγεται, ἀντὶ ἐστάθην, ἦτα (2)·
Ἔστι δὲ, ἔνι, γράφεται, φίλε, μετὰ ἰῶτα·
Ἔσθει δὲ αὖθις τοῦ τρωγεῖν, δίφθογγον σθει μοι γράφε.
Ἔπω, τὸ λέγω, νόει μοι· ἕπω δ', ἀκολουθῶ σοι·
Τὸ πρῶτον μετὰ τῆς ψιλῆς, τὸ δεύτερον, δασείας (3).
Ἐχθρὸς, ἐχθραίνω· ἔχθος τε, τὸ μῖσος τοῖς ἀνθρώποις.
Ἕκτος, ἑκταῖος λέγεται, ὁ ἀριθμὸς τῶν ἕξη (4).
Ἔτνος τὸ φάβα γίνωσκε. Ταῦτα ψιλογραφοῦνται (5)·
Τὰ δ' αὖ γε διφθογγόθετα (6) ὅρα, ὦ βέλτιστέ μοι.
Αἶκνον, τὸ δεῖπνον ἀληθῶς. Αἴγλη, καὶ ἡ λαμπρότης.
Αἰγλήεις πάλιν, ὁ λαμπρὸς καὶ στερεὸς τὰς πράξεις,
Καὶ κλίνεται αἰγλήεντος. Αἰχμὴ δὲ, τὸ κοντάριν.
Αἰσχύνη δ' ὄντως πέφυκεν ἡ ἁμαρτία, φίλε.
Εὐχέτης, ὁ εὐχόμενος ὑπὲρ τῆς σωτηρίας·

a. 1609, sed Theodori Prodromi in codice 2831, et alibi: vide Notit. Mss. tom. VIII, II, p. 199: τρύγα τὸ μύρτον, λάμβανε δὲ τοῦ βαλσάμου. Reponam quod exhibet codex: λαμβάνου τοῦ ϛ.

(1) Forsan scribendum, ἐκ τοῦ ὅπα μὴ ἔχειν.

(2) Cod. ἐστάθην. Cf. p. 371, n. 1.

(3) Codex, δασοίας.

(4) Codex, ἕξη. Recentiores dicunt aliquoties ἕξη pro ἕξ. Germanus, Vocabul. Italo-græco: « Sei, ἕξη. » Fecit Agapius compositum nomen πέντεξη. Moschopulus Π. σχ. p. 157, suppletus e cod. 2599: ἑκταῖός τις ἀφίκετο, ἤγουν κατὰ τὴν ἕκτην ἡμέραν. . . . καὶ ἑκταῖός τις τόδε ποιεῖ ἢ πάσχει, ἤγουν ἕκτην ἡμέραν ἔχει ἀφ' οὗ τοῦτο ποιεῖ ἢ πάσχει· καὶ ἑκταῖός τις ἐρᾷ, ἤγουν ἡ ἕκτην ἡμέραν ἔχει ἀφ' οὗ ἐρᾷ, ἢ ἕκτης ἤδη ἐρᾷ γυναικὸς, πέντε πρὸ ταύτης ἐρασθείς· καθὸ λέγεται παρὰ Θεοκρίτῳ (X, 12)· « ἐγὼ » δ' ἔραμαι σχεδὸν ἑνδεκαταῖος »· ἤγουν ἑνδεκάτης σχεδὸν ἐρῶ γυναικός. Quem sensum si admiseris, jam facile intelliges posse tam strenuo amatori esse ἀπὸ πόρρω ἄσκαλα πάντα, et pessima ἀπὸ σποδῶ conjectura Reiskii merito explodetur.

(5) Versu hoc utitur Cangius Gloss. in Φάβα.

(6) Codex, διφθογγόθετα.

Εὐχαίτης πάλιν λέγεται ὅστις καλὸς τὰς τρίχας.
Ἔτης καὶ ὁ πολίτης γάρ, Ἄγγελος Κομνηνός τε·
Αἴτης δὲ πάλιν λέγεται ὁ πτωχὸς, ὁ μὴ ἔχων.
Ἐπηρᾶτο, τὸ ηὔχετο, ἦτα, φίλε μου, γράφε·
Ἐπειρᾶτο δ' ἀπόπειραν, δίφθογγον γράφε (1), θεῖε.
Ἔτος (2), ὁ χρόνος, γίνωσκε. Ἑταίρα τε, ἡ πόρνη.
Ἐτώσιον, τὸ μάταιον καὶ ἔξω ἀληθείας.
Ἐρίζω, τὸ φιλονεικῶ. Ἔριον, τὸ μαλλίον.
Εὖ λέγεται καὶ τὸ καλόν. Ἕρμαιον, εὕρεμά τε.
Ἐράσμιον ἐπιθυμῶ (3). Ῥώμη, ἡ δύναμίς τε.
Ἔρρωσο πάλιν λέγεται τὸ ἔχε ἐν ὑγεία.
Εἰκὼς δὲ πάλιν εἴρηται τὸ πρέπων καὶ ἁρμόζων.
Ἔρας σημαίνει τὴν τιμὴν (4). Ἐρῶ, ἐπιθυμῶ γάρ.
Πλὴν αἴτις ἐστὶν ἡ πτωχή (5). Αἴτει, ἀντὶ τοῦ ζήτει.
Αἰδοῖον, καὶ τὸ μόριον. Αἶδε, ἀντὶ τοῦ αὗται (6).
Πάλιν τὸ ε μοι τὸ ψιλὸν, φίλε, μη τὸ (7) ἐάσω.
Ἕδνα εἰσὶ τὰ πράγματα διδόμενα εἰς προῖκας (8).
Ἐδὸς καλεῖται λαίμαργος. Καὶ ἐδητὺς (9), ἡ βρῶσις.
Ἔνος ὁ χρόνος λέγεται· ἔνη δ', ἀρχὴ μηνός τε.

(1) Cf. v. 636, 637; et Moschop. Π. σχ. p. 194, 4.

(2) Codex, ἔτης.

(3) Codex, ἐπιθυμῶ: ut et mox v. 196. Posterius hemistichium non exspectabatur.

(4) Pro ἔρας, forsan γέρας. Confer v. 102. Sed est a serie literarum alienum.

(5) Codex, ἐστὶ καὶ ἡ πτ.

(6) Sosibius Lytiersa: Οὔπη οἱ Κελαιναὶ πατρὶς ἀρχαία πόλις Μίδου γέροντος. Video placuisse criticis conjecturam, Αἴθ' αἱ Κελαιναί. Malim, Αἵδ' αἱ Κ. Sic αἵδε demonstrative in inscriptione Attica sæpius a viris d. adhibita: Αἵδ' εἰσ' Ἀθῆναι Θησέως ἡ πρὶν πόλις· Αἵδ' εἰσ' Ἀδριανοῦ, κοὐχὶ Θησέως πόλις. Formula similis in inscriptione apud Strabonem III, p. 223: τάδ' ἐστὶ Πελοπόννησος, οὐκ Ἰωνία· τάδ' οὐχὶ Πελοπόννησος, ἀλλ' Ἰωνία. Conf. Bœckh. Corp. Inscript. t. I, p. 480, § 520.

(7) Conf. vv. 551, 654.

(8) Codex, τῆς προῖκας. Moschop. Π. σχ. p. 188: ἕδνα, τὰ εἰς προῖκα διδόμενα.

(9) Conf. Herod. Epim. p. 27.

Ἔννους ὁ φρόνιμος ἐστί. Ἐνετοὶ, Παφλαγόνες.
Ἕνωσις μίξις λέγεται· ὦ μέγα γράφε, φίλε·
Ἔνοσις δὲ, ἡ κίνησις· μικρὸν τὸ ο μοι γράφε.
Ἐνιαύσιον πέφυκε τὸ χρονιαῖον ὄντως.
Ἐνυὼ μάχη εἴρηται. Ἐνηὴς, καὶ ὁ πρᾶος·
Ἐνήεια τοίνυν εἴρηται (1), φίλε μου, ἡ πραότης.
Ἐνεὸς πάλιν λέγεται ὁ ἔκθαμβος ὑπάρχων.
Ἐνόν, τὸ ἰσχυρότατον καὶ δυνατὸν, ὦ φίλε.
Καὶ ἐναγὴς, ὁ μυσαρός. Ἔνι δὲ, τὸ ὑπάρχει.
Αἰνάζω τε, καὶ τὸ θρηνῶ· ἀλλὰ τὸ αι μου μέγα (2).
Εἶδος, ἡ θεωρία τε, ἀφ' οὗ καὶ εὐειδής μοι (3),
Καὶ δυσειδὴς, ὁ δύσμορφος. Ἰδὼς (4), καὶ ἡ ἡμέρα.
Εἴδω δὲ πάλιν, τὸ νοῶ. Εἴδησις. Καὶ εἰδήμων
Ὁ ἐπιστήμων λέγεται καὶ ἔμπειρος τὴν τέχνην.
Εἶδον, ἐθεασάμην γάρ. Εἴδωλον ἐν ξοάνοις (5).
Ἐρισθενὴς, ὁ θαυμαστὸς καὶ μέγας τῇ δυνάμει.
Ἔχης, ὁ πλούσιος ἐστὶ, φίλε, μετὰ τῆς ἦτας (6).
Ἔχις, ὁ ὄφις, ἔχιδνα, γράφε μοι (7) μετ' ἰῶτα.
Ἔχθος τὸ μῖσος λέγεται. Ἐχῖνος ἐστι ζῶον.
Ἕως ὧδε (8) κατὰ λεπτὸν ἐδηλώθη τὸ ε μοι.
Οὐκοῦν καλῶς σαφήσωμεν τὸ ζῆτα μετὰ ἦτα.
Διὰ τὸ ἔχειν σε καλῶς, τὸ ζῆς ἦτά σοι γράφω·

(1) Codex, ἐνύεια. Vel ἐνήεια οὖν scribendum, vel fiat ἐνήεια trisyllabum. Cf. ad v. 166.

(2) Codex, αἰνάζω. Cf. v. 39. Forsan μοι: sed cf. 231, 350.

(3) Moschop. Π. σχ. pag. 143: εἶδος, μορφὴ, ἀφ' οὗ εὐειδὴς καὶ δυσειδής. Cod. 2599: εἶδος, ἡ μορ...

(4) Pro ἰδὼς, forsan εἰδὺς, ut est apud Herod. Epim. p. 46, 1. Est Latinorum « Idus. »

(5) Moschop. Π. σχ. p. 143: εἴδωλα, τὰ φαινόμενα ἐν ταῖς ἐρημίαις νυκτὸς ἢ ἡμέρας φαντάσματα. παρὰ δὲ τῇ θείᾳ γραφῇ, τὰ τῶν ἑλληνικῶν θεῶν ἀγάλματα. Cod. 2599: νυκτὸς ἢ μεθ' ἡμέραν.

(6) Sic cod. Cf. 230, 260, 303. Forsan ἦται, θῆται, 234, 292.

(7) Inserui μοι.

(8) Codex, ἕωσδε. Conf. 51, 156, 303, 907.

Ὁ δέ γ' ἐχθρὸς καὶ βάσκανος νὰ ζεῖ (1) μετὰ διφθόγγου.
Ζωή. Ζωννύω χάριτας, τὰς ἀρετάς, ὦ φίλε.
Ζῆλος πυρὸς θερμαίνει με, ζῆλος τῆς σωτηρίας.
Ζητρεῖον λέγεται αὐτὸς ὁ κοῦσπος ὃν ἀκούεις (2).
Ζημία τε καὶ ζημιῶ. Ἀλλὰ καὶ ζῆχοι, ἔθνος.
Ταῦτα διὰ τῆς ἦτας μοι γράφεται τῷ ζητοῦντι·
Διὰ δὲ τοῦ ἰῶτα μου (3) τὸ ζιζάνιον γράφε.
Ζύμη δέ, τὸ ζυμάριον, τὸ ζυ ψιλὸν τὸ γράφε (4).
Ζόφος δὲ σκότος εἴρηται. Ζωῦφιον, ὁ κώνωψ.
Τὴν δέ γε ἦτα, φίλε μου, εἴπωμεν ἀριδήλως.
Ἡρημένον ὠνόμασται λίαν κεκρατημένον·
Καὶ ταῦτα καὶ τὰ δύο μοι ἦτα, φίλε μου, γράφε.
Ἧσο, ἀντὶ τοῦ κάθισον, ο μικρόν μοι καὶ ἦτα·
Ἥσω δὲ πάλιν, εὐφρανῶ, ἦτα καὶ ω μοι μέγα.
Ἠλιοῦ καὶ Ἠλίας τε. Τὸν ἥλιον, η γράφε.
Ἤλεκτον (5) ἔστι καθαρόν. Ἡλεί, ὁ ἱερεύς τε.
Ἡλάριον, τὸ κάρφος τε. Ἡλύγη, καὶ ἡ νύξ τε.
Ἠλεός τε, ὁ μάταιος τὴν φρόνησιν πολλάκις.
Τὸ ἦτα δέ μοι δάσυνε, φίλε, καὶ πρόσχες ὅλως.
Ἥβη κυρίως λέγεται τῶν παίδων ἡλικία·
Ἐξ οὗ καλεῖται ἄνηβος κόρη πεντάτις (6) οὖσα,
Ἀλλὰ καὶ κάτω δώδεκα τῶν χρόνων πεφυκυῖα.
Ἡγούμενος καὶ ἡγεμών. Ἡγοῦμαι, τὸ φροντίζω.
Ἡδύοσμος. Καὶ ἡδονή. Ἧδος, ἡ εὐφροσύνη.
Ἥδομαι, τὸ εὐφραίνομαι. Ἧκε δέ, καὶ τὸ ἦλθεν·
« Θεὸς γὰρ ἥξει ἐκ Θαιμὰν (7) ». Ἧλος ἐστὶ καρφίον.

(1) Cf. v. 195.
(2) Est apud Cangium Gloss. in Κοῦσπος.
(3) Forsan μοι. Cf. v. 212.
(4) Codex sic, ψιλὸν τὸ χ.
(5) Estne ἤλεκτον Latinorum « electum » ?
(6) Forsan πεντέτης.
(7) Habac. III, 3 : ὁ Θεὸς ἐκ Θαιμὰν ἥξει. Codex, θεμάν : vide

Ἥλιον ὅλως δάσυνε, μὴ τὸν Ἠλίαν, τέκνον.
Ἡμεῖς. Ἡμέρα. Ἥμερος. Ἡμῖν. Τοῖς ἡμετέροις.
Ἡνίοχος ὠνόμασται αὐτὸς ὁ καβαλλάρης (1).
Ἡνία δὲ, ὁ χαλινὸς, ἡνίκα θέλεις (2), λέγε.
Ἡράκλειος γὰρ ὄνομα. Ἡράκλεια, ἡ πόλις.
Ὁ Ἡσαΐας ὁ λαμπρὸς δασύνεται σὺν τούτοις.
Ἥφαιστος ὄνομα ἐστίν. Ὁ ἦχος δὲ ψιλοῦται.
Ἥψατό τε καὶ ἥπτετο (3), ἡψάμην, δασυντέα.
Ἡδύτατος, γλυκύτατος καὶ ἥδιστος ὑπάρχων.
Τὴν θῆταν διαλέξομεν μετὰ περιχαρείας.
Θέω τὸ τρέχω λέγεται. Θέα, ἡ θεωρία.
Θέμις, δικαιοσύνη τε. Θεσσαλία, καὶ χώρα.
Θεράπων, θεραπεία τε. Θεραπαινὶς, ἡ δούλη.
Θέναρ, τὸ κοῖλον τῆς χειρός. Θέρω, καὶ τὸ θερμαίνω.
Θεωρήμων Ἠλίας τε, τὸ ω μέγα καὶ ἓν ρ·
Θεορρήμων Γρηγόριος (4), τὸ ο μικρὸν καὶ δὶς ρρ.
Θέρμια, λυπινάρια. Θέρος καὶ τὸ θερίζω.
Ταῦτα διὰ τοῦ ε ψιλοῦ γράφονται τοῖς ῥητόροις.
Θηγάνη, ἡ ἀκόνη τε. Θήγω, τὸ ἀκονίζω.
Καὶ θρηδακίνη λέγεται αὐτὸ τὸ μαϊούνιν (5).
Ἔστι καὶ θηλυμητειστὴς (6) ὁ πόρνος τῶν γυναίων.

t. II, p. 108. Theodorus Prodr. in Notit. Mss. t. VIII, II, p. 201: πάλιν Θεὸς ἀπὸ Θαιμὰν ὤφθη σαρκοφόρος, Καὶ βασιλεὺς ἀπὸ Θαιμὰν εἰσῆλθε νικηφόρος. Pro πάλιν, forsan πάλαι.

(1) Est apud Cangium Gloss. in Καβαλλάρης.

(2) Codex, θέλης.

(3) Codex, ἥπτατο.

(4) Basilius Gramm. pag. 17: θεορήμων ἰλίας καὶ Μωσῆς· θεορρήμων Γρηγόριος. Quid reponendum sit liquet.

(5) Debuisset scribere θριδακίνη. Poterit inde Hierophili μαϊούνιον defendi Notit. Mss. tom. XI, II, p. 225. Magis est in usu μαϊούλιον: vide ibi not. pag. 228. Moschopulus Π. σχ. p. 98: θριδακίνη, τὸ μαϊούλιον.

(6) Moschop. Π. σχ. p. 113, habet θηλυμητεις sine interpretatione. Saltem μι scribendum.

Θήβη, ἡ πόλις, ὄνομα· ἀφ' ἧς ἀνὴρ Θηβαῖος (1).
Θὴς πάλιν, καὶ ὁ μισθωτός· Θῆσσα, ἡ μισθωθεῖσα.
Θηλὴς ἐστὶ καὶ ὁ μαστὸς, ὃς καὶ θηλάζει βρέφος (2).
Πλὴν θὶς, καὶ ὁ αἰγιαλός. Θίασος, ὁ χορὸς τε.
Θίβη, καὶ τὸ κιβώτιον. Θίγω, καὶ τὸ προσψαύω.
Θὶς ἑρμηνεύεται σωρὸς ἢ σίτων ἢ χρημάτων.
Πλὴν θεῖος, καὶ ὁ θαυμαστὸς, ε καὶ ἰῶτα γράφε·
Ἀφ' οὗ θειάζω, φίλε μου, λέγεται τὸ θαυμάζω.
Θείνω τὸ τύπτω λέγεται. Θεία, ἡ θαυμασία.
Ἀλλ' ἔτι πάλιν εἴπωμεν τὸ θῆτα μετὰ ύ μοι.
Θύτης ἐστὶν ὁ ἱερεύς. Θύω, τὸ θυσιάζω.
Θυμός τε. Καὶ ὁ θυρωρὸς, ὃς ἐστὶν ὁ πορτάρης (3).
Θυμήρης ἑρμηνεύεται ὁ ἐπιθυμητός μοι.
Θύελλα σκότος λέγεται. Θύμον ἐστὶ κρομμύδιν.
Θυγάτηρ. Θύω, τὸ ὁρμῶ. Θυρεὸς, καὶ τὸ ὅπλον.
Τὸν δέ γε θυηπόλον μοι τὸν ἱερέα νόει.
Θύννος ὀψάριον ἐστί· εἴθε μοι ἔχειν τοῦτο
Ὀπτὸν τηγάνου, καὶ πηκτὴν ἐγζεστοσαλτζιαῖον (4).
Θύρα ἡ πόρτα λέγεται. Θυμηδία, ὁ ὕμνος (5).
Θύρσος, ὁ κλάδος τοῦ δενδροῦ (6). Σκόπει καλῶς, ὦ φίλε.

(1) Moschop. ibid. Θῆβαι, πόλις· ὁ ἀπὸ ταύτης, Θηβαῖος. Codex 2599, ἀπὸ τούτων.

(2) Fors. θηλή. Mosch. p. 113: θηλὴ, ὁ μαστὸς, ἐξ οὗ τὸ θηλάζειν.

(3) Cangius habet Gloss. in Πορτάρης, omisso priore articulo.

(4) Codex, τηγάνου καὶ πυκτήν: et sic Cangius, qui versum attulit Gloss. in Σάλτζα. Habet Cangius et ἐτζεστοσαλζιαῖον, de more negligentior. Est σάλτζα jus, nostrum *sauce*, olim *saulce*. Videtur esse, ut me monuit Hasius vir d. a me consultus, πηκτὴ ἐγζ., cibus aliquis spissior jure calido conditus.

(5) Herod. Epim. p. 60: θυμηδία, ἡ χαρά· θυμέλη, ἡ τερπνὴ ᾠδή. Fere putaverim lexicographum, Herodiani libro vel alio simili usum, male θυμηδίᾳ apposuisse significationem quæ θυμέλης erat. — Codex, θυμιδία.

(6) Δενδροῦ rhythmus poscit, δένδρου respuit. Sic v. 835, 842. Et

Τὴν θῆτα πάλιν μετὰ ω τὸ μέγα διαγράφω.
Θωὴ ζημία λέγεται, ἀφ' ἧς καὶ ὁ ἀθῷος.
Θωΰζω, τὸ θηριωδῶς βοῶ, μεγαλοφώνως.
Θωμᾶς, ὄνομα κύριον. Θωράκιον, τὸ ὅπλον.
Θωπεὺς ἐστὶν ὁ κόλακας (1)· θωπεία, κολακεία.
Θώρηξις, ἡ καθόπλισις. Θώμιξ (2), καὶ τὸ σχοινίον.
Θῶκος ὁ θρόνος (3) εἴρηται. Θωάζω, τὸ καθίζω.
Πλὴν Θόας ὄνομα ἐστίν. Θολόω (4), τὸ ταράσσω.
Θοός ἐστι καὶ ὁ ταχύς. Θοείζω, τὸ μεθύω (5).
Θόρηξ ὁ οἶνος λέγεται· θόρηξις (6), καὶ ἡ μέθη.
Θόρυβος δὲ, ἡ ταραχή (7)· φεῦγε μακράν, ὦ φίλε.
Ἕως ὧδε κατὰ λεπτὸν ἔφαμεν καὶ τὴν θῆταν·
Ἄρξομαι (8) τὸ ἰῶτα μου σαφῶς ὀρθογραφῆσαι.
Ἱμερτὸν εἴρηται λοιπὸν τὸ ἐπιθυμητόν μοι.
Ἱμείρομαι, ἐπιθυμῶ. Ἱμῶ (9), καὶ τὸ πλανῶ γάρ.
Ἱδρὼς, ὁ κόπος τοῦ ἀνδρὸς, καὶ κλίνεται ἱδρῶτος.
Ἱκάνω τε. Τὸ ἱκανόν. Ἄνευ τοῦ Ἰκονίου (10).

sic χερνῶν ea ipsa versus sede in Corayi Atactis t. II, p. 292. Sic ὁδοίπορος, πειστέρα vv. 601, 625. Nil in talibus mutandum est.

(1) Forsan ὁ κόλακος. Fuerit ὁ κόλαξ καὶ ὁ κόλακος, ut ὁ φύλαξ καὶ ὁ φύλακος, ὁ μάρτυρ καὶ ὁ μάρτυρος. Infra v. 807, est φώλαδος, et ῥήτορας a recto ῥήτορος v. 268. Edidissem κόλακος, ni rediret κόλακας v. 748. Est ῥύακας v. 861.

(2) Sic φόρμιξ v. 813.

(3) Ab θρόνος fecit adjectivum ἀνθρόνας Theodorus Prodr. Tetrast., si credendum erit editioni Suvignianæ p. 208: Ὁρᾷς ἐκεῖνον τὸν μέγαν, τὸν ἐνθρόναν. Eum barbarismo liberat codex 2831, in quo, τὸν ἐν θρόνῳ. — Mox schedographus scribere debuit θοάζω.

(4) Codex, θολόσω.

(5) Videtur confudisse θοείζω et θωρήσσω.

(6) Cod. θόριξ... θόρυξις. Male pro θώρηξ, θώρηξις.

(7) Moschop. Π. σχ. p. 203, de verbo θορυβῶ: θορυβήσομαι δὲ ἐπὶ παθητικῆς σημασίας, ἀντὶ τοῦ θορυβηθήσομαι. Codex 2599, οὐ θορυβηθήσομαι. Quæ varietas dictatorium quid præ se fert, quod est a Moschopulo alienum.

(8) Codex, ἄρξομαι καί.

(9) Ἱμῶ, potius ἱμῶ, non est τὸ πλανῶ, sed τὸ ἀντλῶ.

(10) Codex, ἱκάνονται. Excipit

Ἱλάσθητι, φιλάνθρωπε (1), καὶ σῶσον τὸν γραφέα·
Ἵλεῳ δή σου ὄμματι βλέψαι αὐτὸν ἐν κρίσει·
Ἱλάρυνον καὶ τὸν θυμὸν, ὡς ἱλαρὸς ὑπάρχων.
Ἵλεως γενοῦ, Ἰησοῦ Χριστὲ, σωτὴρ σῶν δούλων.
Ὁ Ἱλαρίων ὁ σεπτὸς δασύνεται σὺν τούτοις.
Ὁ δέ γε ἴλλος, ὀφθαλμὸς, Ἰλλυρικὸς ψιλοῦνται.
Ἱμάτιον ἐνδέδυμαι. Ἱμὰς ἐστὶν ὁ λῶρος,
Καθά φησιν ὁ Πρόδρομος· « οὗ λύει τὸν ἱμάντα (2) ».
Τὸ ἵνα σύνδεσμος ἐστὶ, καὶ δάσυνε δι' ὅλου.
Ἵππος ἐστὶ τὸ ἄλογον· ἱππεῖς, οἱ καβαλλάροι (3).
Στῆθι, καὶ πρὸς τὸ κάππα μου τὸν δρόμον ἐπιτείνω.
Ἄμφω τὸ κάππα μετὰ υ θέσεις τῶν ἀντιστοίχων (4).
Κύριος. Κῦμα λέγεται. Κυμαίνω, τὸ ταράσσω.
Κυλίω τε (5) καὶ κύλινδρος. Κύτος δὲ, καὶ τὸ πλάτος.
Κῦρος δὲ πάλιν λέγεται αὐτὴ ἡ ἐξουσία.

Ἰκόνιον, quod scilicet id nomen tenui spiritu notetur.

(1) Φιλάνθρωπος est Christi epithetum. Vide t. I, p. 456.

(2) Respectu, puto, ad verba Joannis Baptistæ apud Joann. I, 27 : ὁ ὀπίσω μου ἐρχόμενος, οὗ ἐγὼ οὐκ εἰμὶ ἄξιος, ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος. Est enim Joannes Baptista peculiari τοῦ προδρόμου cognomine insignitus, ut et evangelista Joannes cognomine τοῦ θεολόγου et βροντῆς υἱοῦ. Legi in codice 1630, p. 63, epigramma hocce in tres Joannes, εἰς τὸν Πρόδρομον, τὸν Θεολόγον, καὶ τὸν Χρυσόστομον : Τὴν ἐξ ἐρήμου μουσικὴν ἀηδόνα, Χρυσήλατον σάλπιγγα καὶ βροντῆς γόνον, Ἰωάννης ἴσησι καὶ νῷ καὶ τύπῳ.

(3) Est apud Cangium Gloss. in Ἄλογον. Recentiorum ἄλογον, pro ἵππος, illustrat Corayus Atact. t. I, p. 43; t. II, p. 34. Joannes Chrys. t. II, p. 100, Matth. : εἰ δὲ ἐβούλου δρόμον ἀλόγων ὁρᾷν, τίνος ἕνεκεν οὐκ ἔζευξας τὰ ἄλογα ἐν σοὶ πάθη; Latina sunt adposita verba : « Quod si volebas brutorum cursum spectare.... » Non male, quum sit sic facilior lusus cum « brutis affectibus »; sed est proprie δρόμος ἀλόγων, equorum cursus.

(4) Θέσεις, scilicet θήσεις : « pones literam κ cum duobus υ » antistoechis », scilicet cum υ et οι.

(5) Cod. κυλλίωται.—De proximo κύτος vide Moschop. Π. σχ. p. 4, et Herod. Epim. p. 73.

Κυβεύω καὶ κυβεία τε· κῦβος, καὶ τὸ ταυλίον.
Κυλλίνη, ἄκαρπον κραμβίν (1). Κυλλὸς, ὁ βεβλαμμένος.
Κύπρος, ἡ νῆσος. Κύβερνα (2). Κύπρις, ἡ Ἀφροδίτη.
Κυβιστὴς πάλιν, ὁ ὀρχηστὴς, ἀφ' οὗ καὶ κυβιστεία.
Κύω δὲ ἐστὶν τὸ γεννῶ. Κυνῶ, τὸ προσκυνῶ, σε.
Κυρήνη, πόλις. Κύπρια, ἀφ' ἧς καὶ Κυρηναῖος (3).
Κυάνεον, τὸ μελανόν (4). Κῦδος ἡ δόξα πέλει.
Καὶ κυνικὸς φιλόσοφος. Κυδαίνω, τὸ δοξάζω.
Κύβελις, ὁ πελέκυος. Κυδώνιον, ἡ ὀπώρα (5).
Κύδοιμός τε, ὁ θόρυβος. Κυβιστῶ, κολυμβῶ γάρ.
Κύων ὁ σκύλος λέγεται, καὶ κλίνεται κυνός τε.
Κύαθος, ἀντλητήριον. Κυμινδὴς (6), ἀετός γάρ.
Κύλιξ, ποτήριον, κλίνεται ἀλλὰ καὶ κύλικός τε.
Κυανοχαίτης Ποσειδῶν τὸ μελανόθριξ (7) λέγει.
Κύζικος, χώρα θαυμαστὴ καστάνων καὶ ἰχθύων.
Κυφὸς, ὁ κυρτοράχιος. Κύμια, καὶ ἡ πόλις.
Καὶ κυψελλὶς ὠνόμασται ὁ τῶν ὠτίων ῥύπος.
Κύστις, τὸ ὑπογάστριον, ὅπερ ἐστὶ ποκύλιν (8).
Κύφων, ὃν λέγομεν ζυγόν· κλίνεται κύφωνός τε.

(1) Codex, κραμβήν. Habet Cangius nomen κραμπίον, melius scribendum κραμβίον. Hinc κραμβίν. Basilius Gramm. p. 10: κυλλίνη, ἡ ἄκαρπος κράμβη. Suidæ ἡ ἄκαρπος κράμβη dicitur κυλιβήνη, nescio quam recte. Verba H. Stephani in Thesauro, « κυλίνη » affertur pro terra minime fru- » gifera », hinc forsan illustranda et sananda.

(2) Cangius in Κυβερνητίδης adfert nomen κυβερνά in sensu τοῦ ἄρχοντος.

(3) Consule Meursii Cyprum I, c. 9.

(4) De μελανὸς conf. p. 42.

(5) Cod. κύβελης. Forsan κύβηλις. Nominativo πελέκυος admove n. 1, p. 381. — Mox est κυδώνιον trisyllabum, ut ποτήριον v. 336; ni delendum sit ἡ.

(6) Κύμινδις potius.

(7) Codex, τὸν μελ....

(8) Hunc versum adfert Cangius Gloss. in Ποκύλιν, et in fine ποκύλον scribit; sed est ποκύλιν in codice, scilicet pro ποκύλιον.

Κύμινον, καὶ τὸ ἄρτυμα. Κυλλήνη ἐστὶν ὄρος (1).
Πλὴν κοῖλον ἐνι τὸ βαθὺν (2), ἐξ οὗ καὶ ἡ κοιλία.
Κοιλαίνω, τὸ βαθύνω τε. Κοινὸν πραγμάτων δύο.
Κοίρανός τε, ὁ ἡγεμών. Κοινεῖον, καπηλεῖον·
Κοιαίστωρ, τὸ ἀξίωμα (3). Κοίας, στρογγύλος λίθος.
Κοιλὰς ἐστὶ καὶ τὸ βαθύ. Κοιμῶμαι, τὸ κοιτάζω.
Κοίτη δὲ ἐστὶν ἡ στρωμνή. Κοινῶ, καὶ τὸ μολύνω (4).
Τὸ κι μετὰ ἰῶτα μου σαφῶς ὀρθογραφήσω.
Κίναιδος πόρνος λέγεται. Κιθὼν ἐστὶν ἱμάτιν.
Κίστη, καὶ τὸ κιβώτιον. Κίνδυνος. Κίχλα, ζῶον.
Κίων ἐστὶ κιόνιον. Κιγκλὶς, τὸ κάγκελόν τε (5).
Κιννύρα λύρα πέφυκεν. Κιννάβαρ. Κίος, νῆσος (6).
Κίβδηλον πάλιν, ῥυπαρὸν καὶ μυσαρὸν ὑπάρχον.
Κινάβρα δέ γε, ἡ ὀσμὴ προβάτων· νόει, φίλε.
Κιθῶ μεθ' ἡδονῆς ἐστὶ τὸ συλλαμβάνω, φίλε (7).
Κὶς δὲ, καὶ τὸ σκωλήκιον. Κίχω, καταλαμβάνω.
Τὸ κει δὲ πάλιν δίφθογγον ἂς εἴπωμεν (8), ὦ φίλε.

(1) Cod. ἄρτημα. — Moschop. Π. σχ. p. 4 : Κυλλήνη, πόλις Ἀρκαδίας, ἀφ' οὗ Κυλλήνιος ὁ Ἑρμῆς. Codex 2599 : ἀφ' οὗ καὶ Κ.

(2) Cod. βαθύν. Cf. 553, 580. Errabat Belinus ad Luc. D. Mar. II, 3, qui, in verbis βαθὺν ἐκοιμήθης, putabat esse βαθὺν vel esse posse neutrum, addito ν paragogico propter sequentem vocalem. Neutra ejus modi Lucianum et omnes antiquos ignoravisse opinor.

(3) Est κοιαίστωρ, quæstor. Codex, κοιέστωρ. Moschop. Π. σχ. p. 5 : κοιαίστωρ, ἀξίωμα Ῥωμαϊκόν. Codex 2599 sine Ῥωμαϊκόν.

(4) Moschop. pag. 5 : κοινῶ, τὸ μολύνω, ὡς τὸ, ἃ ὁ Θεὸς ἐκάθηρε, σὺ μὴ κοίνου. Cod. 2599, ὡς ἐν τῷ... Sunt verba ex Act. Ap. sumta x, 15. Conf. et Basilii Gramm. p. 11.

(5) Est κάγκελον sic scriptum in locis quæ recitat Allatius De templis p. 20.

(6) Cod. Κιναβαραῖος. Moschop. p. 58 : Κίος, ὄνομα νήσου·, ὁ ἀπὸ ταύτης, Κῖος.

(7) Pronuntiatione deceptus, pro κισσῶ scripsit male κιθῶ. Moschop. p. 57 : κισσᾷν ἐπὶ γυναικὸς, τὸ μεθ' ἡδονῆς συλλαμβάνειν. Conf. Herod. Epim. p. 64.

(8) Conf. v. 17. Cod. εἴπομεν. Et sic v. 443, et alibi.

Κεῖνος (1) ἐκεῖνος λέγεται. Κεινὸς, ὁ μάταιός τε.
Κενὸν τὸ μάταιόν ἐστίν. Κενῶ δὲ, καὶ τὸ χέω.
Κερμᾶς (2) ἐστὶν ἡ ἔλαφος. Κεδνὸς, ὁ συνετός τε.
Κεραία, κερατάριον. Κέλης, ὁ καβαλλάρης (3).
Κέαρ ἐστὶ καὶ ἡ ψυχὴ, καὶ κῆρ αὐτὴ τυγχάνει.
Κειρία ἐστὶν ὁ δεσμὸς ὁ τῶν νηπίων, φίλε.
Κείρω τὸ κόπτω λέγεται. Κειμήλιον καὶ κεῖμαι.
Κέραμος, τὸ κεράμιον. Κέρας, ἡ δύναμίς τε (4).
Κέρκος, καὶ τὸ οὐράδιον. Κερδὼ, καὶ ἡ ἀλώπηξ (5).
Κεκρύφαλα τυγχάνουσι κόσμος ὁ γυναικεῖος.
Καὶ κελαινὸν, τὸ σκοτεινόν. Κερατίζω, τὸ κόπτω.
Πλὴν δίχα τὴν Καισάρειαν· καικίας, ἄνεμός τε.
Καινοτομῶ, διχοτομῶ· καίνω δὲ, καὶ τὸ κόπτω.
Καινὶς ἐστὶν ἡ μάχαιρα ἡ κόπτουσα τὸν ἄρτον.
Καινισμός. Τὰ ἐγκαίνια. Καὶ ἀνακαίνισίς τε (6).
Καιρία ἐστὶν ἡ πληγὴ ἡ καὶ θανατηφόρος.
Καινὸν, καὶ τὸ θαυμάσιον καὶ θαυμαστὸν, καὶ νέον.
Καίω, τὸ φλέγω. Εἴπωμεν τὸ κάππα μετὰ ὁ μοί.
Κόσμος. Κοσμᾶς. Καὶ κόπρος τε. Κόχλος. Κόκκοι.
Κομίζω.
Κομῶ, τὸ θάλλω. Κομιδὴ τὴν ἐπιμέλειαν λέγει (7).

(1) Codex, κεῖος.

(2) Κερμᾶς, imo κεμάς.

(3) Est versus apud Cangium Gloss. in Κερατάριον.

(4) In Actis ineditis S. Arethæ: Ἰησοῦ Χριστὲ, ὕψωσον τὸ κέρας τῶν Χριστιανῶν· id est δύναμιν. Respexit auctor Psalm. CXLVII, 14: ὑψώσει (Κύριος) κέρας λαοῦ αὐτοῦ. Conf. I Reg. II, 10. Loquutionem Bibliorum interpretes abunde illustrarunt. Vide Grunner. Disq. de cornubus aræ § 1; Jo. Cleric. Bibl. univ. t. XXI, p. 290; Valcken. Schol. in N. T. t. I, p. 61; L. Bos. Exercit. p. 298.

(5) Est hic versus ap. Cang. Gloss. in Οὐράδιον, cum mala scriptura κερδῶς.

(6) Codex, ἀνακαίνησίς τε.

(7) Moschop. Π. σχ. p. 61: κομιδὴ καὶ συγκομιδὴ, ἡ ἀπόθεσις τοῦ σίτου. . . . Cod. 2599: ἡ συναγωγὴ καὶ ἀπόθ. . . .

Κάτος ὑπάρχει ἡ ὀργή. Κότινος, στέφανός τε.
Κόμης, ὄνομα κύριον. Κόμη ἐστὶν ἡ τρίχα (1).
Κόρυς, περικεφάλαιον· κλίνεται κόρυθός τε (2).
Κολοφὼν ἐστὶν ὑψηλὸς τόπος τε καὶ τὸ ὄρος.
Κόρος ἐστὶν ὁ χορτασμός. Κορὸν τὸ μέλαν ἔνι (3).
Κονίσσαλος, κονιορτός. Κόπις τε, καὶ ὁ λάλος (4).
Κόβαλος ἔνι φλύαρος. Κορωνὶς, καὶ τὸ ἄκρον.
Κόριον, τὸ κοράσιον. Κολλῶ. Κότλαβος, ἦχος.
Κοπάζω ἑρμηνεύεται λίαν καταπραΰνω.
Κόμανοι ἔθνος εἴρηται. Κόμμι, καὶ τὸ ψιμίθιν.
Κορίσκη, τὸ κοράσιον. Κομιδῆ δὲ, τὸ λίαν.
Κορύβαντες, οἱ δαίμονες. Κόνδυ δὲ, τὸ ποτήριν.
Κορυβαντίω, ἔνιμαι (5). Κοτὲ, καὶ τὸ ποτέ γαρ.
Κοδράντιν καὶ τὸ ἔσχατον καὶ τὸ λεπτὸν ὑπάρχει (6).
Πλὴν κώμη πόλις λέγεται. Κώδιον, καὶ τὸ δέρμα.
Κῶμα, ὁ ὕπνος ἀληθῶς. Κωμάζω, τὸ μεθύω.
Κωκύω δὲ, καὶ τὸ θρηνῶ. Κώδων, καὶ τὸ κωδώνιν (7).
Κώθων ἐστὶν κωθώνιον. Κωφεὺς, ὁ μὴ ἀκούων.

(1) Non fuit *κόμης* Græcis nomen proprium, sed dignitatis. Bene Moschop. p. 61 : *κόμης, ἀξίωμα*. Et sic Herod. Epim. p. 69. —Ad *τρίχα* nominativum conf. v. 777. Non barbarus fuit Moschopulus, cujus sunt hæc verba Π. σχ. p. 60 : *τριχὶ, ἐπὶ δοτικῆς· ἡ εὐθεῖα, ἡ θρίξ*. Codex 2599 : ....*δοτ. τῶν ἑνικῶν*.

(2) Codex, *κόρινθός τε*. Ex *κόρυς* derivatur *κορύσσομαι*. Moschop. ibid. : *κορύσσομαι, τὸ ὁπλίζομαι, ἀφ' οὗ κορυστὴς, ὁ ὁπλίτης*. Adde ex cod. 2599 : *καὶ ἱπποκορυστὴς, ὁ ἐφ' ἵππου ὁπλίτης*.

(3) Habet et Moschop. p. 62 : *κορὸν, τὸ μέλαν*. Videtur id nominis factum fuisse ex *κόρη*, quod est *τὸ μέλαν τοῦ ὀφθαλμοῦ*.

(4) De *κόπις* vide Corayum Atact. t. II, p. 201. Cf. v. 404.

(5) Corrigo, *κορυβαντιῶ, μαίνομαι*, ducibus Moschopulo p. 62, Herod. Epim. p. 70.

(6) Est hic versus apud Cang. Gloss. in *Κοδράντης*.

(7) Ultimam vocem nescio an sim assequutus. Fuit in codice partim a tineis dissecta. Moschopulus Π. σχ. p. 63 : *κώδων, τὸ κωδώνιον*. Et sic Herod. Epim. p. 71.

Κωφεία κώλυμα ἐστί. Κώνωψ, καὶ τὸ κωνοῦπιν.
Κωχεὺς ἐστὶ μετέωρος. Κῶς δὲ, καὶ τὸ νησίον.
Κωτίλλω, ἀπατητικῶς φθέγγομαι παρ' ἀξίαν.
Κωτίλος, καὶ ὁ φλύαρος. Κώμυθος, ὁ δεσμός τις.
Κωδίκελλος, διόρθωσις ἐστὶ τῆς διαθήκης (1).
Κώνστας, Κωνστάντιος ὁμοῦ, ἅμα καὶ Κωνσταντῖνος.
Κλῶ δὲ, τὸ κόπτω; καὶ λαλῶ, καὶ φέρω πρὸς ἐμένα (2).
Κλάσω, τὸ κόψω. Φίλε μου, τὸ κλι ἰῶτα γράφε.
Κλίμαξ ἡ σκάλα πέφυκεν. Καὶ κλίμα, μέρος κόσμου.
Κλίβανος, καὶ ἡ κάμινος. Κλισία, ἡ σκηνή τε.
Κλινήρης, καὶ ὁ ἄρρωστος. Κλίνη, καὶ τὸ κραββάτιν.
Κλιθεὶς δὲ ἐστὶν ὁ πεσών. Κλισμὸς ἐστὶν ὁ θρόνος.
Πλὴν κλῆρος, κληρουχία τε· κλητὸς, ὁ καλεσμένος (3).
Κληδὼν ἡ φήμη λέγεται. Κλῆμα δὲ τῆς ἀμπέλου.
Κλητόρειον, τραπέζιον. Κλητίζω, τὸ δοξάζω (4).
Πλὴν κρίνον, κρίμα· κρίνα τε, τὰ εὔοσμα φυτόα (5).
Κριὸς ἐστὶ τὸ πρόβατον. Κρὶς δὲ, καὶ τὸ κριθάριν (6).

(1) Est versus apud Cangium Gloss. in Κωδίκελλος. Moschop. p. 63: Κωδίκελλος, ἡ διόρθωσις τῆς διαθήκης. Cod. 2599, Κωδίκελλος. Sed et bona est altera scriptura. Cf. Herod. Epim. p. 71.

(2) Κόπτειν pro λαλεῖν καὶ πολυλαλεῖν illustrat Corayus Atact. tom. II, p. 201. Et supra v. 385, fuit κόπης pro λάλος. Et κόπτειν pro φέρειν πρὸς ἐμὲ, πρὸς ἑαυτὸν, vel, ut dixit auctor barbare, πρὸς ἐμένα, illustrat Corayus ibid. p. 202. Jam quæ sunt τοῦ κόπτειν significationes et τῷ κλῶ conveniunt.

(3) Est οἱ καλεσμένοι in Andreopuli Syntipa p. 96. Conf. Cang. Gloss. in Καλεῖν.

(4) Codex, κλητώρειον. Scripsit κλητόρειον Cangius, qui versum adtulit Gloss. in Κλητώρειον et in Κλεΐζειν. Moschop. Π. σχ. p. 100: κλητήρειον, ἐπὶ τῶν κεκλημένων εἰς ἑστίασιν. Codex 2599: κλητόρειον, et κεκλιμένων: hoc male.

(5) Sic cod. Potest κρίνον capi de alia re quam κρίνα. Sed φυτόα valde me impedit. Saltem scripsisset cum suo γαρ vel π, φυτά γαρ, φυτὰ π. At cf. v. 732.

(6) Pro κρὶς puto scribendum κρῖ. Herod. Epim. p. 68: κρῖ, τὸ κριθάριν.

Κριμμὸς δὲ ἐστὶν ἡ κλιθή. Πλὴν τοῦ κρημνὸς, τὸ χάος (1).
Κρημνίζω. Καὶ κρησφύγετον, τὸ καταφύγιόν τε.
Κρήτη (2) νησίον πέφυκεν. Κρῆς τοίνυν, καὶ τὸ κρέας.
Κρήνη, πηγὴ, πηγήδιον (3). Κρηπὶς τε, καὶ ἡ βάσις.
Κρήδυνον (4) δὲ, τὸ ἀληθές. Κρῆναι, πηγαὶ πολλαί τε.
Κρεῖσσον ἐστὶ τὸ κάλλιον· δίφθογγον, φίλε, γράφε.
Κρείσσων δὲ πάλιν τῶν πολλῶν· ἔτι δὲ καὶ τὸ κρείων (5).
Κιῤῥὸς δὲ, καὶ ὁ κίτρινος· τὸ κι ἰῶτα γράφε,
Πλὴν τοῦ κηρός. Κηρίον τε μετὰ τοῦ ἦτα γράφε.
Κήδω φροντίζω πέφυκε. Κηδεμὼν, φροντιστής μοι.
Κηδεία ἐστὶν ἡ ταφή. Κηκάζω, λοιδορῶ τε.
Κηλὶς ὁ ῥύπος λέγεται. Κηώδης, εὐώδης, οἶκος.
Κηδὰρ, τόπος ὁ ἀφεγγής. Κῆπος καὶ κηπουρός τε.
Κῆτος, εἶδος ἰχθύος τε. Κηλώνειον, γεράνιν (6).
Κῆρ λέγεται καὶ ἡ ψυχὴ, ἀλλὰ καὶ περισπᾶται·
Κὴρ, μοῖρά τις, ὀξύνεται· θανατηφόρος πέλει.
Κηλῶ δὲ ἐστὶν ἀπατῶ. Κηκὶς, καὶ ὁ καπνός τε.
Καὶ κηλεὸς, ὁ καυστικός. Κήνας, ἀντὶ τοῦ κάψας (7).
Εἴπωμεν καὶ τὸ λάμβδα μου μετὰ περιχαρίας.
Λέβης. Λεκάνη. Λέων τε. Λεὼς, καὶ ὁ λαός τε.
Λέμβος, μικρὸν πλοιάριον. Λέχω, καὶ τὸ κοιμῶμαι.
Λεβηρὶς, δέρμα ὄφεως. Λεαίνω, ὁμαλίζω.
Λεωφόρος δὲ πέφυκεν ἡ πλατεῖα ὁδός τε.

(1) Exhibui fideliter scripturam codicis.

(2) Codex, κρήτης.

(3) Melius erit πηγίδιον. Est πηγήδιον et v. 662.

(4) Voluit, puto, scribere κρήγυον. Herod. Epim. p. 69: κρήγυον, τὸ ἀληθές.

(5) In fine codex habet κρείας, et in medio πολῶν. Hoc non notarem, ni de mea lectione τῶν πολλῶν fere incertus essem.

(6) Moschop. Π. σχ. p. 57: Κηλώνειον, τὸ κοινῶς γεράνιον, δι' οὗ τὸ ὕδωρ ἀνέλκουσι. Est in Cangii Glossario Κῆλος pro canale.

(7) Moschop. p. 57: Κήνας, ἀντὶ τοῦ φονεύσας.

Λέσχη, ἡ φλυαρία τε. Λέπρα. Λεπρός. Λεκάνη.
Λεξείδιον, τὸ λόγιον. Λεγεὼν, καὶ τὸ τάγμα.
Λέσβος ἡ νῆσος λέγεται, ἥτις ἡ Μιτυλήνη.
Πλὴν λαῖφος, καὶ τὸ ἄρμενον. Λαίλαψ, ὁ ἄνεμός τε.
Λαιός τε, ὁ ἀριστερὸς (1), μετὰ τοῦ αι διφθόγγου.
Τὸ λάμβδα δὲ μετὰ τοῦ υ, ὡς εἴπωμεν, ὦ φίλε.
Λύτης, ὁ ἐλευθερωτής. Λύμη τε, καὶ ἡ βλάβη.
Λύω καὶ λύσις. Λύτειρα. Λυσιτελής. Καὶ λύκος.
Λυδία, χώρα. Λύματα τὰ καθάρματα λέγει.
Λυσσῶντες, οἱ μαινόμενοι. Λύρα τε καὶ λυρίζω.
Λυμεὼν τε, ὁ βλαπτικὸς καὶ κάκιστος ἁπάντων.
Πλὴν τοῦ λοιμὸς, ἀνὴρ φθορεὺς καὶ λοιμικὴ ἡ νόσος.
Καὶ λοιδορῶ, λοιδόρισμα (2)· ἔτι δὲ καὶ λοιμῶδες.
Τὸ δέ γε λι σαφήσομεν μετὰ καὶ τὸ ἰῶτα.
Λιτὴ καὶ λιτανεία τε, παράκλησις ἐν φόβῳ.
Λιτὸν δὲ πάλιν, εὐτελές. Λίμνη. Λίαν, τὸ πάνυ.
Καὶ λιπαρῶ, παρακαλῶ. Λιγὺς, καὶ ὁ ὀξύς τε·
Λὶψ πάλιν, καὶ ὁ ἄνεμος. Λίπος, καὶ τὸ ἀξοῦγγιν (3).
Λὶς δὲ ὁ λέων εἴρηται, καὶ κλίνεται λιός τε.
Λιβάνιος. Λικίνιος. Λιλαίω, ἐπιθυμῶ γάρ (4).
Λιμὸς ἡ πεῖνα λέγεται. Λιγαίνω, τὸ ὑμνῶ δὲ (5).
Λικμῶ, ῥῆμα. Πολύσαρκος (6), ὁ λιπαρὸς τὴν σάρκα.
Λιμὴν, λιμένος. Λιχανὸς ὁ δάκτυλος ὑπάρχει.
Λίχνος ὁ λαίμαργος ἐστί. Λίθος δὲ, καὶ ἡ πέτρα.

(1) Basilius Gramm. pag. 18 : κελαιὸς, ὁ ἀριστερός. Imo scribatur καὶ λαιός.

(2) Cod. λοιδόρισμα. Fors. λοιδόρημα, vel λοιδορισμός.

(3) Est versus ap. Cang. Gloss. in Ἀξούγγιον.

(4) Posterius hemistichium est longius. Poteritne λιλαίω disyllabice proferri?

(5) Est δὲ pro enclitica. Conf. t. III, p. 479 : mox v. 507 ; et 639, 774, 795, 806, 824, 862.

(6) Codex, πολύσαρκον.

Λίνσον πάλιν, τὸ λινοῦν. Λισσὸν, τὸ ὁμαλόν τε.
Λιβὰς ἐστὶν ὁ σταλαγμός. Λίζιος, ὁ οἰκεῖος (1).
Λίπτω δὲ, τὸ ἐπιθυμῶ. Λῖνον, τὸ δίκτυόν τε (2).
Πλὴν λήθω· λήθη, λάθησις· λήσεις, τὸ ἐπιλάθης.
Λῃστής. Λῆρος, ὁ φλύαρος. Ληνὸς, ὁ βοτρυκλάστης.
Λῆμνος νησίον λέγεται. Λήμη, ἡ τζημβαλώπων (3).
Λήκυθος δὲ, τὸ λαδικὸν, ὃ καὶ ληκύνθιόν τε (4).
Λήγω, τὸ παύω. Λῆξις τε, ἡ παῦσις πέλει, φίλε.
Λῆμμα, τὸ δῶρον. Λῄσταρχος. Ἔτι καὶ ληρωδία.
Ἀλλ' ἔτι καὶ τὸ δίφθογγον εἴπωμεν διαῤῥήδην.
Λεῖον ἐστὶ τὸ ὁμαλὸν, καὶ λεία, ὁμαλή τε.
Λειποθυμῶ, λειποψυχῶ. Λείμαξ τε, καὶ ὁ κῆπος.
Λειμὼν, λειμῶνος λέγεται, παράδεισος ὁ θεῖος.
Λειβήθριοι, ἄνδρες τε μωροί (5). Λεαίνω, ὁμαλίζω.
Λείπω, καταλιμπάνω τε. Λείζουρος. Καὶ λειχῆνα.
Λειπόσαρκος, λειπόκρεως, ὁ λειπόμενος σάρκας.
Καὶ λειψυδρία λέγεται, φίλε, ἡ ἀνυδρία.
Λέξω τὸ λάμβδα πάλιν δὲ μετὰ ο τὸ μικρόν μοι.
Λόγος καὶ λόγιος ὁμοῦ. Λόγχη δὲ, τὸ κοντάριν.
Λοπὰς, ἡ χύτρα λέγεται, ὅπερ ἐστὶ τζουκάλιν (6).
Λόχμη (7) δὲ τόπος σύνδενδρος. Λοχεία, γέννησίς τε.

(1) Cod. λιβός. Adfert versum Cang. Gloss. in Λίζιος, sed male scriptum : λιμὸς ὅ ἐστι ὁ σταλ.

(2) Post hunc versum male iteravit librarius v. 462.

(3) Erit τζημβαλώπων genitivus ab τζημβάλωψ. Herod. Epim. p. 77: λήμη, ἡ τζίμβλα. Vide ibi not.

(4) Est versus ap. Cang. Glossar. in λήκυθος et in λάδη, imo λάδι. Inde λαδικὸν pro lecytho. Vide Corayi Atacta t. 1, p. 78. Moschop. Π. σχ. p. 167: λήκυθος καὶ ληκύθιον, τὸ μυρηρὸν ἀγγεῖον. Codex 2599, bene, μυρηρόν.

(5) De Libethriorum proverbiali ἀμουσίᾳ vid. ad Aristæn. 1, 27, p. 592. Forsan del. τε.

(6) Male scripsit Cangius Glossar. in Τζουκάλι : Λ. ἡ χ. καλεῖται, ὅ ἐ. τζυκάλι. Andreopulus de Syntipa p. 41 : κόσκινον ἀντὶ τζουκαλίου ἐκόμισε : ubi notavi.

(7) Codex, λόγχμη.

Πλὴν τοῦ λωβὸς, ὁ βλαπτικός (1). Λωποδύτης, ὁ κλέ-
πτης.
Λωτὸς, τὸ γλυκοκάλαμον (2). Λῷστος δὲ, καὶ ὁ φίλος.
Λώπη, καὶ τὸ ἱμάτιον (3). Λῷον, τὸ βέλτιόν τε.
Λὼτ, ὄνομα κύριον (4). Λῶμα, τὸ κράσπεδόν τε.
Τὸ μῦ δὲ, φίλε, λέξομεν, ὡς θέμις, ὠνορθίνου.
Μέγιστος. Μέτρον. Μέσος τε. Μεσίτης. Μεσιτεύω.
Μέδιμνόν τε, τὸ μόδιος. Μέδω, τὸ βασιλεύω.
Μέλαινά τε. Καὶ μελεδὼν ἡ φροντίς μοι ὑπάρχει.
Μεγαίρω τε, καὶ τὸ φθονῶ. Μέγαρα, ὑψηλά τε.
Μεθήμων τε, ὁ ἀμελής. Μεῤῥὰ, πηγὴ πικρά τε (5).
Μεθημοσύνη λέγεται ἡ ἀμέλεια, φίλε.
Μέθοδος. Καὶ μεσόριον (6). Μεθεὶς, τὸ καταλείψας.
Μελιχρόν τε, καὶ τὸ γλυκύ. Μελισμὸς, ἡ γλυκύτης.
Μελισμός τε (7), καὶ ἡ φροντίς. Μέλισσα ἐστὶν ζῶον.
Μέλεος, καὶ ὁ ἄθλιος. Μελίσσειον, κηρίον (8).

(1) Basilius Gramm. pag. 54: λώβη, νόσος· καὶ λωβός. Et plene e Cangii Glossario disco hunc morbum esse proprie lepram, ac λωβὸν καὶ λελωβημένον esse leprosum. Adde Reisk. ad Constant. De cerim. pag. 106; Corayum Atact. t. II, p. 216. Supra p. 32, 16, Joasapho obvius forte fuit homo λελωβημένος. Billyus vertit *ladre*, optime, præeunte Georgio, apud quem *leprosus*. Atque pictor, e regione ejus loci in codice 1128, hominem exhibuit cute maculosa, videlicet leprosum.

(2) Moschop. Π. σχ. p. 48: λωτὸς, ὁ κάλαμος, καὶ λωτὸν, κοινῶς κουφόξυλον. Cod. 2599, bene, τὸ κοινῶς κ. Et non habet ὁ κάλαμος.

(3) Moschop. ibid.: λῶπος, τὸ ἱμάτιον, καὶ λώπιον, ἀφ' οὗ λωποδύτης. Cod. 2599: λ. τὸ ἱμ. καὶ λώπη, καὶ λώπιον.... Vide Fischer. ad Anacr. p. 410.

(4) Est brevius hemistichium prius. Forsan Λὼτ δή.

(5) Cf. t. I, p. 261, n. 5.

(6) Cod. μεσώριον, et sic Moschop. Π. σχ. p. 64.

(7) Melius μελησμός. Vide Herodianum Epim. pp. 81, 180, 264, distinguentem μελισμὸν ab μελησμῷ.

(8) Moschop. Π. σχ. p. 65: μελίσσειον, κηρίον. Est μελίσσιον in Andreopuli Syntipa.

Μεμαὼς δὲ, ὁ πρόθυμος. Μενοινὴ, προθυμία.
Μέροψ ἐστὶν ὁ ἄνθρωπος. Μερκούριον ἂν θέλεις (1).
Πλὴν μαίνομαι, ὀργίζομαι. Μαινάς τε, καὶ ἡ πόρνη (2).
Μαινόλης τε, ὁ μανικὸς καὶ ζοφερὸς πολλάκις.
Τὸ μῦ μετὰ ἰῶτα μου ὡς εἴπωμεν, ὦ φίλε.
Μῖσος. Καὶ μίασμα. Μικρός. Μιαιφόνος, ληστής τε.
Μισθὸς, ἀφ' οὗ καὶ μισθωτός. Μίνθος τε, καὶ ἡ κόπρος.
Μῖμος ἐστὶν ὁ γελοιαστής (3). Μιχαὴλ, ὄνομά τε.
Καὶ μινυρίζω λέγεται, φίλε, τὸ κλαυθμυρίζω.
Μινυὸς ἔστιν ὁ μικρός· μινυῶ, ἐλαττῶ δέ.
Πλὴν μήτηρ, καὶ μητέρα τε· κλίνεται τῆς μητέρος.
Μῆλον τὸ πρόβατον ἐστίν· μῆλον, καὶ ἡ ὀπώρα.
Καὶ μηκηθμὸς ἡ τῆς αἰγὸς φωνή τε ἡ ἀγρία.
Μηνίω, τὸ ὀργίζομαι. Μῆνις, καὶ ἡ ὀργή τε.
Μῆκος τὸ πλάτος εἴρηται. Μήρινθος, τὸ σχοινίον.
Μηνύω πρός τινα λοιπόν. Μήθω τε, τὸ μανθάνω.
Μηρὸς δὲ τοίνυν τὸ μηρίν. Τὸ δίφθογγον ὡς εἴπω.
Μειδῶ, γελῶ. Ἀμείδιστος, ὁ ἀγέλαστος ἔνι.
Μείζων, ὁ μεγαλώτερος (4). Μεῖραξ τε, τὸ παιδίον·
Καὶ κλίνεται μειράκιον, ἀλλὰ καὶ μειρακύλλιν.

(1) Ita codex.

(2) Est μαινὰς eo sensu in Andreopuli Syntipa pp. 36, 58. Cf. ibi not. pag. 183. Moschopulus p. 65 : μαινὰς, ἡ ἀσελγὴς γυνή. Adde Herod. Epim. p. 83.

(3) Cod. γελιαστής. Fors. γελαστής : ni sit γελοιαστὴς trisyllabum.

(4) Cod. μεγαλόπερος. Democrates, p. 627 : ἰσχυρώπερος εἰς πειθὼ λόγος πολλαχῆ γίνεται χρυσοῦ. Scrib. ἰσχυρότερος. Hermogenes Partit. p. 4 : ἰσχυρωτάτην μὲν ἐξετάσιν ἐπιδέχεται ταῦτα. Scrib. ἰσχυροτάτην, quod est in cod. Mazarineo A 86. Lysias Epit. tom. II, p. 314, 5, Aug. : τί γὰρ ἂν τούτων ἀνιαρόπερον γένοιτο ἢ τεκεῖν μὲν καὶ θρέψαι τοὺς αὐτῶν ; etsi sit in cod. 3017, quo nunc utor, ἀνιαρώπερον, corrigendum ἀνιαρότερον. Mendum redemit librarius pleniora exhibens verba, καὶ θρ. καὶ θάψαι τοὺς αὐτῶν. Quo legatur modo Lysiæ locus in novis eisque optimis editionibus ignoro.

Μεὶς, καὶ ὁ μὴν, αἰολικῶς. Μείλιγμα, θεραπεία (1).
Μειλίσσω, τὸ πραΰνω τε. Μείραθος, τὸ σχοινίον.
Πλὴν Μύρα· ἔστιν ὄνομα. Μύστης, ὁ μαθητής τε.
Μύρομαι πάλιν, τὸ θρηνῶ. Μυῶ δὲ, τὸ διδάσκω.
Καὶ μῦς, ὁ σκαλαβώτιος, ὁ ποντικὸς, ὦ φίλε·
Ἀφ' οὗ καὶ μυωξία τε, ἡ φωλεά τις (2) τούτων.
Μυχὸς, τὸ βάθος τὸ τῆς γῆς. Μύρον, καὶ τὸ εὐῶδες.
Καὶ μυγαλὺς, ἡ γάλα τε. Μύρμηξ, ὁ μύρμηκάς τε (3).
Μύησις, καὶ ἡ μάθησις. Μύλος. Καὶ μυλωρός τε.
Καὶ μυκτηρίζω, λοιδορῶ. Μύραινα, ἡ ἰχθύς τε,
Ἥτις συνουσιάζεται μετὰ τὸν ὄφιν, φίλε,
Πρῶτον δὲ χύει τὸν ἰὸν, ἔπειτα συνουσίῃ (4).
Καὶ μυστικός. Καὶ μυρεψός. Καὶ μυελὸς ὁμοίως.
Πλὴν μοῖρα. Καὶ μοιρηγενὴς ὁ εὐτυχὴς τυγχάνει.
Μοιχὸς, μοιχεία. Μοιχαλὶς, πόρνη, καὶ μοιχαλίδα.
Μόρος ἐστὶν ὁ θάνατος. Μόνος. Μόλις. Καὶ μόνου.
Μόμφος ὁ ψόγος λέγεται. Μόλις, τὸ μετὰ βίας.
Μομφὴ δὲ μέμψις λέγεται. Πλὴν εἴπω καὶ τὸ μέγα.
Μωρός. Καὶ μῶμος· ἔνι δὲ ὁ ψόγος καὶ ὁ σπίλος·
Ἀφ' οὗ τὸν ἄμωμον φαμὲν τὸν μὴ ἔχοντα ῥύπον.
Εἴπωμεν δέ γε καὶ τὸ νῦ, ὡς θέμις, τὴν ἀξίαν.
Νέω, καὶ τὸ πορεύομαι, ἀφ' οὗ ὑπάρχει νέος.
Νεβρὸς, ἐλάφου γέννημα. Νέκυς, καὶ ὁ νεκρός τε,
Παρὰ τὸ νε στερητικὸν καὶ κὺς, ἡ δύναμίς τε (5).

(1) Moschop. Π. σχ. p. 131: μείλιγμα, ἡ θεραπεία. Adde e cod. 2599: μεῖον, τὸ ἔλαττον, ὑδε-πέρως.

(2) Codex, φωλεά τοῖς.

(3) Nomen simile, μύρμηγκας, est in Cangii Glossario. Conf. ὁ κόλακας v. 296.

(4) De serpentis fabula cum muræna coeuntis, vide Oppian. Hal. I, 554, cum Rittershusii nota; et adde Camus. ad Aristot. p. 538.

(5) Melius fuerit, καὶ κίκυς, δύναμίς τε. Conf. Etymol. M. in Νέκυς.

Νέφος. Νεφέλη. Νεφθαλείμ. Νέμω, καὶ τὸ παρέχω.
Νέμεσις, μέμψις. Νεμεσῶ, μέμφομαι. Καὶ νεᾶνις.
Νεογιλὸς, ὁ νέος τε. Νέκταρ, πόμα θεῶν τε.
Νεοσσὸς δὲ, ὁ στροῦθος τε. Νέπους, καὶ ὁ ἰχθύς τε.
Νεομηνία, ἡ ἀρχὴ μηνὸς ὑπάρχει, φίλε.
Καὶ νεοκόρος εἴρηται ναοῦ ὁ κυβερνήτης.
Νέω ἐστὶ τὸ κολυμβῶ. Νεὼς, ἡ ἐκκλησία.
Νεόσηκον (1), καὶ ὁ λιμήν. Νεανία, μωρία.
Πλὴν ναὶ, ναίχι (2), ἐπίρρημα. Ναίω, καὶ τὸ οἰκῶ γάρ.
Τὸ νῦ δὲ λέξω μετὰ ὁ ἄμφω· μὴ τὸ ἐάσω.
Νόμος. Νομοδιδάσκαλος. Νόσος καὶ νοσηλεία.
Νότα, τὰ γράμματα εἰσί. Νόστιμον, τὸ γλυκύν τε.
Νομάδες, καὶ οἱ Κόμανοι. Νότος, ὁ ἄνεμός τε.
Νομεὺς ἐστὶ καὶ ὁ βοσκός. Νόθος, ὁ πορνικός τε.
Νοσσίον, τὸ στρουθίον τε. Νοσσιὰ, ἡ φωλέα.
Νοσφὶ ἐστὶν ἀντὶ χωρίς. Νόος, ὁ νοῦς γάρ, φίλε.
Πλὴν νῶτος, καὶ ἡ ῥάχις τε. Νῶκαρ, ὁ ἀσθενής τε.
Νωδὸς ἐστερημένος τε ὀδόντων ἐστὶ, φίλε.
Καὶ νωχελὴς, ὁ ῥάθυμος. Νωθρὸς. Καὶ νωχελία.
Νωλεμέως, ἐπίρρημα, ἀντὶ ἀδιαλείπτως.
Νώροπες, οἱ λαμπρότατοι. Νωΐτερον, ἡμῖν τε.
Τὸ νῦ μετὰ ἰῶτα μου σαφήσω κατὰ λέξιν.
Νίκαια, πόλις· Νικαεύς. Νιρεὺς, ὁ εὔμορφος (3).
Νίτρον ἐστὶ σαπώνιον. Νίζω, τὸ καθαρίζω (4).
Νίκη. Νικήτας. Νίκωνος (5). Νικόλαος. Καὶ Νίκων.
Νικόδημος. Καὶ νικητής. Καὶ Νινευὴ, ἡ πόλις.

(1) Codex ita.
(2) Codex, ναὶ καὶ ναίχ.
(3) Herod Epim. p. 91 : Νιρεύς, ὁ εὔμορφος. Quem conf. et pp. 189, 263. De Nireo illo pulchro vide not. ad Manass. post Nicetam, p. 430.
(4) Versum adposuit Cang. Gloss. in Σαπώνιον.
(5) Ita codex.

Νίπτω, ἐξ οὗ καὶ ὁ νιπτήρ. Νίφω, τὸ χιονίζω.
Νίσις ἡ κάθαρσις ἐστί. Πλὴν τῆς τοιαύτης λέξις (1),
Νήδυμος ὕπνος, ὁ γλυκύς. Νηφάλεος (2), ὁ σώφρων.
Νήφω. Ὁ καὶ νηφάλιος ἐγρήγορος ὑπάρχει.
Νῆϊς ἐστὶν ἀδύνατος. Νήθω τε, καὶ τὸ κλώθω.
Νήχω δὲ ἐστὶν κολυμβῶ. Νήρυτον, τὸ πολύν τε (3).
Νηλὴς, καὶ ὁ ἀνηλεής. Νῆστις, ὁ ἄγευστός τε.
Νήλιπος, ἀνυπόδητος. Νημερτῶς δ', ἀληθῶς τε.
Νῆσσα, καὶ τὸ νησσάριον. Νήστιμος ἡ ἡμέρα.
Καὶ νηπενθὴς στερητικὸς τοῦ πένθους ἐστὶ, φίλε.
Νηὸς ἐστὶ καὶ ὁ ναός. Νηδύος. Νήπιός τε.
Νεῖλος δὲ δίφθογγον ἐστίν. Νείφω δὲ, καὶ τὸ βρέχω.
Νείκεια, φιλονεικία τέ (4). Τὸ ξῖ καλῶς σαφήσω.
Ξύλον. Ξύμπαντας, ἅπαντας. Ξύω ἐστὶ τὸ γράφω.
Καὶ ξυναυλία ἔνι δὲ, φίλε, συνομιλία.
Ξίφος μετὰ ἰῶτα μου. Ξυρὸς, καὶ τὸ ξυράφιν.
Τὸ ο δὲ, φίλε, τὸ μικρὸν ἀξίως ἀναφέρω.
Ὀρεύς ἐστὶν ἀείδαρος, καὶ κάνων ὁ αὐτός γε (5),
Καὶ ὑποζύγιον λέγεται (6), μάλιστα δὲ καὶ ὄνος.
Ὀρεωκόμος δὲ ἐστὶν ὁ στράτωρ τοῦ τοιούτου (7).
Ὅρος ἐστὶν ὁ ὁρισμὸς, ἀλλὰ μετὰ δασείας.
Ὄρος δὲ πάλιν, ὁ βουνὸς, ὃς καὶ ψιλογραφεῖται.
Ὅρμος ἐστὶ καὶ ὁ λιμήν. Ὀῤῥὸς δὲ, καὶ τὸ γάλα (8).

(1) Pro *νίσις*, forsan *νίψις*. In fine *λέξις* non bene habet. An dixit hic homo *λέξη*, *λέξης*?

(2) Ex accentu videtur esse scribendum *νηφάλαιος*.

(3) Moschop. Π. σχ. p. 175, scribit *νήριτον*, recte.

(4) Erit *φιλονεικία* quadrisyllabice efferendum.

(5) Quid sit *κάνων* nescio. Fors. *κάνθων*. De nomine *ἀείδαρος* vide Herod. Epim. cum nota p. 100.

(6) Pronuntietur *ὑποζύγιον* ut quadrisyllabum.

(7) Cangius versum adtulit Gloss. in *Στράτωρ*, scripto male *οἰκονόμος* pro *ὀρεωκόμος*.

(8) Moschop. Π. σχ. p. 78:

Καὶ ὀριγνῶ, ἐπιθυμῶ. Ὄρνιξ (1), καὶ ὄρνιθός τε.
Ὁρῶ τὸ βλέπω λέγεται. Ὅρασις. Ὁρισμός τε.
Ὅρπηξ ὁ κλάδος λέγεται. Ὀῤῥωδῶ, τὸ φοβοῦμαι.
Ὄρτυξ τὸ ὄρνεον ἐστί. Ὁρμίσκος, δακτυλίδι.
Ὀφείλω (2), καὶ τὸ χρεωστῶ. Ὄφλημα, καὶ τὸ χρέος.
Καὶ ὀφλισκάνω, χρεωστῶ. Ὀφέλλω, τὸ αὐξάνω.
Ὀφφίκιον, ῥωμαϊκὴ λέξις, ἡ τῶν Ῥωμαίων.
Ὄπτω, τὸ βλέπω ὄμματι. Ὀφειλέτης, χρεώστης.
Ὀδύσσω, τὸ ὀργίζομαι. Ὁδὶ, ἀντὶ τοῦ οὗτος.
Ὄδωδα ἔνι τὸ βρωμῶ· ὀδωδὼς, ὀδωδότος.
Ὁδοποιὸς, ὁδοίπορος (3). Ὀδμὴ, ἡ εὐωδία.
Ὀδύρομαι, καὶ τὸ θρηνῶ. Ὁδοιδόκος, ληστής τε.
Ὀμῶ δὲ, τὸ ὀμνύω τε. Ὅμιλος. Ὁμιλῶ τε.
Καὶ ὁμιλία λέγεται. Ὅμορος, καὶ ὁ γείτων.
Ὄμβριος. Ὅμοιος. Ὁμοῦ. Ὄμφαξ, τὸ ἄγουρόν τε (4).
Ὅμηρα, τὰ ἐνέχυρα. Ὁμώλαξ, καὶ ὁ γείτων.
Ὀμφὴ ἡ φήμη λέγεται, ἀλλὰ καὶ ἡ μαντεία.
Ὄλλω τὸ φθείρω λέγεται. Ὅλως, ὃ παντελῶς τε.
Ὄλβιος ἔνι πλούσιος. Ὅλος, ἀντὶ τοῦ ἅπας.
Ὀλιγωρῶ. Ὀλίγωρος. Ὄλμος, καὶ τὸ ἴγδιον.
Ὀλισθηρὸς, ὁ βλαβερός. Ὀλολύζω, τὸ κλαίω.
Ὀλολυγὴ, καὶ ἡ βοή. Ὄλεσα, τοῦ (5) ἐφθάρην.
Οἰκεία ἐστὶν ἡ πατρὶς· οἰκεία, ἡ ἰδία·
Εἰσὶ τὰ δύο δίφθογγα, χωρὶς τὴν κατοικίαν.
Τὸ πῖ δὲ τοίνυν εἴπωμεν μετὰ περιχαρείας.

ὀῤῥὸς, τὸ κοινῶς καλούμενον πυρόγαλον. Cod. 2599, πυρόγαλα.

(1) Ita codex.

(2) Nocet verbum ὀφείλω loco Libanii t. IV, p. 222: τὰ ἀνθρώπινα ἐν μεταβολαῖς ἐπιεικῶς ὀφείλει γίνεσθαι. Quanto melior varians lectio codicis 3016, φιλεῖ!

(3) Ita codex. Cf. p. 380, n. 6.

(4) De nomine ἄγουρος vide Corayi Atacta t. II, p. 10.

(5) Forsan τό: cf. vv. 893, 897.

Παιδίον. Καὶ παιδεία τε, ἡ παίδευσις, ὦ φίλε.
Παιδιὰ πάλιν λέγεται παίγνιον, ὀξυτόνως.
Πλὴν πέτερος τε καὶ πελαργός. Πεδίον, τὸ πεδιάδιν.
Πεσσοὶ, καὶ τὸ ταυλίον τε. Πέλας, καὶ ὁ πλησίον.
Πέκω, τὸ πλέκω. Πελιδνὸς, ὑγρὸς, ὁ ἀσθενής τε.
Πέλεκυς καὶ πελέκυος. Πελώριος, ὁ μέγας.
Πέμμα, τὸ γλύκασμα ἐστί. Πένης, καὶ ὁ πτωχός τε.
Πένησσα δὲ, καὶ ἡ πτωχή. Πέτηλον ἐστι φύλλον.
Πέδιλον, τὸ ὑπόδημα. Πενιχρὸς, ὁ πτωχός τε.
Πέλει τὸ ἔνι λέγεται. Πέλεια, περιστέρα.
Πεπαίνω, ὡριμάζω τε. Πέπων ἐστὶν πεπῶνιν.
Πέρας τὸ τέλος λέγεται. Πέρσης ἐστὶν ὁ Τοῦρκος.
Περιωπὴ, τὸ ὑψηλόν. Περόνιν, τὸ σουβλίον.
Περίψημα, τὸ παίγνιον. Περαίνω, τελειώσω.
Περαιτέρω, τὸ ἔμπροσθεν. Πέτεινον, τὸ βλατίον (1)·
Ἔπιπλον πάλιν τὸ αὐτό. Πέλμα, ποδὸς τὸ κάτω.
Πλὴν παίω τύπτω λέγεται. Παιδίσκη, καὶ ἡ δούλη.
Παίονες, Οὔγγροι (2). Παίπαλον τὸ κατάξηρον λέγει.

(1) Describens hunc versum Cangius, Gloss. in Βλατίον, scripsit, mero calami lapsu, πηλεινὸν τὸ βλ. Est βλατίον purpura (vide Corayi Atact. t. I, p. 185); nunc peculiariter aulæa in ecclesiis appensa. Lexicon ap. Cang. App. p. 72: ἔπιπλα... κυρίως τὰ ἐπὶ τοῖς ναοῖς ἐξηρτημένα βλατία. Idque ipse noster tradit v. seq. De quibus aulæis vide Vansleb. Hist. eccles. Alex. p. 56. Videtur πετεινὸν vocatum esse aulæum, quod figuras avium, aucupia, aliaque id genus, exhiberet. Pari ratione πλουμάκια et πλούμια dicti sunt panni et vestes animalibus et floribus acu pictis ornati, quod primum avium figuras et colores præsertim exhiberent, a *pluma* Latinorum; qua de re vide Corayi Atacta t. II, p. 278. Atque sunt in Constantini Porphyrogeneti Cerimoniis ταῶνες vestes intextis pavonum imaginibus variegatæ; quem ad locum lege Reiskium p. 60.

(2) Codex, παίοντες. Moschop. Π. σχ. pag. 137: Παίονες, ὄνομα ἔθνους. Herod. Epim. p. 106: Παίονες, οἱ Βουλγάροι. — Mox cod. πεπάλιν. Herodian. p. 107, παίπα-

Καὶ παιδοτρίϐης λέγεται ὁ διδάσκαλος ὄντως.
Ἐπειρᾶτο, τὸ ηὔχετο, ἦτα καὶ ο μικρόν μοι·
Ἐπηρᾶτο (1), ἐπιθυμῶ, ἦτα καὶ μέγα ὠ μοι.
Πάλιν, τὸ ἐκ δευτέρου (2) μοι, τὸ λι ἰῶτα γράφε·
Πάλην δὲ, τὴν παλαίστραν μοι, τὸ λη ἦτα τὸ γράφε (3).
Πλὴν πλεῖστος, καὶ πλειόνως δὲ, ἀντὶ περισσοτέρως.
Πλειὼν δὲ, χρόνος. Πλεῖον τε, τὸ περισσότερόν μοι.
Πλειὰς, καὶ τὸ ἑξάστερον, καὶ κλίνεται πλειάδος.
Πλεῖν δὲ, τὸ περισσότερον. Καὶ πλεῖν, ἀντὶ τοῦ πλέειν.
Πλέων δέ γε εἰς θάλασσαν, τὸ ω μέγα τὸ γράφε.
Πλίνθος δὲ, καὶ πλινθεία τε, καὶ πλινθίον, ἰῶτα.
Πτισάνη δὲ, τὸ πίτυρον. Πτήσσω, καὶ τὸ φοβοῦμαι.
Τὸ πρω δὲ τοίνυν λέξομεν μετὰ τὸ ω τὸ μέγα.
Πρῶτος. Πρωτεύω. Καὶ Πρωτεύς. Καὶ ὅσα ἀπὸ πρώτου (4).
Πρωΐ. Πρωΐα. Πρωϊνός. Πρωτόλεια, λαιμαργία.
Πλὴν τοῦ προΐκτης, ὁ πτωχός. Προτένθης, λαίμαργός τε.
Προϊξὰ ἐστὶν προυχθές (5). Προπηλακίζω, ὑβρίζω.
Πρὸξ γὰρ ἡ ἔλαφος ἐστίν. Προσηνὴς, καὶ ὁ πρᾶος.
Πρότονα (6), τὰ σχοινία τε. Ἀπρόσιτος, ὁ πόρρω.
Προσταινὶ ἔστι προυχθές. Προσῆκον δὲ, τὸ πρέπον.

λον, τὸ κατάξηρον. Cangii πιπάλη nomen est corruptum.

(1) Cod. πέπυρᾶτο, πίπηρᾶτο. Conf. v. 187, 188.

(2) Cod. ἐκδευτέρω.

(3) Alterum τὸ valde languet. Miror hominis supinitatem, qui toties in metro tam facili balbutiat. Pro τὸ poterat scribere νῦν, vel τὸ ω τὸ μέγα γράφε. Sic tamen pronomen τὸ vv. 643, 654.

(4) Codex, τοῦ πρώτου.

(5) Hemistichium prius est brevius. Est quoque brevius v. 653. In utroque loco legitur προυχθές. An pronuntiavit προϋχθές? Scripsisset alius, τὸ προχθές.

(6) Et habet πρότονα Moschop. Π. σχ. p. 91. Sed est πρότονοι in cod. 2599.

Τὸ πῖ μετὰ ἰῶτα μου μὴ τὸ ἐγκαταλείπω.
Πίτυς ὁ πεῦκος λέγεται. Πιτνῶ, τὸ πλησιάζω.
Πίννα, ζῶον θαλάσσιον. Πικρός. Πίθηξ (1). Πιέζω.
Πῖον τὸ λιπαρὸν ἐστίν. Πιναρὸν, ῥυπαρόν τε.
Πινυτὸς δὲ, ὁ φρόνιμος. Πιθάκνη, τὸ κουμνίον.
Πίστις. Πιλάτος. Πισυνὸς, ὁ θαῤῥῶν ἀριδήλως.
Πίδαξ πηγὴ μικρὰ ἐστί. Πιμπρῶ δὲ, καὶ τὸ καίω.
Καὶ Πισιδία γράφεται. Πρόσεχε ἐν καρδίῃ·
Πλὴν τοῦ πηδῶ, πηγήδιον (2), καὶ πηγημαῖον ὕδωρ.
Πήγανον ἐστὶ (3) βότανον. Πηλεὺς, ὄνομα, φίλε.
Πηνήκη, κρανοδέσμιον. Πηγυλίς τε, ὁ πάγος.
Πηδάλιν, τὸ αὐχένιον. Πημαίνω δὲ, τὸ βλάπτω.
Πῆμα τὸ βλάβος λέγεται. Πηὸς, ὁ συγγενής τε.
Πηρός γαρ ἐστὶν ὁ τυφλός. Πῆχυς, πήχεως, μέγα.
Πηλίκος μέγας πέφυκε. Πηγὸς, ὁ εὐτραφής τε.
Πῆθι δὲ λέγεται τὸ ποῦ. Πήρα, καὶ τὸ σακοῦλιν (4).
Πήσσω πηγνύω πέφυκε. Πηλαμὶς, τὸ ὀψάριν.
Πλὴν τοῦ πεινῶ, λιμώττω τε, ἀφ' οὗ λιμὸς, ἡ πεῖνα.
Πεῖρα γὰρ ἐστὶ δοκιμή. Πεῖσμα, καὶ τὸ σχοινίον.
Πεῖσα, τοῦ ξύλου ὁ σταθμός. Πείθομαι δὲ πολλάκις.
Τὸ πῖ δὲ πάλιν εἴπωμεν μετὰ ο τὸ μικρόν μοι.
Πόκος ἐστὶ ποκάριον. Ποκάδες δὲ, αἱ τρίχες (5).
Πόνος. Καὶ πόθος. Πόλεμος. Πόα, καὶ ἡ βοτάνη.
Πότμος ὁ θάνατος ἐστίν. Πολλοστὸς, ὁ μικρός γε.

(1) Cod. πίθιξ.

(2) Est πηγήδιον et v. 418. Moschop. Π. σχ. p. 86 : πηγή· πηδῶ. πήγανον. Cod. 2599 : πηγή· πηδῶ· Πηγαὶ, ὄνομα τόπου· πηγήδιον, ἡ μικρὰ πηγή· πήγανον. — Mox forsan πηγμαῖον. Cf. Herod. Epim. p. 109.

(3) Codex, ἔστη.

(4) Moschop. etiam pag. 86 : πῆθι, ἀντὶ τοῦ ποῦ. Versum adposuit Cangius Gloss. in voce Σάκουλον.

(5) Est versus ap. Cangium Gloss. in Ποκάριον.

Πόπανα, τὰ γλυκύσματα. Πορθμεῖον δὲ, τὸ πλοῖον.
Πόῤῥω δὲ ἐστὶ τὸ μακράν. Πόρω, καὶ τὸ παρέχω.
Ποτνιῶ (1) δὲ, τὸ παρακαλῶ. Πολλὸν ὅ τι πολὺν γάρ.
Πόλος δὲ ἔστιν οὐρανὸς μετὰ ο τὸ μικρόν μοι.
Πλὴν πῶλος ὁ ἀείδαρος. Πωλῶ, καὶ τὸ πιπράσκω.
Πώμαλα ἔστιν οὐδαμῶς. Πῶμα, τὸ σκέπασμά τε.
Πῶϋ, τὸ ποίμνιον ἐστίν. Πώγων καὶ ὁ πωγωνίας.
Καὶ πωλικὸν τὸ πήδημα τὸ ἄτακτον ὑπάρχει.
Εἴπωμεν τοίνυν καὶ τὸ ῥῶ, ὡς ἔτυχεν ὁ δρόμος.
Ῥίψω. Ῥίμμα, τὸ βέλος τε. Ῥίγος ἐστὶ τὸ κρύος.
Ῥίγιον ἔστι φοβερόν. Ῥὶνς (2) δὲ ἐστὶν ἡ μύτης,
Ἀφ' οὗ καὶ κλίνεται ῥινός. Ῥικνὸς, ὁ παλαιός τε.
Ῥῖον, τὸ ἀκρωτήριον. Ῥίφα (3), καὶ τὸ εὐκόλως.
Ῥινὸς, τὸ δέρμα τοῦ βοός. Ῥιμμός τε, καὶ ἡ ῥῖψις.
Πλὴν ῥῆμα, καὶ τὸ λόγιον. Ῥήτωρ καὶ ῥητορεία.
Ῥήσεις τε καὶ ῥησείδιον. Ῥηγεὺς, καὶ ὁ βαφεύς τε.
Ῥητὸν ἔστι καὶ τὸ λεκτὸν, ἐξ οὗ τὸ ἄῤῥητόν τε.
Ῥηξήνωρ, ὁ ἀνδρεῖος τε. Ῥήγιον, ὄνομά τε.
Ῥηγμὶν (4) ἐστὶν αἰγιαλός. Ῥὴν, καὶ τὸ πρόβατόν τε.
Ῥὴξ, ὄνομα, καὶ τοῦ ῥηγὸς, ἀφ' οὗ καὶ ῥήγενά τε (5).

(1) Ποτνιῶ pronuntietur disyllabice.

(2) Codex sic ῥίνς.

(3) Codex sic ῥίφα. Recte ῥίμφα ap. Herodianum Epimerism. pag. 119.

(4) Codex, ῥηγμήν. Sic Moschop. Π. σχ. p. 138: ῥηγμήν· sed codex 2599 recte, ῥηγμίν. Alio modo peccavit librarius scribens ῥιγμῖσι pro ῥηγμῖσι, in epigrammate inter Anal. t. XIII, p. 629: Ἀλλά σε νῦν Ἀχέροντος ἐπὶ ῥηγμῖσι γηγῶσαν Θαμβεῖ ἀνὰ γλυκερὰν ματέρα δερκόμενος. Præpositio ἀνὰ doctis hominibus displicuit, qui vel ἄναξ proponunt, Ulysses scilicet de quo agitur; vel, quod malim, πάν. Nihil tamen mutandum esse videtur, quum possit esse facillima tmesis verbi ἀναδερκόμενος.

(5) Est versus ap. Cang. Gloss. in Ῥηγίνα, male omisso priore καί. Conf. Corayi Atacta t. II, pag. 266.

Ῥητίνη, πεύκης (1) τὸ ὑγρόν. Ῥηϊδίως, εὐκόλως.
Τὸ ῥῶ δὲ τοίνυν μετὰ ὁ σαφῶς διασαφήσω.
Ῥοβοὰμ ἔστιν ὄνομα. Ῥοιὰ, ἡ ῥοϊδέα (2).
Ῥόδος, ἡ νῆσος. Ῥόδον τε. Ῥόδειος στέφανός τε.
Πλὴν τοῦ Ῥωμύλος, ὄνομα· ἀλλά γε καὶ Ῥωμαῖοι.
Ῥωννύω. Ῥώμη. Ῥώννυμι, ἐνδυναμῶ πολλάκις.
Ῥὼψ καὶ ὁ θάμνος εἴρηται. Ῥῶσις, καὶ ἡ ὑγεία.
Ῥὼξ, καὶ ὁ βότρυς, καὶ ῥωγός. Ῥωσία, Ῥῶς καὶ Ῥοῦσος (3).
Καὶ Ῥωμανὸς, τὸ ὄνομα. Ῥῶγα δὲ, καὶ τὸ ζῶον (4).
Ῥήτρα, ἡ ῥητορεία μοι (5). Γράφε δὲ διὰ διφθόγγου.
Ῥεῖθρον ἐστὶν τὸ κόκκινον (6). Ῥεῖα, καὶ τὸ εὐκόλως.
Τὸ σίγμα λέξω εὐμαρῶς, ὡς θέμις, τὴν ἀξίαν.
Σοφός. Σοφίζω. Σοφιστής. Σοφία Σολομῶντος.
Σολομωνίς. Καὶ Σοφοκλῆς. Σόδομα (7). Σόλος, δίσκος.
Σοβὰς ἐστὶν ἡ μανική. Σορὸς τε, καὶ ὁ τάφος.
Πλὴν τοῦ σωρεύω· σώρευσις. Σωλὴν, τὸ σωλήνιν.
Σώζω. Καὶ σῶος, ὑγιής. Σωτήρ τε. Καὶ ὁ σώφρων.
Σώστρα δὲ (8), ἡ σωστική. Σωφείρ τε, καὶ ὁ λίθος.

(1) Codex, πεύκυς.

(2) Ad ῥοιὰ conf. schol. ad Pauli Silent. Thermas v. 114, p. 149, 1, alterius editionis Anacreontis a me curatæ. Qua in editione p. 121, 5, ad Od. 18, 3, remansit ex priore editione mendum ex iis quæ facile oculos illudunt, « gemino » pro « genuino ».

(3) Ῥωσία est Russia, et Ῥῶς Russus. Vid. not. ad Herod. Epim. p. 121, et Moschop. Π. σχ. p. 200.

(4) Moschop. ibid. ῥὼξ, τὸ φαλάγγιον, καὶ ἡ τοῦ βότρυος. Phalangium, Moschopulo dictum ῥὼξ, huic homini vocatum esse puto ῥῶγα.

(5) Moschop. Π. σχ. p. 138: ῥητορεία. Codex 2599: ῥήτρα ποιητικῶς, ἡ ῥητορεία. Conf. Herodian. Epim. p. 119.

(6) Puto hic lapsum esse schedographum, et debuisse scribere ῥυθρὸν vel ῥύθρον, quod idem foret atque ἐρυθρὸν, et per κόκκινον apte redderetur.

(7) Moschop. Π. σχ. pag. 53: Σόδομα, τόπος· ὁ ἀπὸ τούτων Σοδομήτης. Melius Σοδομίτης in codice regio 2599.

(8) Pro σώστρα velim σώπι-

Ὡσαύτως τὸ ἰῶτα μου μετὰ τοῦ σίγμα λέξω.
Σιγὴ, σιγῶ. Καὶ σιωπή. Σίνω δὲ, καὶ τὸ βλάπτω.
Σῖνος τὸ βλάβος λέγεται. Σινώπη πάλιν, χώρα (1).
Σιὼν, Ἱερουσόλυμα, ἀφ' ἧς καὶ Σιωνίτης.
Σισύρα γοῦνα πέφυκε. Σισάρα, κύριόν τε (2).
Σίμβλον τὸ οἴκημα ἐστὶν τῶν μελισσῶν, ὦ φίλε.
Σίδηρον. Σίδη, ῥοιᾶς ὁ φλοιὸς καὶ ἡ πόλις.
Σίκυα, τὰ τετράγγουρα (3). Καὶ σικυήλατόν τε.
Καὶ σιαγὼν, ἡ παρειά. Σιβύλλα, ὄνομα τε.
Σίελός τε (4), τὸ σάλιον. Σιληνὸς, ὁ μωρός τε.
Σιλαίνω, τὸ μωραίνω τε. Σιλαίνω, τὸ χλευάζω.
Καὶ σιμικίνθιον ἐστὶν, φίλε, τὸ φακεόλιν (5).
Σιτοδεία ἐστὶν λιμός. Σίνω, τὸ κοσκινίζω.
Σιφλός τε, ὁ ἐπίψοφος. Σίντης, ὁ βλαπτικός (6).
Σιπύη, ἀρτοθήκη μοι. Σιρός τε, καὶ ὁ λάκκος (7).

ρα. Moschop. Π. σχ. p. 53 : σώπειρα, ἡ σωστική.

(1) Vocem χώρα, qua sæpe ἀντὶ τοῦ πόλις recentiores utuntur, illustravi ad Herodian. pag. 124. Moschopulus Π. σχ. p. 86: Πίσσα, χώρα. Cod. 2599, πόλις, quod doctum grammaticum magis decet. Duplex σ puto librariis esse tribuendum.

(2) Est hic versus in Gloss. Cangii sub Γοῦνα. De σισύρα et γούνα vide not. ad Herod. Epim. p. 124, collato Reiskio ad Constant. p. 232 B.

(3) Moschop. Π. σχ. p. 53: σίκυα, οἱ νῦν ἰδίως πέπονες καὶ τὰ κοινῶς πετράγκουρα. Melius πετράγγουρα in cod. 2599.

(4) Codex, σίελος τί. Moschop. p. 54 : σίελος, τὸ κοινῶς σάλος ἀρσενικῶς. Fit ab σάλος neutrum σάλιον. Conf. Herod. Epim. p. 123.

(5) Est versus apud Cangium Glossar. in Σιμικίνθιον. Vide not. ad Herod. Epim. p. 124.

(6) Moschop. p. 54 : σίνης, ὁ βλαπτικός. Cod. 2599, σίντης.

(7) De nomine σιρὸς vide Corayi Atacta t. II, p. 326. Apostolius Adag. I, 8, in myrmeciis ait tria esse spatia, quorum unum ἀποφαίνουσιν οἷον ἀνδρῶν εἶναι (imo ἀνδρῶν', ut est recte in codice 3059); secundum esse fœminis proprium, οἱονεὶ γυναικῶνα· τρίτον δ' ἕτερον θησαυρόν τε καὶ σιρὸν ἀποκρίνουσι τοῖς ἠθροισμένοις σπέρμασιν. Longe præstat codicis ejusdem lectio, σιρόν. Ælianus, quem descripsit Apostolius, bonas hasce lectiones habet.

Σιτώνης, ὁ ἀγγεραστὴς πάντων τῶν σιταρίων (1).
Σιμὸς δὲ ἔστιν ὁ πατὸς, ὃν λέγομεν κοντόον (2).
Πλὴν τοῦ Σηλώμ. Σημαίνω τε· σήμανδρον (3)· καὶ σημεῖον.
Σημαία τε τοῦ φλάμπουλου (4). Καὶ σηλυμβρία, τόπος.
Σήθω, τὸ κοσκινίζω τε (5), ἀφ' οὗ σητάνιος ἄρτος
Ὁ καθαρώτατος ἐστί. Σὴς ἔνι καὶ ὁ σκώληξ.
Σηὼν ὁ βασιλεὺς ἐστὶ τῶν Ἀμοῤῥαίων, φίλε.

(1) De nomine σιτάριον vide notam ad Andreopuli Syntipam pag. 193.

(2) Πατὸς, imo πατζὸς, ut est in Herodiani Epimerismis p. 124. Moschopulus Π. σχ. p. 54 : σιμὸς, ὁ τὴν ῥῖνα ἔχων συνιζηκυῖαν καὶ μὴ ἐκκρεμαμένην. Addit codex 2599 : ἀπὸ τούτου σιμηνὸς, καὶ Σιμὸς ὄνομα κύριον. Quod nomen alibi alio notatur accentu, Σῖμος, ut in Theocriti Id. XIV. Obiter monebo quam feci distinctionem versuum hujus Idyllii 59, 60 (Μισθοδότας Πτολεμαῖος. — Αἰσχ. Ἐλευθέρῳ οἷος; — Θυών. Ἄριστος. — Αἰσχ. Τἄλλα δ' ἀνὴρ ποῖός τις, ἐλευθέρῳ ὅστις ἄριστος.), repertam modo a me fuisse in codice 2831. — In fine versus, pro κοντόον, exspectabam κοντόν γε. Sed cf. φυτόα v. 413. De nomine κοντὸς vel κονδὸς vide t. III, p. 476, 2. Isaacius Porphyr. De prӕterm. p. 305 : ὁ Μενέλαος, ὁ τούτου (τοῦ Ἀγαμέμνονος) ἀδελφὸς, βραχύς. Codex 817, αὐτάδελφος, κονδός. Idem codex editӕ ejusdem Menelai descriptioni addit epitheta duo : εὔριν, εὐπρόσωπος.

(3) Est σήμανδρον pro σήμαντρον, vitio forsan librarii, non auctoris. Conf. p. 195, n. 1. De re t. III, p. 446, n. 1.

(4) Scripserat forsan τὸ φλάμπουλον. Ille literarum nexus μπ indicat, non a flamma nomen esse derivatum, sed a nostro *flambe*. A flamma fit notius vocabulum φλάμουλον. Moschop. Π. σχ. p. 54 : σημαία, τὸ φλάμουρον· imo φλάμουλον, ut est in codice 2599. Conf. not. ad Herod. Epim. p. 125. Voce σημαία usus est Psellus De operat. Dӕm. p. 22, loco quem interpres latinus ac commentator non recte ceperunt: τούτων γὰρ (τῶν θείων συμβόλων) ταῖς ψυχαῖς ἐνόντων, ὥσπερ τινὸς ἐν οἰκίσκῳ σημαίας βασιλικῷ, τὸ δαιμόνιον φῦλον δέδιε καὶ ἀφίσταται. Vertit interpres : « non aliter » quam sigillum aliquod regium » in ӕdibus. » Et de sigillis notam fecit Gaulminus. Legendum e codd. βασιλικῆς, et vertendum : « velut in ӕdibus vexillum quod» dam regium. »

(5) Moschop. ibid. σήθω, τὸ κοσκηνίζω. Recte codex, κοσκινίζω.

Στὴθ δὲ ἐστὶ τὸ ὄνομα. Σηπία, ἡ ἰχθύς τε (1).
Σήκρητον ἐστὶ σέκρετον. Σημειῷ σημειώσθω.
Πλὴν τοῦ σειρᾷ, ἡ ἄλυσις. Σειλινὸς, καὶ ὁ γέρων.
Σείριος, καὶ ὁ ἥλιος. Αὖθις σειρήνια μέλη.
Σειστὸς, ὁ γυναικεῖος μοι κόσμος τῶν ἱματίων.
Τὸ σῖγμα πάλιν εἴπωμεν μετὰ ε τὸ ψιλόν μοι.
Σέλας τὸ φῶς ὑπάρχοιεν (2). Σεμνὸς, ὁ ἔντιμός τε.
Σέρις τὸ σέλινον ἐστίν. Σεμνεῖον, μοναστήριν.
Σεναχηρείμ. Καὶ σεσηρὼς, ὁ χαίρων καὶ γελῶν τε.
Σέας τοὺς σκώληκας φαμέν. Πλὴν σαίνω, κολακεύω.
Καὶ σαίρω, τὸ φιλοκαλῶ. Σαίνουρος, κόλακάς τε (3).
Πᾶσα δὲ λέξις (4) εἰς τὸ στὸ, τὸ ο μικρόν μοι γράφε.
Στόμα καὶ στόμιον. Στορῶ ἔνι καταπραΰνω.
Στολίζω (5). Στόνος, στεναγμός. Στομύλος, φλύαρός τε.
Στοὰ δὲ πάλιν λέγεται, φίλε μου, ἡ καμάρα (6).

(1) Forsan et ἡ prò ἣ v. 527: μύραινα ἡ ἰχθύς.

(2) Codex, ὑπάρχειεν, permutatis vocalibus ει et οι. Joannes Mauropus De physiogn. in meis ad Marinum notis p. 131: ἀπνεὶς καὶ ἀσκαρδαμυκτὶ ὁρῶντες ὀφθαλμοί. Codex, ἀπνοῖς, quod aptius in ἀπνεῖς mutassem: et est ἀπνεῖς in codice Mustoxydiano. Isaacius Porphyr. D e præterm. pag. 272: Ἡρακλῆς... πῖχον τινὰ πρὸς σκέπην τοῦ... ἐπέκτηνεν. Etsi consentiat codex 817 in πῖχον, rescribam πῖχον, vel etiam πῖχος: nec me τινὰ morabitur, quum sit in codice nomen, cui τινὰ jungatur, προσκέπην. Optativum ipsum ὑπάρχοιεν, pro ὑπάρχοι, firmare poterit nota p. 155. Andreopulus de Syntipa p. 74: ἐπὶ μακροὺς χρόνους ἡ ἐξουσία σου διαμένοι. Photius adversus Manichæos, 1, p. 86, habet πνεῦμα ἐπιφοιτήσοι.

(3) Sic codex, κόλακας. Conf. v. 296.

(4) Imo πᾶσαν δὲ λέξιν, ni nominativus fuerit absolutus.

(5) Moschop. Π. σχ. p. 89: στολίζω, στολισμὸς, στολιστής. Cod. 2599, recte στολιστής.

(6) Moschop. ibid. στοὰ, στόλος. Cod. 2599, στολὴ, στόλος. Forsan στοὰ, στολὴ, στόλος. Sed poterit στοὰ hic abesse, quum id nomen tractaverit supra Moschopulus.

Τὸν χερουβεὶμ καὶ σεραφεὶμ δίφθογγον ει μοι γράφε·
Οἱ χερουβὶμ, πληθυντικὸν, οἱ σεραφὶμ, ἰῶτα (1).
Σαγήνη δὲ, τὸ δίκτυον. Στροβῶ δὲ, τὸ ταράσσω.
Στόνος ἐστὶν ὁ στεναγμός. Στένω, καὶ τὸ στενάζω.
Στέαρ τὸ λίπος πέφυκεν, ὅπερ ἐστὶν ἀξοῦγγιν (2).
Στέφανος ἔστιν ὄνομα. Στέγω, καὶ τὸ στεγάζω.
Καὶ στεγανὸν, τὸ στερεόν. Στεῤῥὸς καὶ στερεός τε.
Στέρνον τὸ στῆθος λέγεται. Στέλεχος, καὶ ὁ κλάδος.
Στερίφη στεῖρα πέφυκεν. Στεροπὴ, ἀστραπή τε.
Σταιτίτης ἄρτος, καθαρός. Σταὶς δὲ ἔστιν ἀλεῦριν.
Εἴπωμεν, φίλε, καὶ τὸ ταῦ μετὰ ε τὸ ψιλόν μοι.
Τέγος, τὸ στέγος. Τέθριππον, ἅρμα ἵππων τεσ-
σάρων.
Τέλος. Τελώνης (3). Τέλειος. Τελώνης, φορολόγος.
Τεκταίνω κατασκεύασμα. Τελχὶν, δαιμόνιόν τε.
Τέμπος, τοῦ ὄρους κοίλωμα (4). Τεμμαχίζω, τὸ κόπτω.
Τεὸν τὸ ἴδιον ἐστί. Τερθρεία (5), ἡ μαγεία.
Τέρετρον, τὸ τρυπάνιον (6). Τέρεν, τὸ ἁπαλόν τε.
Τέχνη τεχνίτου. Τέτρωρον τὸ ἅρμα ἔνι, φίλε.
Καὶ τετρεμαίνω, δειλιῶ. Τεράστιον, σημεῖον.
Τέτρεμα τρέμω πέφυκεν. Τένδω, καὶ τὸ ἐσθίω.
Τέμενος πάλιν, ὁ ναός. Πλὴν Ταίναρ, ἀκροτῆριν.
Ταινία, καὶ ὁ στέφανος. Ταινιῶ, στεφανῶ δέ.
Τὸ ταῦ δὲ πάλιν μετὰ ῥῶ ἰῶτα γράφε, φίλε.
Τριττὺς ὑπάρχει ἡ τριάς. Τρίβος, καὶ ἡ ὁδός τε.

(1) Versus 753, 754, hic loci non exspectabamus.

(2) Cangius, versum adponens, Gloss. in Ἀξούγγιον, male scripsit στέας, omisso πέφυκεν.

(3) Moschop. Π. σχ. pag. 42, πλώνης, πλώνου : addi poterit e cod. 2599, σιτώνης, σιτώνου.

(4) Codex, κόλωμα.

(5) Codex, τεθρεία.

(6) Codex, τριπάνιον. Cangii τρίπα est reformandum in τρόπα.

Τρίχινον ῥάκος. Τρίχα τε (1), τριχὸς καὶ ἡ τριχή τε.
Τρίπηχυς. Τρισευδαίμων τε. Τριβαλλὸς, καὶ ὁ Σέρβος (2).
Τρίπους, καὶ τρίποδα φαμέν. Πλὴν εἴπω καὶ τὸ ἦτα.
Τρήρων δειλὴ περιστερά. Τρηχὺς, καὶ ὁ τραχύς τε.
Δίχα τοῦ τρεῖς ἐπ' ἀριθμοῦ. Τρῶ δὲ, καὶ τὸ φοβοῦμαι.
Τὸ τρυ δὲ πάλιν μετὰ υ. Τρυγῶ. Καὶ τρυγητός τε.
Τρυφῶ. Τρυφή. Τρυτάνη δὲ τὸ ζύγιον ὑπάρχει.
Τρυγὼν, τρυγόνος. Τρυφηλός. Τρύφων ὄνομα (3) ἔνι.
Τύμβος ὁ τάφος λέγεται. Τυμβορύκτης, ὁ κλέπτης.
Τύρβη. Τυρβάζω. Τυρβασμὸς, ὁ φρουλισμὸς, ὦ φίλε.
Τύφος, κενοδοξία τε. Τύφω δὲ, καὶ τὸ καίω.
Τυτθὸς δὲ πάλιν ὁ μικρός. Τυφλός. Καὶ τύραννός τε.
Τὸ ταῦ δὲ πάλιν μετὰ ο καλῶς, ὦ φίλε, σκόπει.
Τόμος ἐστὶ κονδάκιον (4). Τομὸς, ὁ κοπτικός τε.
Τόπος. Τόκος, τὸ γέννημα. Τόνος, ἡ δύναμίς τε.
Τομεὺς ὁ σίδηρος ἐστί. Τομίας, ὁ εὐνοῦχος.
Τοπάζιον, λίθος ἔντιμος. Τομὶς, ἡ μάχαιρά τε.
Τόσος. Τοσοῦτος. Καὶ τοκεὺς, ὁ γονεὺς τῶν παιδίων.
Τοθάζω (5) τε, τὸ λοιδορῶ. Τοπῶ, ὑπονοῶ δέ.
Τὸ υ δὲ, φίλε, εἴπωμεν μετὰ περιχαρίας.
Ὑμεῖς, ὑμῖν, ὑμέτερος, δεύτερον πρόσωπόν τε.
Ὕμνος, ὁ ἔπαινος ἐστί. Ὑμήτλιον τὸ μέλιν (6).
Ὑπνώττοντα νεώτερον μηδόλως καταχλίσῃς (7)
Ὑπόνεια (8) ἡ παρειὰ ὑπάρχει κατὰ μέρος.

(1) Conf. ad v. 381.
(2) Conf. t. I, p. 273.
(3) Codex, ὄιομαι.
(4) Imo κοντάκιον. Cf. Addenda.
(5) Error est schedographi.
(6) Codex, ὑμίτλιον. Theodorus Prodromus Tetrast. p. 210: Ἄκουε Παύλου τῶν μελισταγῶν λόγων, Σίμβλων δ' ἀπορράγηθι τῶν ἡμετέρων. Modestior fuit Theodorus quam qui suam infantiam mellificam esse diceret. Repone τῶν ὑμητλίων e codice 2831.
(7) Codex, καταχλίσῃς.
(8) An ὑπήνεια, formatum ab ὑπήνη? Moschop. Π. σχ. p. 139:

Τὸ φῖ τοίνυν ὡς λέξομεν μετὰ τὸ ω τὸ μέγα.
Φωκᾶς. Φώτιος, ὄνομα. Φώσσων (1), τὸ ἄρμενόν τε.
Φώκη, ζῶον θαλάσσιον. Φὼρ ἐστὶ καὶ ὁ κλέπτης.
Φωριαμὸς (2), κιβώτιον. Φώριον, καὶ τὸ κλέμμα.
Φωταύγεια. Καὶ φωνασκῶ, ῥῆμα, μεγάλως λέγω.
Φῶς δὲ τὸ λάμπον λέγεται· φὼς, ὁ ἀνὴρ δὲ, φίλε (3).
Φωσφόρος, καὶ ὁ ἥλιος. Φωλάδος (4), εἶδος νόσου.
Πλὴν τοῦ φονὴ, ἡ φόνευσις, ἐξ οὗ φόνιον ὄμμα.
Φόβη, ἡ θρὶξ τῆς κεφαλῆς. Φόβος τε καὶ φονεία.
Φόρος τὸ τέλος λέγεται, ἀφ' οὗ καὶ φορολόγος.
Φορμὸς, ὁ καλαθίσκος τε. Φολκὸς, καὶ ὁ στραβός τε.
Καὶ φορβειὰ, ὁ χαλινός. Φορύνω, τὸ μολύνω.
Φοξὸς, ὁ ὀξυκέφαλος. Φόρμιγξ (5), καὶ ἡ κιθάρα.
Φορβὰς δὲ, τὸ φοράδιον (6). Φοσάτον, ὁ στρατός τε.
Φορβὴ δὲ ἐστὶν ἡ τροφή. Φολάς τε καὶ ἡ φόλις.
Τὸ φῖ μετὰ ἰῶτα μου πάλιν καλῶς σαφήσω.
Φιάλη, τὸ ποτήριον. Φιλῶ, τὸ ἀγαπῶ, σε.
Φίλοινος ἐστὶ μέθυσος. Φιλέτης, ὁ πτωχός τε.
Καὶ φιμινάλιον ἐστὶ, φίλε μου, τὸ βραχίον (7)·

ὑπήνη, τὸ γένειον· ὑπηνείτης, ὁ γενειήτης. Codex 2599, ὑπηνήτης, recte.

(1) Codex, φώσσων. Moschop. Π. σχ. p. 42, et Basil. Gramm. pag. 48 : φώσσων, τὸ ἄρμενον. Est ἄρμενον velum navis. Vide v. 441, et Corayi Atacta t. I, p. 71.

(2) Delendum foret e Cangii Glossario φοριαμός. Nam mendosa primæ syllabæ brevitas non satis est, ut vox tam antiqua ad mediam et infimam græcitatem detrudatur.

(3) In Basilii Grammatica p. 48, utrumque nomen, φῶς et φὼς, accentu circumflexo notatur, idque male. Confersis t. III, pag. 338.

(4) De φωλάδος vide not. ad vers. 296.

(5) Codex, ὀξυκέφελος, φόρμιξ. Sic θώμιξ v. 297.

(6) Forsan φορβάδιον, ut est in Basilii Grammatica p. 53. — Vide Corayi Atacta, t. II, p. 379, ad Φωσάτον.

(7) Est hic versus apud Cangium Gloss. in Φημινάλια. Lexicon in Bekk. Anecd. p. 391 : ἀναξυρίδες φιμινάλια, βρακία.

Καὶ φιλέταιρος, ὁ φιλῶν ξύμπαντας τοὺς ἀνθρώπους.
Φίλαυτος, ὁ κενόδοξος. Φιλαδελφεία, πόλις·
Φιλαδελφία πάλιν δὲ, ἡ φιλαδελφοσύνη (1).
Φιμὸς ἐστὶν ὁ χαλινός. Φίτυς, καὶ ὁ πατήρ τε.
Πλὴν τοῦ φημῶ, τὸ ἐπαινῶ. Φηλῶ, τὸ ἀπατῶ δε.
Φηλέτης, ὁ ἀπατεών (2). Φῆναι, ἀντὶ τοῦ δεῖξαι.
Οφητο λέγει (3). Καὶ φημί. Φήειν, ἀντὶ τοῦ εἴποι.
Πλὴν φείδω, καὶ τὸ ἐλεῶ. Φειδωλῶς, ἀκριβῶς τε (4).
Φερέοικος κοχλίας τε (5). Καὶ φεραυγὴς, λαμπρός τε.
Φέρνη, ἡ προίξ. Φελώνη τε (6). Φενακισμὸς, ἀπάτη.
Πλὴν τοῦ φαιὰ, ἡ μέλαινα. Φαιδρὸς, καὶ ὁ λαμπρός τε.
Φαινόλης, ὁ ἀπατεών. Φαιδρύνω, τὸ λαμπρύνω.
Φαίδιμός τε, καὶ ὁ λαμπρὸς, ἀλλὰ καὶ φαιδροειδής.
Τὸ δέ γε φῖ μετὰ τοῦ υ μηδόλως ἀποφύγω.
Φῦλον τὸ γένος λέγεται· ἓν λάμβδα, περισπᾶται.
Φύλλον δὲ πάλιν τοῦ δένδρου (7), δὶς λάμβδα καὶ ὀξεῖαν.
Φυὴ, ἡ ἡλικία τε. Γράφε καὶ εὐφυΐα.
Φύκος, καὶ τὸ φυκάριον. Φυλοπὶς, καὶ ἡ μάχη.
Φυλέτης τε, ὁ συγγενής. Φύξις, καὶ ἡ φυγή τε.
Φύσκη ἡ φούσκα λέγεται. Φύραμα, καὶ ἡ ζύμη (8).
Φῦσα ἡ μήτηρ λέγεται. Φύω, ἀναβλαστάνω.

(1) De varia scriptura nominum φιλαδελφία, Φιλαδελφεία, vid. t. II, p. xj.

(2) Melius foret φηλήτης. Herod. Epimer. p. 143: φηλήτης, ὁ ἀπατεών· ubi nota.

(3) Pro οφητο λ., fors. ὁ φῆ, τὸ λέγει. Et pro φήειν, forsan φήη. Exstat φήη in Odyss. Λ, 128, cum scholio, εἴποι.

(4) Est sæpe ἀκρίβεια recentioribus pro φιλαργυρία, φειδωλία ὑπερβολική. Vide Corayi Atacta, t. II, p. 26.

(5) Codex, κοχαίας. Emendationem firmabit Moschop. Π. σχ. pag. 163.

(6) Addidi π.

(7) Cf. ad v. 291, de illo circa tonum mendo.

(8) Est versus apud Cangium Gloss. in Φοῦσκα.

Φύκια, καὶ τὰ βρύα τε. Φύρδην, συγκεχυμένα (1).
Φυτὸν δὲ ἔνι τὸ δένδρον (2), ἀφ' οὗ καὶ φυτοκόμος.
Πλὴν Φοῖβος, ὁ Ἀπόλλων τε. Φοῖτος, καὶ ἡ μανία.
Φοίνιξ τὸ δένδρον λέγεται· ἔστι δὲ καὶ στῦλον (3).
Φοινίκεια τὰ γράμματα, τῆς Φοινικείας χώρας.
Φοινήεις (4), ὁ φονευτικῶς ψέγων πολλοὺς ἀνθρώπους.
Καὶ φοιτητὴς, ὁ μαθητής. Φοιτῶ δὲ, τὸ βαδίζω.
Τὸ χῖ δὲ, φίλε, εἴπωμεν, ὡς ἔφημεν τὰ πάντα.
Χειστὸς ὑπάρχει ὁ Θεός (5). Χείπτω, τὸ πλησιάζω.
Χειστὸς ἐστὶν ὁ βασιλεύς. Χείω, καὶ τὸ ἀλείφω.
Χειστῖνα. Καὶ χειστιανός. Χειστώνυμος, ὁμοίως.
Πλὴν τοῦ χρηστὸς, ὁ ἀγαθός. Χρήστης, ὁ δανειστής τε.
Χρῆσις ἡ χρεία λέγεται. Χρεῖος δὲ, καὶ τὸ χρέος.
Χρὴ δὲ, τὸ πρέπει. Καὶ ἐχρῆν ἔνι τὸ ἔπρεπέν τε.
Τὸ δέ γε χρεία δίφθογγον. Χρηστήριον, μαντεῖον.
Χὴν γὰρ τὸ ὄρνεον ἐστίν· ἦτα, φίλε, μοι γράφε.

(1) Moschop. Π. σχ. p. 192: βρύα δὲ, βοτάναι τινὲς ἐν πετρώδεσι τόποις τῆς θαλάσσης φυόμεναι. Cod. 2599, ἐν τοῖς πετρώδ....—Cod. φύρδην. Forsan συγκεχυμένως, ut habent Moschop. ibid. et Herodian. Epim. p. 147.

(2) Cf. ad v. 291.

(3) Est versus apud Cangium Gloss. in Πουλὶ, male omisso δέ. Sed facile condonabo Cangio fortuitu particulam omittenti; mihi non tam patienter, qui, tom. II, pag. 234, consulto eam deleri jusserim in Scymni Fragm. v. 63, Διακοσίων δὲ καὶ τεσσαράκοντα σταδίων, quod ea carere nec debet nec potest. Nescio quid tunc agebam; aliud certe. Sic labuntur qui currunt. Redimam peccatum conjectura alia, eaque meliore. Fragm. v. 117: Ζῶσι δὲ τήν τε κτῆσιν ἀναδεδειχότες Κοινὴν ἁπάντων, τήν τε ὅλην οὐσίαν. Syllabæ τε ὅ nullo modo sedi conveniunt iambicæ. Rescribo, τήν τε πᾶσαν. Synonymum sæpe ab synonymo expulsum vidi: cf. p. 324.

(4) Codex, φοινήει.

(5) Moschopul. Π. σχ. p. 8: Χριστὸς, ὁ θεάνθρωπος Λόγος, διότι θεὸς καὶ ἄνθρωπος ὢν, τὸ μὲν ἔχρισεν ἡ θεότης, τὸ δὲ ἡ ἀνθρωπότης. Cod. 2599 recte: διότι καὶ θεὸς.... τὸ δὲ ἐχρίσθη ἡ ἀνθρωπότης. Ibidem: χρίπτομαι, τὸ πλησιάζω. Idem codex, χρίμπτομαι. Basilius Gramm. p. 15: χρίμπτω, τὸ πλησιάζω.

Χηλὸς, καὶ τὸ κιβώτιον. Χήμη, καὶ τὸ χηβάδιν (1).
Χηρεία τε, ἡ χήρευσις. Χῆρος ὁ ἄνθρωπός τε.
Χηλὴ ἡ ὄνυξ ἔνι δέ. Χοῖρος, ο καὶ ἰῶτα (2).
Χεῖρας (3) δὲ πάλιν, δίφθογγον· κλίνεται τῆς χειρός τε.
Χειμὼν, χειμῶνος. Χείμαῤῥος ὁ ῥύακας (4) ὑπάρχει.
Χειμερινὸς καὶ ὁ καιρός. Χειρῶ, καὶ τὸ κρατῶ δέ.
Χεῖλος, μέρος τοῦ στόματος. Χειά, ἡ φωλεά τε.
Καὶ χειροήθης, ἥμερος. Χειρόμακτρον, μανδύλιν (5).
Χείρων, καὶ χείρονος, ἐστὶ ὁ χειρότερος πάντων.
Καὶ χειρωνάκτης λέγεται ὁ ἐργοχειριάρης.
Πλὴν τοῦ χιὼν χιόνος τε. Χίμαρος, καὶ ὁ τράγος.
Χιτὼν ἐστὶν ἱμάτιον, καὶ κλίνεται χιτῶνος.
Χιλὸς δὲ τοίνυν, ἡ τροφή· γράφε μετὰ ἰῶτα.
Τὸ χῖ δὲ πάλιν μετὰ ε. Χερμὰς ἐστὶν ὁ λίθος.
Χερείων, ὁ χειρότερος. Χέλυς, καὶ ἡ κιθάρα.
Χελώνη τε. Καὶ χελιδών. Χέρης, ὁ στρατηγός τε (6).
Χέρσος δὲ ἐστὶν ἡ ξηρά. Καὶ χέρε, καὶ τὰς χεῖρας.
Πλὴν χαίρω καὶ χαιρέκακος. Χαιὸς ἐστὶν ἡ ῥάβδος (7).
Χαῖρις, καὶ ὁ φιλόσοφος (8). Χαίτη, ἡ θρὶξ τῆς κάρας.

(1) De χήμη, χηβαδίῳ, vide not. ad Nicet. Eugen. p. 168, et supra t. I, p. 224.

(2) Moschop. Π. σχ. pag. 11: συφεὸς, τὸ χοιρομάνδρειον. Rescrib. χοιρομ. e codice 2599.

(3) Forsan χεῖρα recto casu. Supra τείχα vidimus in eo casu.

(4) Cod. ῥείακας. Cf. v. 291.

(5) Potest legi et μανδῆλιν. Ambigua est codicis scriptura. Moschopulus Π. σχ. p. 151: χειρόμακτρον, τὸ μανδύλιον. Vide not. ad Andreop. Syntip. p. 185.

(6) Cod. χελιδών. — Basilius Gramm. p. 52: Χέρης, ὄνομα στρατηγοῦ. Adde Suidam.

(7) Moschop. Π. σχ. pag. 11: χαιὸς, ὁ ἀγαθός· καὶ χαῖον, ἡ ποιμενικὴ ῥαῦβδος. Cod. 2599 brevius: χαιὸς, ἡ ῥάβδος: mediis omissis. Basilius Gramm. pag. 53: χαῖον, ἡ ῥάβδος. Vide Herod. Epimer. p. 149, cum nota.

(8) Cod. χαίροις. Basilius Grammat. p. 52: Χαῖρις, ὄνομα φιλοσόφου. Corruptionem invexit permutatio sonorum similium οι et ι. Inde tentabo Æschyli Prom. locum v. 50: ΚΡΑΤΟΣ. Ἐλεύθε-

Χρόα ἡ ὄψις λέγεται. Χροῦς καὶ χροός, τὸ σῶμα.
Χρῶμα καὶ χρωματίζω τε, μετὰ τὸ (1) ω τὸ μέγα.
Χῶρος ὁ τόπος λέγεται. Χωλεία. Χωρικός τε.
Χωλός. Χωρίζω. Χῶνος τε. Χωρὶς, ἀντὶ τοῦ ἄνευ.
Χωόμενος, ὀργιζόμενος (2). Χωράφιον καὶ χώρα.
Πλὴν χοϊκὸς, ὁ γήϊνος. Χολή. Καὶ χορηγός τε.
Χόρευσις. Καὶ χορεύω τε. Χορεία. Χοροστάτης.
Τὸ ψῖ λοιπὸν ὡς εἴπωμεν, ὡς θέμις, κατ' ἀξίαν.
Ψύχος. Ψυχρὸς καὶ ψυχινός. Ψύξις. Καὶ ἡ ψυχή τε.
Πλὴν ψολόθης, ὁ κενόδοξος· δίφθογγον τοῦτο γράφε.
Ψωμὶν (3) δὲ τοίνυν, φίλε μου, γράφε τὸ ω τὸ μέγα.
Ὠφέλεια. Καὶ ὠφελῶ. Ὠφέλιμος πολλάκις.
Ὦφασιν (4), ἐθεάσαντο, Ὤφελον, ἐχρεώστουν.
Ὤφθην δὲ, φίλε, λέγεται, ἀντὶ ἐθεασάμην.
Ὠδίνω ἐστὶ τὸ γεννῶ. Ὠνῶ, τὸ ἀγοράζω.
Ὠστίζω. Ὡραΐζω τε. Ὡρῶ, καὶ τὸ φυλάσσω.
Ὠδὴ, ἡ τραγωδία τε (5). Ὠδώδειν, τὸ ἐβρώμην.
Ὠδῖναι, πόνοι τοκετοῦ. Ὡδὶ δὲ, τὸ (6) ἐνταῦθα.
Ὠμός ἐστιν ὁ ἀπηνής. Ὦμος τε, καὶ ἡ ῥάχις.

ρος γὰρ οὔ τις ἐστὶ πλὴν Διός. ΗΦΑΙΣΤΟΣ. Ἔγνωκα. τοῖσδε κοὐδὲν ἀντιπεῖν ἔχω. Verba τοῖσδε κοὐδὲν valde displicuerunt criticis viris, quorum correctiones videsis in Burgesii nota. Illos opinor quidem esse delicatos nimis; afferam tamen et ipse emendatiunculam: Ἔγνωκα· τίς δέ; κοὐδὲν ἀ. ἔ. « Non vi : quis enim? » liber videlicet. Malim etiam τίς γάρ; Facilis est conjunctionum δὲ γὰρ commutatio, quam nuper ostendit in Specimine Themistiano Rulezius, optimæ scholæ Lovaniensis discipulus egregius.

(1) Codex, μετὰ τοῦ.

(2) Hemistichium est longius.

(3) Codex, ψωμίν. In Cangii Glossario nomen ψωμὶ mutetur in ψωμί.

(4) Ad ὦφασι conf. v. 904, et t. III, 338, 7.

(5) Τραγῳδία est nunc cantus. Vide Corayi Atacta t. II, p. 355, ad Τραγούδι.

(6) Codex, ὡδὶ δὲ τοῦ. Conf. not. ad Herod. Epim. p. 97.

Ὠμότης, ἡ ἀπήνεια. Καὶ ὠμοβόρος θήρ τε.
Ὦμην, καὶ τὸ ὑπέλαβον. Ὠμηστὴς, ὠμὰ τρώγων.
Ὠλένη, ἡ ἀγκάλη τε. Ὠλώλειν, τὸ ἐφθάρην.
Ὧλξ, καὶ ἡ αὔλαξ πέφυκεν. Ὤλετο, ἀπώλετο (1).
Ὤκτισα, τὸ ἐλέησα. Ὠκτίσω, ᾠκτισάμην.
Ὠδῖνες πόνοι πέλουσι. Ὠδηκὼς, ὁ πρησμένος (2).
Ὠδώδειν, ὤζειεν (3) φημὶ, ἤγουν πολλὰ ἐβρώμην.
Ὡραῖος τε, ὁ εὔμορφος. Ὠρυόμενος λέων.
Ὥρα ἐστὶν καὶ ὁ καιρός. Καὶ ὡρολόγιόν τε.
Ὤφασιν, ἐθεάσαντο. Ὠμόθυμος (4), ἀγρίως.
Ὥρμησεν, ἐπορεύθηκεν (5). Ὦ φίλε, κλητικὸν γάρ.
Ὥρα ἐστὶ καὶ ἡ φροντίς. Ὡρεῖον, σιτοδόχιν (6).
Ἕως ὧδε κατὰ λεπτὸν ἔφημεν καὶ τὴν δέλτον.

(1) Codex, ὤλετο καὶ ἀπ.

(2) Codex, πρισμένος. Scripsi πρησμένος, participio barbare decurtato ab πρήθω. Papias, apud Apollinarium, supra t. II, p. 464, de Juda traditore: πρησθεὶς ἐπὶ τοσοῦτον τὴν σάρκα. Quem Papiæ locum, sed integrum minus, jam ediderat Wolfius Anecdot. Gr. t. III, p. 93.

(3) Pro ὤζειεν, forsan ὠζήκειν. Ceterum ὠδώδειν, quod jam legimus v. 892, melius per omicron scriptum foret, ὀδώδειν: cf. v. 600. Et sic melius foret ὀλώλειν v. 897, quam ὠλώλειν.

(4) Forsan, ὠμοθύμως.

(5) Cum forma barbara ἐπορεύθηκεν, pro ἐπορεύθη, possunt conferri similia, quæ nunc ex Andreopuli Syntipa ad manum habeo: pag. 77, 9, ὠφελήθηκεν· p. 103, 1, ἀπεκρίθηκα· p. 132, 6, ἐδιδάχθηκεν· quæ sunt pro ὠφελήθη, ἀπεκρίθην, ἐδιδάχθη.

(6) Dixerunt ergo σιτοδόχιον. Veteres σιτοδοχεῖον alio tono efferebant.

ΔΟΜΝΙΝΟΥ ΦΙΛΟΣΟΦΟΥ ΛΑΡΙΣΣΑΙΟΥ

ΕΓΧΕΙΡΙΔΙΟΝ

ΑΡΙΘΜΗΤΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ.*

Μονάς ἐστι καθ' ὃ ἕκαστον τῶν ὄντων ἓν λέγεται (1)· ἀριθμὸς δὲ μονάδων σύστημα. Ὁ δὲ σύμπας ἀριθμός ἐστι προκοπὴ ἀπὸ μονάδος κατὰ μονάδος ὑπεροχὴν ἄχρις ἀπείρου (2). Μονὰς γὰρ, εἶτα δυὰς, εἶτα τριὰς καὶ τετρὰς, καὶ ἑξῆς οὕτως.

Τῶν δὲ ἀριθμῶν οἱ μὲν διαιροῦνται εἰς δύο ἴσα τέμνειν, διὰ τὸ τὴν μονάδα ἀδιαίρετον εἶναι τῇ αὐτῆς φύσει. Οἱ μὲν οὖν διαιρούμενοι εἰς δύο ἴσα, οἷον ὁ δ' καὶ ϛ'· οἱ δὲ οὐ δύνανται τοῦτο παθεῖν, ὡς ὁ γ', ὁ ε', ὁ ζ', ὁ θ'. Τούτων γὰρ οὐδένα οἷόν τε εἰς δύο ἴσα τέμνειν, διὰ τὸ τὴν μονάδα ἀδιαίρετον εἶναι τῇ αὐτῆς φύσει.

Οἱ μὲν οὖν διαιρούμενοι εἰς δύο ἴσα, ἄρτιοι ὀνομάζονται· οἱ δὲ μὴ δυνάμενοι τοῦτο παθεῖν, περιττοί. Ἄρχονται δὲ οἱ μὲν ἄρτιοι ἀπὸ δυάδος, καὶ κατὰ

* E codice 2409, collato cum cod. 2531. Erit in notis ille A, hic B. In A est a prima manu Δομίνου, e correctione Δομνίνου. De Domnino, alias Domnio, vide Biblioth. Gr. t. v, p. 648; t. xi, p. 608. Eumdem esse putant viri dd. atque Damianum seu Heliodorum Larissæum, cujus Opticis et ipse nonnihil profui ad Holstenii Epist. p. 248. Exstat ejusdem Domnini in codd. regio 2531, p. 23, 2, et Coisliniano 173, p. 211, 2, opusculum de deductione in proportionibus facienda : πῶς ἐστὶ λόγον ἐκ λόγου ἀφελεῖν; quod forsan olim cum nonnullis ejusdem argumenti vulgabo, si per choleram et tantum studendi frigus licuerit.

(1) Euclidis definitionem sequitur.

(2) Theon Mathem. c. 3 : ἀριθμός ἐστι σύστημα μονάδων ἢ προποδισμὸς πλήθους ἀπὸ μονάδος ἀρχόμενος.

δυάδος ὑπεροχὴν προΐασιν ἄχεις ἀπείρου. Οἱ δὲ περιτ]οὶ ἀπὸ τριάδος, καὶ κατὰ δυάδος ὑπεροχὴν καὶ αὐτοὶ προΐασιν ἄχρις ἀπείρου.

Τῶν δὲ ἀρτίων οἱ μὲν διαιροῦνται καὶ ὑποδιαιροῦνται εἰς δύο ἴσους τε καὶ ἀρτίους ἀεὶ ἀριθμοὺς, ἕως εἰς δυάδα καταλήξωσιν· οἱ δὲ οὔ.

Οἱ μὲν οὖν διαιρούμενοι μέχει δυάδος, ἀρτιάκις ἄρτιοι ἐκλήθησαν ἀριθμοὶ, ὡς ὁ δ′ καὶ η′ καὶ ιϛ′· οἱ δὲ μὴ δυνάμενοι τοῦτο παθεῖν, ἀρτιάκις τε περιττοὶ καὶ περιττάκις ἄρτιοι ὀνομάζονται, ὡς ὁ ϛ′, ὁ ι′ καὶ ὁ ιβ′.

Οἱ μὲν οὖν ἀρτιάκις ἄρτιοι διπλάσιοι ἐξ ἀλλήλων εἰσὶν, ἀπὸ δυάδος ἀρχόμενοι καὶ προϊόντες ἄχεις ἀπείρου.

Οἱ δὲ ἀρτιάκις τε περιττοὶ καὶ περιττάκις ἄρτιοι ἀριθμοὶ ἄρχονται μὲν καὶ αὐτοὶ ἀπὸ δυάδος, ὡσὰν ἀπό τινος κοινῆς τῶν ἀρτίων ἁπάντων ἀρχῆς· προΐασι δὲ κατὰ δυάδος ὑπεροχὴν ἄχεις ἀπείρου, πλήν γε ὧν ἐν μέσῳ ἀρτιάκις ἄρτιος παρεμπίπτει τις ἀριθμός. Οὗτοι γὰρ ἀλλήλων μὲν τετράδι, δυάδι τοῦ μεταξὺ αὐτῶν ἀρτιάκις ἀρτίου, διοίσουσι.

Τῶν δὲ περιττῶν οἱ μὲν τέμνονται εἰς ἴσους τινὰς ἀριθμοὺς, ὡς ὁ θ′ εἰς τρεῖς τριάδας, ὡς ιε′ εἴς τε τρεῖς πεντάδας καὶ εἰς πέντε τριάδας, ὡς ὁ λε′ εἰς πέντε ἑβδομάδας καὶ εἰς ἑπτὰ πεντάδας. Οἱ δὲ οὐ τέμνονται εἰς ἴσους τινὰς ἀριθμοὺς, ὡς ὁ γ′, ὁ ε′, ὁ ζ′, ὁ ια′.

Οἱ μὲν οὖν δυνάμενοι εἰς ἴσους ὁπωσοῦν τέμνεσθαι ἀριθμοὺς, περιττάκις περιττοὶ ὀνομάζονται· οἱ δὲ μὴ δυνάμενοι τοῦτο παθεῖν πρῶτοι καὶ ἀσύνθετοι ἐκλήθησαν ἀριθμοί. Καὶ εἰσὶν οἱ μὲν περιττάκις περιττοὶ,

οἱ δὲ περιττοῦ τινὸς ἢ τινων πολλαπλάσιοι κατὰ περιττῶν ἀριθμῶν. Οἱ δὲ πρῶτοι καὶ ἀσύνθετοι, οἱ μηδενὸς ἀριθμοῦ πολλαπλάσιοι· διὸ καὶ ἡ δυὰς τῶν πρώτων καὶ ἀσυνθέτων ἀριθμῶν εἶναι δοκεῖ.

Ἀλλ', ἐπειδὴ τὴν κατ' εἶδος τῶν ἀριθμῶν διαίρεσιν ἐσκέμμεθα, φέρε δὴ οὖν κατ' αὐτὸ τὸ τῶν μονάδων πλῆθος, ὃ δὴ ὑποκείμενον καὶ οἷον ὕλη ἐστὶν ἐν αὐτοῖς τοῦ ἀριθμοῦ, ἐλευσώμεθα.

Τῶν τοίνυν ἀριθμῶν οἱ μὲν ἐν μονάσι θεωροῦνται, οἱ δὲ ἐν δεκάσιν, οἱ δὲ ἐν ἑκατοντάσιν, οἱ δὲ ἐν χιλιάσιν.

Ἐν μονάδι μὲν οὖν θεωροῦνται οἱ ἀπὸ μονάδος, ἐν δεκάσι δὲ οἱ τῶν ἐν μονάσι δεκαπλάσιοι ἀριθμοὶ, ἐν ἑκατοντάσι δὲ οἱ τῶν ἐν δεκάσιν ἀριθμῶν δεκαπλάσιοι (1).

Καὶ τέσσαρες αὗται τῶν ἀριθμῶν αἱ πᾶσαι τάξεις εἰσί. Πᾶς γὰρ ἀριθμὸς ἢ ἔν τινι, ἢ ἔν τισι τούτων ἐστὶν, ἢ καὶ ἐν πάσαις ταῖς τάξεσιν. Ὁ μὲν γὰρ ε' ἐν τῇ τῶν μονάδων εὑρίσκεται τάξει, ὁ δὲ κε' ἐν τῇ τῶν μονάδων καὶ τῇ τῶν δεκάδων· ὁ δέ γε ε' καὶ κ' καὶ τ' ἀριθμὸς ἐν τρισὶ τάξεσι θεωρεῖται (2), μονάδων, δεκάδων, ἑκατοντάδων· ὁ δὲ ε' καὶ κ' καὶ τ' καὶ μ' (3) ἐν πάσαις θεωρεῖται ταῖς τάξεσιν.

Καὶ αἱ μυριάδες δὲ τὴν ὁμοίαν ἔχουσι θεωρίαν· αἱ γὰρ μονάδες μυριάδων εἰσὶν, αἱ δεκάδες μυριάδων, αἱ ἑκατοντάδες μυριάδων, εἴτε ἁπλαῖ εἶεν, εἴτε

(1) In A ad marginem λείπει. Quod deest, poterit sic suppleri: ἐν χιλιάσι δὲ, οἱ τῶν ἐν ἑκατοντάσι δεκαπλάσιοι.

(2) A B, θεωροῦνται.

(3) Pro μ oportuit ͵α, vel ͵β, vel alius numerus supra centesimos et intra millesimos; ͵β potius.

διπλαῖ, εἴτε καὶ ἄλλον τινὰ ἀριθμὸν λεγόμεναι πολλαπλαῖ. Ἔτι δὲ ἁπλῆ μὲν μυριὰς αὐτὸς ὁ μύρια ἀριθμὸς, διπλῆ δὲ ἡ μυριάκις ἁπλῆ μυριὰς, καὶ τριπλῆ ἡ μυριάκις διπλῆ, καὶ τετραπλῆ ἡ μυριάκις τριπλῆ, καὶ οὕτω μέχρις ἀπείρου.

Ἀλλὰ περὶ μὲν τούτων ἐπιπλέον εἰπεῖν τῆς λογικῆς ἔχεται (1) θεωρίας· ἡμεῖς δ' (2), ἐνταῦθα τοῦ λόγου γενόμενοι, ἐπιστήσομεν.

Ὅτι δὴ πᾶσα ἡ γενομένη ἡμῖν τῶν ἀριθμῶν σκέψις αὐτῶν γέγονε καθ' αὐτοὺς κρινομένων. Τῶν γὰρ ἀριθμῶν ὁστισοῦν (3), αὐτὸς καθ' ἑαυτὸν θεωρούμενος, κατὰ μὲν τὸ εἶδος ἢ ἄρτιος ἐστὶν ἢ περιττός. Καὶ, εἰ μὲν ἄρτιος, ἢ ἀρτιάκις τε περιττὸς καὶ περιττάκις ἄρτιος ἔσται· εἰ δὲ περιττὸς, ἢ περιττάκις περιττὸς ἢ τῶν πρώτων τὶς ἔσται καὶ ἀσυνθέτων. Κατὰ δὲ τὸ ὑποκείμενον πλῆθος τῶν ἐν αὐτῷ μονάδων κρινόμενος, ἢ ἐν μονάσιν εὑρεθήσεται, ἢ ἐν δεκάσιν, ἢ ἐν ἑκατοντάσιν, ἢ ἐν χιλιάσιν, ἢ ἔν τισι τούτων, ἢ ἐν πάσαις ταῖς τάξεσιν.

Αὕτη μὲν οὖν τῶν ἀριθμῶν ἡ θεωρία αὐτῶν ἡμῖν γέγονε καθ' αὐτούς· δεῖ δὲ καὶ τὴν πρὸς ἀλλήλους αὐτῶν ἐπισκέψασθαι κοινωνίαν. Λέγωμεν οὖν ἀπ' ἀρχῆς πάλιν ἀναλαβόντες.

Τῶν τοίνυν ἀριθμῶν οἱ μὲν μονάδι μόνῃ μετροῦνται κοινῷ μέτρῳ, ὡς ὁ ε' καὶ ὁ ζ'· οὐδεὶς γὰρ αὐτοὺς εἷς καὶ ὁ αὐτὸς μετρεῖ ἀριθμός· οἱ (4) δὲ καὶ ἀριθμῷ τινὶ

(1) A, εὔχεται.

(2) Codd. sine conjunctione. Fuit addita recentius ad marginem in A.

(3) B, ὅστισανοῦν, notatis subter lineola delendis literis αν.

(4) A B, εἰ, et sic mox loco simili. Male permutabant librarii vocales ει et οι. Sibylla a Maio edita XIV, 12 : Ἀλλ' ὁπόταν

μετροῦνται ἑνὶ ἢ καὶ πλείοσιν· ἑνὶ μὲν, ὡς ὁ ϛ' καὶ ὁ θ' (μόνῳ γὰρ τῷ γ' ἀριθμῷ μετροῦνται κοινῷ μέτρῳ)· πλείοσι δὲ, ὁ ϛ' καὶ ιϐ'· οὗτοι γὰρ καὶ τῷ β' καὶ τῷ γ' μετροῦνται.

Οἱ μὲν οὖν μονάδι μόνῃ μετρούμενοι κοινῷ μέτρῳ, πρῶτοι πρὸς ἀλλήλους εἶναι λέγονται· οἱ δὲ καὶ ἀριθμῷ τινὶ μετρούμενοι κοινῷ μέτρῳ, ἢ ἑνὶ ἢ καὶ πλείοσι, σύνθετοι πρὸς ἀλλήλους ὀνομάζονται ἀριθμοί.

Ἡ μὲν οὖν κατ' εἶδος πρὸς ἀλλήλους τῶν ἀριθμῶν κοινωνία ταύτην ἔχει τὴν θεωρίαν· ἡ δὲ κατὰ τὸ ὑποκείμενον, τουτέστι κατὰ τὸ πλῆθος τῶν ἐν αὐτοῖς μονάδων, τοιάδε τις ἂν εἴη.

Ἅπας ἀριθμὸς, πρὸς ὁντινοῦν κρινόμενος ἀριθμὸν κατὰ τὸ πλῆθος τῶν ἐν αὐτοῖς μονάδων, ἤτοι ἴσος ἐστὶν αὐτῷ ἢ ἄνισος. Εἰ μὲν ἴσοι ἀλλήλοις εἶεν, μία τις καὶ ἀσχιδὴς ἔσται αὐτῶν ἡ πρὸς ἀλλήλους σχέσις· οὐ γάρ ἐστι τοῦ ἴσου τὸ μέν τι τοῖον εἶναι, τὸ δὲ τοῖον: καθ' ἕνα γὰρ καὶ τὸν αὐτὸν τρόπον τὸ ἴσον ἴσον ἐστίν. Εἰ δὲ ἄνισοι (1) εἶεν, δέκα τινὲς αὐτῶν συνεπιθεωροῦνται σχέσεις.

Δεῖ δὲ τὸν περὶ αὐτῶν λόγον προδιαλαβεῖν ἡμᾶς.

Ὅτι δὲ πᾶς ἀριθμος παντὸς ἀριθμοῦ ὁ ἐλάττων τοῦ μείζονος ἤτοι μέρος ἐστὶν ἢ μέρη (2). Εἰ μὲν γὰρ με-

ταύρων ὀλετὴρ ἢ ἀλκὶ πεποιθώς. Manifestum est legendum esse, ἢ ἀλκὶ πεποιθώς. Legitur recte ἀλκὶ πεποιθὼς v. 18. Joannes Monachus supra p. 296: τί δὲ ὁ αὐτὸς ἔχεις εἰπεῖν περὶ τῶν σοφῶν; ibi codex C, ἔχοις: quod potest placere. Maximus Tyr. Diss. VI, 1: ἔχοις εἰπεῖν τίνας...; rescribente ἔχοις editore, pro pristino ἔχεις. Sed idem Diss. XXIX, 1: ἔχεις εἰπεῖν τίνας...; idque sine varietate. Idem Diss. XXXVII, 2: πῶς τοῦτο λέγοις; ibi quidem vetus λέγεις reponi velim.

(1) A B, ἄνισον.

(2) Verba ipsa sunt Euclidis Elem. VII, p. 160.

τρείη τὸν μείζονα, μέρος ἂν εἴη αὐτοῦ, ὡς ὁ β′ τὸν δ′ καὶ τὸν ϛ′ μετρῶν (1), τοῦ μὲν ἥμισυ, τοῦ δὲ τρίτον μέρος ἐστίν· εἰ δὲ μὴ μετρείη, μέρη ἂν εἴη αὐτοῦ, ὡς ὁ β′, μὴ μετρῶν τὸν γ′, δύο τρία ἐστιν αὐτοῦ, ὡς ὁ θ′, τὸν ιε′ μὴ μετρῶν, τρία πέμπτα ἐστὶν αὐτοῦ.

Τοῦ τε (2) τοίνυν προβληθέντος ἡμῖν, λέγομεν, ὅτι, εἰ ἄνισοι εἶεν οἱ προτεθέντες ἡμῖν δύο εἰς ἐπίσκεψιν ἀριθμοὶ, ὁ ἐλάττων τὸν μείζονα ἤτοι μετρεῖ (3) ἢ οὔ.

Εἰ μὲν οὖν μετρείη, ὁ μὲν μείζων πολλαπλάσιός ἐστὶν τοῦ ἐλάττονος, ὁ δὲ ἐλάττων ὑποπολλαπλάσιός ἐστι τοῦ μείζονος ἀριθμοῦ, ὡς ἔχει ἐπὶ τοῦ γ′ καὶ θ′.

(1) A, μετρεῖ. B, τῶν δ′ καὶ τὸν ϛ′ μετρ, compendio finali obscuro.

(2) Forsan τούτου. Obiter, quum id in memoriam incurrat, pronomen illud immutabo in Luciani D. D. xx, 1: ὁ δὲ νεανίας αὐτὸς ὁ Φρὺξ, ἐφ' ὃν ἄπιτε, βασιλικὸς μέν ἐστι καὶ Γανυμήδους τοῦ τε συγγενής. Codex 1310, τυπὶ, unde fiat τουτί.

(3) A, μετροῖ, confusis iterum ει et οι. Julianus Orat. III, p. 103, de laudatione bonorum, quæ est ipsis auditu jucunda, aliis ad virtutem adhortamentum: τοῖς μὲν γὰρ ἄκουσμά τί ἐστιν ἡδύ.... τοὺς δὲ ἐπιζηλοῦν ἐκεῖνα πειθοῖ καὶ βίᾳ παρώρμησεν, ὁρῶντας, ὅτι μηδὲ τῶν παραλαβόντων τινὲς ἀπεστερήθησαν, ὃ μόνον δοῦναί τε καὶ λαβεῖν ἐστι δημοσίᾳ καλόν. Optime codex 2964: τοὺς δὲ ἐπὶ τὸ ζηλοῦν ἐκεῖνα (scilicet τὰ καλὰ τῶν ἔργων) πειθοῖ καὶ βίᾳ παρώρμησεν, ὁρῶντας ὅτι μηδὲ τῶν προλαβόντων.... « illos » vero ad eorum æmulationem » persuasione simul ac vi impellit, qui videant et e superiori» bus hominibus quosdam.... » Quod Julianus ait πειθοῖ καὶ βίᾳ, aiunt alii πειθανάγκῃ fieri: de qua voce ad Eunapium. Libanius t. IV, p. 629: ἐπιλέγει δωρεάν· ὦ Ζεῦ Κτήσιε, ποίαν τινά; πῶς ἂν ἐνδείξαίμην τὸ κακόν; ἐπιλέγοι δωρεὰν, καπνοῦ σκιὰν, στέφανον θαλλοῦ. Omnino bis est scribendum ἐπιλέγει, ut est in cod. 3017. Idem p. 430: δι' ἑνὸς παραδόξου φόνου καὶ οἷος ἂν οὐδεὶς ἕτερος ἔχει λέγειν, πάντα ἅπασιν ἀποδέδοται. Non debuit Reiskius in nota unice veram relinquere varietatem ἔχοι. Præterea οἷος in οἷον erit mutandum. Idem p. 669: χαλεπὸς ἡμῖν πέφηνε μετὰ τὴν νόσον ὁ πατὴρ, καὶ τοιοῦτος οἷος οὐκ ἄν ποτε ἤλπισα· imo οἷον, præeunte codice 3017. Rursus p. 416, 32: πρίν τι οἷος οὐκ ἄξιον συμβῆναι, πείθει· rursus bene idem codex, οἷον.

Ὁ μὲν γὰρ θʹ πολλαπλάσιός ἐστι τοῦ γʹ, τριπλάσιος ὢν αὐτοῦ· ὁ δὲ γʹ ὑποπολλαπλάσιός ἐστι τοῦ θʹ, ὑποτριπλάσιος ὢν αὐτοῦ. Εἰ δὲ μὴ μετρεῖ τὸν μείζονα, ἀφαιρεθεὶς ἀπ᾽ αὐτοῦ ἢ ἅπαξ ἢ πλεονάκις, καταλείψει τι ἔλαττον ἑαυτοῦ, ὃ ἔσται πάντως (1) ἢ μέρος αὐτοῦ ἢ μέρη· ἢ γὰρ μονάδα ἢ ἀριθμόν τινα καταλείψει.

Ἐὰν οὖν μονάδα καταλείψῃ, δῆλον ὅτι μέρος ἑαυτοῦ καταλείψει (2)· ἡ γὰρ δὴ μονὰς παντὸς ἀριθμοῦ μέρος ἐστὶ, διότι πᾶς ἀριθμὸς σύστημα μονάδος ἐστίν.

Ἐὰν δέ τινα ἀριθμὸν καταλείπῃ, ἢ μέρος ἔσται αὐτοῦ ἢ μέρη· πᾶς γὰρ ἀριθμὸς παντὸς ἀριθμοῦ ὁ ἐλάττων τοῦ μείζονος ἐστὶν ἤτοι μέρος ἢ μέρη.

Εἰ μὲν οὖν ἅπαξ ἀφαιρεθεὶς ἀπὸ τοῦ μείζονος ἀριθμοῦ καταλείποι τι ἔλαττον ἑαυτοῦ (3), ὅ ἐστιν αὐτοῦ μέρος, ὁ μὲν μείζων ἐπιμόριος ἔσται τοῦ ἐλάττονος, ὁ δὲ ἐλάττων ὑπεπιμόριος ἔσται τοῦ μείζονος ἀριθμοῦ, ὡς ἔχει ἐπὶ τοῦ βʹ καὶ γʹ. Ἐπιμόριος γὰρ ὁ γʹ τοῦ βʹ ἐστὶν ἀριθμοῦ· ἔχει γὰρ αὐτὸν καὶ τὸ ἥμισυ μέρος αὐτοῦ· διὸ καὶ λέγεται αὐτοῦ ἡμιόλιος· ὁ δὲ βʹ ὑφημιόλιος τοῦ γʹ. Καὶ ὥς (4) ἔχει ἐπὶ τοῦ ϛʹ καὶ ηʹ· ἐπίτριτος γάρ ἐστιν ὁ ηʹ τοῦ ϛʹ ἀριθμοῦ, ὁ δὲ ϛʹ ὑπεπίτριτος τοῦ ηʹ.

Εἰ δὲ ὁ καταλειφθεὶς ἀριθμὸς μέρη εἴη τοῦ ἐλάτ-

(1) A, παντός. B, πάντως.

(2) B, καταλείψη, permutatis η et ει. Apostolius Adag. I, 8, narrat quanta formicæ cum industria spicas comminuant, granaque tuniculis exuant, μήτε ἀλοητοῦ δεόμενοι, μήτε ἀνδρῶν λικμῆσαι δυναμένων, μήτε μὴν ἐπιγομένων πνευμάτων ἀποκρῖναι καὶ διασεῖσαι τὰς ἄχυρας. Malim διασῆσαι, ab διασήθω, cum cod. 3059. Ælianus H. A. VI, 43, quem Apostolius est sequutus, habet διαστῆσαι, idque non bene. Alibi etiam στῆσαι et σῆσαι fuerunt permutata.

(3) A, αὐτοῦ.

(4) A B, ὡς. Et sic infra.

τονος ἀριθμοῦ, ὁ μὲν μείζων ἐπιμερὴς, ὁ δὲ ἐλάττων ὑπεπιμερὴς ἔσται τοῦ μείζονος ἀριθμοῦ, ὡς ἔχει ἐπὶ τοῦ γ' καὶ ε'. Ἐπιμερὴς γὰρ ὁ ε' τοῦ γ' ἐστὶν ἀριθμοῦ· ἔχει γὰρ αὐτὸν καὶ δύο τρίτα αὐτοῦ· διὸ καὶ λέγεται αὐτοῦ ἐπιδίτριτος, ὁ δὲ γ' τοῦ ε' ὑπεπιδίτριτος. Καὶ ὡς ἔχει ἐπὶ τοῦ ιε' καὶ κδ' ἀριθμοῦ· ἐπιτρίπεμπτος γὰρ ὁ κδ' τοῦ ιε' ἐστὶν ἀριθμοῦ· ἔχει γὰρ αὐτὸν καὶ τρία ε' αὐτοῦ· ὑπεπιτρίπεμπτος δὲ ὁ ιε' τοῦ κδ'.

Εἰ δὲ πλεονάκις ἢ ἅπαξ ἀφαιρεθεὶς ὁ ἐλάττων ἀπὸ τοῦ μείζονος ἀριθμοῦ καταλείπει τι ἔλαττον ἑαυτοῦ, ὅ ἐστιν αὐτοῦ μέρος, ὁ μὲν μείζων πολλαπλασιεπιμόριος, ὁ δὲ ἐλάττων ὑποπολλαπλασιεπιμόριος ἔσται τοῦ μείζονος ἀριθμοῦ, ὡς ἔχει ἐπὶ τοῦ β' καὶ ε'· πολλαπλασιεπιμόριος γὰρ ὁ ε' τοῦ β'· ἔχει γὰρ αὐτὸν δὶς καὶ ἥμισυ μέρος αὐτοῦ· διὸ καὶ λέγεται διπλασιεφήμισυς, ὁ δὲ β' τοῦ ε' ὑποδιπλασιεφήμισυς. Καὶ ὡς ἔχει ἐπὶ τοῦ ϛ' καὶ κϛ' ἀριθμοῦ· τετραπλασιεπίτριτος γάρ ἐστιν ὁ κϛ' τοῦ ϛ' ἀριθμοῦ, ὁ δὲ ϛ' τοῦ κϛ' ὑποτετραπλασιεπίτριτος.

Εἰ δὲ ὁ καταλειφθεὶς ἀριθμὸς μέρη εἴη τοῦ ἐλάττονος ἀριθμοῦ, ὁ μὲν μείζων πολλαπλασιεπιμερὴς, ὁ δὲ ἐλάττων ὑποπολλαπλασιεπιμερής ἐστι τοῦ μείζονος ἀριθμοῦ, ὡς ἔχει ἐπὶ τοῦ γ' καὶ η'· διπλασιεπιδίτριτος (1) γὰρ ὁ η' τοῦ γ' (2) ἐστὶν ἀριθμοῦ, ὁ δὲ γ' ὑποδιπλασιεπιδίτριτός ἐστι τοῦ η'. Καὶ ὡς ἔχει ἐπὶ τοῦ ι' καὶ λδ'· τριπλασιεπιδίπεμπτος γὰρ ὁ λδ' τοῦ ι' ἐστὶν ἀριθμοῦ, ὁ δὲ ι' ὑποτριπλασιεπιδίπεμπτος τοῦ λδ'.

Καὶ αὗταί εἰσιν αἱ λεγόμεναι δὲ (3) κατὰ τῆς ἀντι-

(1) A B, διπλασιεπίτριτος.

(2) A B, τοῦ τρίτου. Imo τοῦ τρία.

(3) Forsan δή. Libanius, t. IV, p. 112 : ᾤμην. . . . καιρὸν ἔσεσθαί

σότητος σχέσεις, ἃς δὴ καὶ λόγους οἱ παλαιοὶ προσηγόρευσαν· πρῶτος, πολλαπλάσιος· δεύτερος, ὑποπολλαπλάσιος· τρίτος, ἐπιμόριος· τέταρτος, ὑπεπιμόριος· πέμπτος, ἐπιμερής· ἕκτος, ὑπεπιμερής· ἕβδομος, πολλαπλασιεπιμόριος· ὄγδοος, ὑποπολλαπλασιεπιμόριος· ἔννατος, πολλαπλασιεπιμερής· δέκατος, ὑποπολλαπλασιεπιμερής. Αὕτη καὶ ἡ κατὰ τὸ ὑποκείμενον πλῆθος τοῖς ἀριθμοῖς πρὸς ἀλλήλους αὐτῶν θεωρία.

Δοκεῖ μὲν οὖν τέλος ἤδη πως ἔχειν πᾶσα ἡ πρὸς ἀλλήλους τῶν ἀριθμῶν σχέψις, κατά τε τὸ ὑποκείμενον πλῆθος αὐτοῖς καὶ κατὰ τὸ εἶδος ἐξετασθεῖσα. Οὐ μὴν ἀλλ' οἵ γε παλαιοὶ περιττοί τινες τὴν φύσιν γεγονότες καὶ ἑτέραν τινὰ πρὸς ἀλλήλους τῶν ἀριθμῶν ἐξεῦρον θεωρίαν, οὐκέτι τοὺς ἐπιτυχόντας πρὸς ἀλλήλους παραβάλλοντες ἀριθμοὺς, ἀλλ' ἕκαστον πρὸς τὰ αὐτοῦ κρίνοντες μέρη. Τὸν μὲν οὖν ἴσον τοῖς ἑαυτοῦ μέρεσι, τέλειον ὠνομάκασιν ἀριθμὸν, ὅτιπερ οὔτε ἐλλείπει, οὔτε ὑπερβάλλει αὐτὸν τὰ αὐτοῦ μέρη, οἷος ὁ ιϛ' ἐστὶν ἀριθμός· τὸν δὲ ἐλάττονα τῶν ἑαυτοῦ μερῶν ἐλλιπῆ κεκλήκασιν ἀριθμὸν, ὅτι γὰρ ἐλάττονα ἐστὶν αὐτοῦ καὶ ἐλλιπῆ τὰ αὐτοῦ μέρη, οἷος ὁ η'· τὸν

μοι λοιπὸν κατ' ἐμαυτὸν ἀδεῶς γενέσθαι, καὶ τὰς ἐμὰς δὲ ταύτας ὀδύρεσθαι συμφοράς. Bene δὴ in codice 3017. Psellus Schol. in Orac. p. 98 : ὁ μὲν νοῦς τοῦ λογίου τοιοῦτος, ὡς ὁ ἐπὶ πάντων θεὸς, ὃς δὲ καὶ πατὴρ ὠνόμασται, ἀκατάληπτον ἑαυτὸν ποιεῖ. Codex 2109, ὃς δὴ, quod non malim. Maximus Tyr. Diss. XXXVI, 4, p. 188 : τὸν δὴ ἕτερον αὖ βίον εἰκάζω ἀνδρί. . . . Hic reponendum δὲ e cod. 1962. Opponit auctor τὸν δὲ ἕτερον αὖ βίον verbis præcedentibus, τὸν μὲν γενναῖον. Chariton I, p. 4 : καὶ ὀλίγου δεῖν δὲ ἐξέπνευσεν. Deleri δὲ B. jubet. Puto male scriptum fuisse δὴ, mutandum non in δὲ, sed in δι, scilicet ut fiat compositum διεξέπνευσεν.

δὲ μείζονα τῶν ἑαυτοῦ μερῶν ὑπερτελῆ προσηγόρευσαν ἀριθμὸν, ὅτι ὑπερπερισσεύει αὐτὸν τὰ ἑαυτοῦ μέρη, οἷον ὁ ιϐ'.

Ὅτε τοίνυν τοὺς ἀριθμοὺς καὶ καθ' ἑαυτοὺς καὶ πρὸς ἀλλήλους ἐσκέμμεθα, εἴπωμεν (1) τι καὶ περὶ τῆς καθ' ἑαυτούς τε ἅμα καὶ πρὸς ἀλλήλους αὐτῶν θεωρίας.

Τῶν τοίνυν ἀριθμῶν οἱ μὲν καὶ καθ' ἑαυτοὺς καὶ πρὸς ἀλλήλους πρῶτοι εἰσὶν, ὡς ὁ γ' καὶ ὁ ε'· οἱ δὲ καὶ καθ' ἑαυτοὺς σύνθετοί εἰσι καὶ πρὸς ἀλλήλους, ὡς ὁ ϛ' καὶ ὁ θ'· οἱ δὲ καθ' ἑαυτοὺς μὲν σύνθετοί εἰσι, πρὸς ἀλλήλους δὲ πρῶτοι, ὡς ὁ δ' καὶ ὁ θ'· οἱ δὲ μήτε πρῶτοι καθ' ἑαυτοὺς ὄντες, μήτε πρὸς ἀλλήλους σύνθετοι, τοτὲ μὲν πρῶτοι πρὸς ἀλλήλους, τοτὲ (2) δὲ σύνθετοι εὑρεθήσονται ἀριθμοί. Ὅτε μὲν γὰρ πρῶτός τε καὶ ἀσύνθετος μὴ μετρεῖ τὸν σύνθετον ἀριθμὸν, πρῶτοι πρὸς ἀλλήλους εἰσὶν, ὡς ὁ γ' καὶ η'· ὅταν δὲ μετρῇ, ὡς ὁ γ' καὶ ϛ' (3)· κοινὸν γὰρ ἀμφοτέρων μέτρον ὁ γ' ἐστὶν ἀριθμός. Οὐ γὰρ μόνον τὸν ϛ' (4), ἀλλὰ καὶ ἑαυτὸν μετρεῖ· εἰ γὰρ δὴ τὸν ϛ' δὶς μετρεῖ, τὸν ἥμισυν αὐτὸν (5) ἅπαξ μετρήσει, τουτέστι τὸν γ' ἴσον ὄντα ἑαυτῷ, ὥστε καὶ αὐτὸν μετρήσει (6).

(1) A B, εἴπομεν.

(2) A, τότι-τότι. Sic circa τότε τοτὲ, ὅτε ὁτὲ, peccatur nonnunquam. Psellus De dæmon. p. 74: τὰς νεφέλας ὁρᾷν ἐστὶν, ὅτε μὲν ἀνθρώπων, ὅτε δὲ ἄρκτων, ὅτε δὲ δρακόντων, ἢ τινῶν ἑτέρων ἀποτελούσας σχηματισμόν. Recte codd. 39, 1310, ὁτὲ, ὁτὲ, ὁτέ. Est et σχηματισμοὺς in illo, melius. Hic locus de nubium figura poterit admoveri notissimis Aristophanis versibus Nub. 345: Ἤδη ποτ' ἀναβλέψας....

(3) Ad sensum suppleatur, σύνθετοι εὑρεθήσονται, σύνθετοί εἰσι.

(4) A B, τὸν ἕκτον. Imo τὸν ἕξ, vel τὸν ϛ'.

(5) Codd. αὐτῶν.

(6) B, μετρήσι, permutatione vocalium ει et η jam animadver-

Αὕτη καὶ ἡ καθ' ἑαυτούς τε ἅμα καὶ πρὸς ἀλλήλους τῶν ἀριθμῶν θεωρία.

Ἐπεὶ δὲ τόν τε τῆς ἰσότητος λόγον καὶ τὸν τῆς ἀνισότητος ἐν τοῖς προλαβοῦσι διαρθρώσαντες συνεχεῖς ὄντας τῶν περὶ λεγομένων μεσοτήτων τε καὶ ἀναλογικῶν τόπων, ἥ τε ἀναλόγως ἔκ τινων τῶν αὐτῶν σύγκειται λόγων παρεθέμεθα (1) τότε διὰ τὸ τῆς ἰδιαζούσης δεῖσθαι τεχνολογίας αὐτῶν, λέγωμεν ἤδη τι καὶ περὶ τούτων. Δῆλον δὲ ὅτι καὶ ἡ περὶ αὐτῶν σκέψις πρὸς ἀλλήλους ἐστὶ τῶν ἀριθμῶν μορίων θεωρία, περί τε τὸ ὑποκείμενον αὐτοῖς ἔχουσα πλῆθος, ὥσπερ δὴ καὶ ἡ περὶ τῆς ἰσότητος καὶ ἡ τὸν τῆς ἀνισότητος λόγον· ἐν πλείοσι δὲ πάντως ἐστὶν ὅροις. Λόγος μὲν γὰρ ἐν δυσὶν, ἀναλογία δὲ τὸ ἐλάχιστον ἐν τρισὶν ὅροις.

Ἐὰν τοίνυν ὦσι τρεῖς ἄνισοι ἀριθμοὶ, ἡ δὲ τῶν μειζόνων διαφορὰ ἴση τῇ τῶν ἐλαττόνων διαφορᾷ, ὡς ἔχει ἐπὶ τοῦ β' καὶ ϛ', ἐν ἀριθμητικῇ εἶναι λέγονται πρὸς ἀλλήλους ἀναλογίᾳ. Ἀριθμητικὴν γὰρ ἀναλογίαν εἶναι φασὶν, ὅταν τριῶν ἀριθμῶν ἀνίσων ὁ μέσος ὑπερέχῃ τε τῷ ἴσῳ καὶ ὑπερέχηται. Εἰ δὲ ἄνισοι αὐτῶν αἱ διαφοραὶ, μείζων δὲ εἴη ἡ τῶν μειζόνων διαφορὰ καὶ λόγον ἔχει, τὴν τῶν ἐλαττόνων διαφορὰν, ὃν τῶν ἀριθμῶν τις αὐτῶν πρός τινα τῶν λοιπῶν δύο ἀριθμῶν ἔχει, δῆλον ὡς ἢ τοῦτον ἕξει τὸν λόγον ὃν ὁ μέγιστος

sa. Leo Diac. VII, 4, p. 73 : μὴ προῇ τὴν ἐσχάτην ἄγκυραν. Poterat, puto, leotio servari codicis προΐει. Verbi εἶμι fiunt imperativi ἄπει, ἔξει : et ἵημι habebit ab ἕω imperativum εἷ· inde πρόει. Quidni? Judicet editor doctissimus ac diligentissimus.

(1) Sic A B, qui et mox λέγομεν exhibent. Pro ἀναλόγως videtur reponendum ἀναλογία. Sed exspectandus melior liber.

πρὸς τὸν μέσον ἀριθμὸν ἔχει, ἢ ὃν ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον ἀριθμόν· οὔτε γὰρ ὃν ὁ ἐλάχιστος πρὸς τὸν μέσον, οὔτε ὃν ὁ μέσος πρὸς τὸν μέγιστον, οὔτε ὃν ὁ ἐλάχιστος πρὸς τὸν μέγιστον ἀριθμὸν, μείζω τε εἶναι ὑποκειμένης τῆς τῶν ἐλαττόνων διαφορᾶς.

Εἰ μὲν ὃν ὁ μέγιστος πρὸς τὸν μέσον, ἢ ὃν ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον ἀριθμὸν ἔχει, τοῦτον ἔχει καὶ αὕτη τὸν λόγον πρὸς τὴν τῶν ἐλαττόνων διαφορὰν, ὡς ἔχει ἐπὶ τοῦ θ', ϛ', δ'. Ἡμιόλιος γὰρ ἡ τῶν ἐν αὐτοῖς μειζόνων διαφορὰ τῆς τῶν ἐλαττόνων ἐστὶν ἀριθμῶν. Ὥσπερ δὲ καὶ ὁ μέγιστος τοῦ μέσου, καὶ ὁ μέσος τοῦ ἐλαχίστου ἐν γεωμετρικῇ, οἷον ἀριθμητικοὶ (1) εἶναι λέγονται πρὸς ἀλλήλους ἀναλογίᾳ. Γεωμετρικὴν γὰρ ἀναλογίαν εἶναί φασιν, ὅταν, τριῶν ἀριθμῶν ὄντων ἀνίσων, ὃν ἔχει λόγον ὁ πρῶτος πρὸς τὸν δεύτερον, τοῦτον καὶ ὁ δεύτερος πρὸς τὸν τρίτον ἀριθμὸν ἔχῃ (2). Εἰ δὲ ὃν ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον ἔχει ἀριθμὸν, τοῦτον ἔχει τὸν λόγον ἡ τῶν μειζόνων διαφορὰ πρὸς τὴν τῶν ἐλαττόνων, ὡς ἔχει ἐπὶ τοῦ ϛ' καὶ γ', καὶ β'· ὅτε γὰρ ὁ μέγιστος ἐν αὐτοῖς τριπλάσιος τοῦ ἐλαχίστου ἐστὶν ἀριθμοῦ, καὶ ἡ τῶν μειζόνων διαφορὰ πρὸς τὴν τῶν ἐλαττόνων τοῦτον ἔχει τὸν λόγον, ἐν ἁρμονικῇ (3) εἶναι λέγονται πρὸς ἀλλήλους ἀναλογίᾳ. Ἁρμονικὴν γὰρ ἀναλογίαν εἶναί φασιν,

(1) Forsan ἀριθμητικῇ. Sed sunt et alia corrigenda.

(2) AB, ἔχει, solœce. Libanius t. IV, p. 404: δεινὸν οὐδὲν οἴεται ποιεῖν, ἂν, ἀφελόμενός τινα τὴν ψυχὴν, δείξοι κείμενον· bene δείξῃ in cod. 3017. Photius contra Manich. I, p. 13: ἐπειδὰν αὐτούς τις ἀπαιτοίη τοὺς ἐξάρχους τῆς τοιαύτης ἀποπέμπεσθαι βδελυρίας. Wolfius, citata codicis varietate, ἐπειδὰν ἀπαιτῇ, addidit, « minus » recte »; debuit addere, « recte » magis. »

(3) A, ἐναρμονικοί. B, ἐνάρμονικοί.

ὅταν, τριῶν ἀριθμῶν ἀνίσων, ἢ (1) ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον, οὕτως ἡ τῶν μειζόνων διαφορὰ πρὸς τὴν τῶν ἐλαττόνων.

Εἰδέναι δὲ δεῖ ὅτι δυνατὸν καὶ τῶν αὐτῶν ἄκρων μεταξὺ προσπίπτειν τοὺς καθ' ἑκάστην ἀναλογίαν μέσους. Αὐτίκα τοῦ ι' καὶ τοῦ μ', ὁ μὲν κ' κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν μεταξὺ παρεμπίπτει· ὃν γὰρ ἔχει λόγον ὁ μ' πρὸς αὐτόν (ἔχει δὲ τὸν διπλάσιον), τοῦτον καὶ αὐτὸς πρὸς τὸν ι' τὸν λόγον. Ὁ δὲ κε' κατὰ τὴν ἀριθμητικήν· ὅσον γὰρ αὐτοῦ ὁ μ' ὑπερέχει, τοσοῦτον καὶ αὐτὸς ὑπερέχει τοῦ ι'. Ὁ δέ γε ις' κατὰ τὴν ἁρμονικήν· ὃν γὰρ ἔχει λόγον ὁ μ' πρὸς τὸν ι' (ἔστι δὲ αὐτοῦ τετραπλάσιος), τοῦτον ἔχει τὸν λόγον καὶ ἡ τοῦ μ' ὑπεροχὴ, ἣν ὑπερέχει τοῦ ις', πρὸς τὴν ὑπεροχὴν ἣν ὑπερέχει ὁ ιε' τοῦ ι'.

Τοῦτό τε οὖν δεῖ εἰδέναι καὶ ὅτι ἡνίκα ἂν μεταξὺ δύο τῶν αὐτοῦ ἄκρων οἱ κατὰ τὰς τρεῖς ἀναλογίας παρεμπίπτουσι μέσοι, ὁ κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν μέσος οὐ μόνον τῶν ἄκρων, ἀλλὰ καὶ κατὰ τὰς λοιπὰς δύο ἀναλογίας μέσος εὑρεθήσεται· κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν, ὡς ἔχει ἐπὶ τῶν νῦν προκειμένων ἡμῖν ἀριθμῶν. Ὃν γὰρ ἔχει λόγον ὁ κε' πρὸς τὸν κ' (ἔστι δὲ αὐτοῦ ἐπιτέταρτος), τοῦτον καὶ ὁ κ' ἔχει λόγον πρὸς τὸν ις' ἀριθμόν.

Ἀρκεῖ περὶ μόνων τούτων ἐνταῦθα μεσοτήτων τε καὶ ἀναλογιῶν εἰπεῖν. Αἱ γὰρ δὴ παρὰ τοῖς παλαιοῖς σπουδῆς ἀξιωθεῖσαι, αὗταί τέ εἰσι καὶ τοιαῦται.

Ἐπεὶ δὲ καὶ ἑτέραν τινὰ τοῖς ἀριθμοῖς εἰσήγαγον οἱ παλαιοὶ θεωρίαν, πρὸς τὰ ἐν πηλίκοις σχήματα

(1) Illud ἢ est superfluum. Nonnulla periisse videntur.

αὐτοὺς ἀπεικάσαντες, εἴπωμέν τι καὶ περὶ τούτων, ἄνωθεν πάλιν ἀρξάμενοι.

Τῶν τοίνυν ἀριθμῶν οἱ μὲν ἐπίπεδοι εἶναι λέγονται, οἱ δὲ στερεοί.

Ἐπίπεδοι μὲν, οἱ ἐκ δύο τινῶν ἀριθμῶν πολλαπλασιασάντων ἀλλήλους γενόμενοι ἀριθμοὶ, ὡς ὁ ϛʹ, ὁ ιεʹ ἀριθμὸς, ὁ μὲν ἐκ τοῦ δὶς γʹ, ὁ δὲ ἐκ τοῦ τρὶς εʹ γενόμενος. Πλευραὶ δὲ τῶν ἐπιπέδων λέγονται οἱ ἀλλήλους πολλαπλασιάσαντες ἀριθμοί.

Στερεοὶ δὲ λέγονται οἱ ἐκ τριῶν ἀριθμῶν πολλαπλασιασάντων ἀλλήλους γενόμενοι ἀριθμοὶ, ὡς ὁ κδʹ, ὁ ρκεʹ ἀριθμὸς, ὁ μὲν ἐκ τοῦ δὶς γʹ τετράκις γενόμενος, ὁ δὲ ἐκ τοῦ κεʹ πεντάκις (1). Πλευραὶ δὲ καὶ τούτων εἶναι λέγονται οἱ ἀλλήλους πολλαπλασιάσαντες ἀριθμοί.

Τῶν δὲ ἐπιπέδων οἱ μὲν ἐξ ἴσων, οἱ δὲ ἐξ ἀνίσων γίνονται ἀριθμῶν.

Οἱ μὲν οὖν ἐξ ἴσων γενόμενοι, τετράγωνοι λέγονται, ὡς ὁ θʹ καὶ ὁ ιϛʹ, ὁ μὲν τρὶς γʹ, ὁ δὲ τετράκις δʹ γεγονώς. Οἱ δὲ ἐξ ἀνίσων ἀριθμῶν γεγονότες, προμήκεις ἐκλήθησαν, ὡς ὁ ϛʹ καὶ ὁ ιεʹ.

Τῶν μὲν οὖν ἐπιπέδων ταῦτά ἐστιν ἀριθμῶν εἴδη (2)· τῶν δ' αὖ στερεῶν τέτταρα. Ἢ γὰρ τὰς τρεῖς πλευρὰς ἴσας ἔχουσιν ἀλλήλαις, ἐξ ὧν δὴ καὶ γεγένηνται· ἢ δύο μὲν ἴσας, τὴν δὲ λοιπὴν μείζονα· ἢ δύο μὲν ἴσας, τὴν δὲ λοιπὴν ἐλάττονα· ἢ τὰς τρεῖς ἀνίσας.

(1) A, ἐκ τοῦ δὶς κεʹ πεντάκις. B, ἐκ τοῦ δὶς εʹ πεντάκις.

(2) B, ἤδη : solenni vocalium synchysi. Basilius Præc. c. 32 : ἐὰν καὶ αὐτὸς τοῖς καλῶς κειμένοις νόμοις τῶν περὶ σοῦ βασιλέων συνακολουθήσεις, καὶ τύπους ἀπαραβάτους πολιτεύεσθαι διατηρήσεις. Imo συνακολουθήσῃς et διατηρήσῃς, quod tenet cod. 2991 A.

Εἰ μὲν οὖν ἐξ ἴσων γεγονότες πλευρῶν, κύβοι λέγονται, ὡς ὁ η', ὁ κζ', ὁ μὲν δὶς β' δὶς γεγονὼς, ὁ δὲ τρὶς γ' τρίς.

Οἱ δὲ ἐκ δύο μὲν ἴσων γεγονότες πλευρῶν, μείζονες δὲ, τοῖς πολλοῖς, στηλίδες (1) λέγονται, ὡς ὁ ιβ', ὁ λϛ', ὁ μὲν δὶς β' τρὶς, ὁ δὲ τρὶς γ' τετράκις γεγενημένος.

Οἱ δὲ ἐκ δύο μὲν ἴσων, ἐλάττονος δὲ τῆς μιᾶς πλευρᾶς γεγονότες, πλινθίδες ὀνομάζονται, ὡς ὁ ιη', ὁ μη', ὁ μὲν τρὶς γ' δὶς γεγονὼς, ὁ δὲ τετράκις δ' τρίς.

Οἱ δέ γε ἐκ τριῶν ἀνίσων γεγονότες πλευρῶν, βωμίσκοι λέγονται, ὡς ὁ κδ', ὁ οε', ὁ μὲν δὶς γ' τετράκις γενόμενος, ὁ δὲ τρὶς ε' πεντάκις.

Ταῦτα ἐστὶ σύμπαντα τῶν ἐπιπέδων τε καὶ ἀριθμῶν εἴδη ἐξ ἴσων ἢ ἀνίσων γενόμενα τῶν πλευρῶν. Τούτων δὲ πλείω οὔτε ἀφ' ὧν στοιχειωτὴς Εὐκλείδης φησὶν, οὔτε ἀφ' ὧν ὁ Πλάτων, δυνατὸν ἀνευρεῖν. Κατὰ πολλαπλασιασμὸν γὰρ μόνον τὰ ἐν τοῖς ἀριθμοῖς σχήματα βούλονται θεωρεῖσθαι.

Ὅμοιοι δὲ ἐπίπεδοι καὶ στερεοὶ εἰσὶν ἀριθμοὶ, ὧντινων αἱ πλευραὶ ἐν τῷ αὐτῷ λόγῳ πρὸς ἀλλήλους εἰσὶν, ὡς ἔχουσιν, ἐν μὲν ἐπιπέδοις ὁ ϛ', ὁ νδ' ἀριθμὸς, ὁ μὲν ἐκ τοῦ δὶς γ', ὁ δὲ ἐκ τοῦ ἑξάκις θ' γενόμενος· ἔστι γὰρ ὡς δύο πρὸς τρία, οὕτως ϛ' πρὸς θ'· ἐν δὲ στερεοῖς ὅ τε κδ' καὶ ρϙβ', ὁ μὲν ἐκ τοῦ δὶς γ' τετράκις, ὁ δὲ ἐκ τοῦ τετράκις ϛ' (2) ὀκτάκις γεγε-

(1) A B, στηλίδες. Solidum, quod hic dicitur στηλὶς, aliis est δοκίς. Vide Bulliald. ad Theon. p. 243. Possit etiam et συλίδες scribi.

(2) A B, πτεάκις ἑξάκις.

νημένος· ἔστι γὰρ ὡς μὲν ὁ δύο πρὸς τρία, οὕτως ὁ δ' πρὸς ϛ', ὡς δὲ τρία πρὸς δ', οὕτως ϛ' πρὸς η'.

Ἐκ δὲ τῶν εἰρημένων φανερὸν ὅτι καὶ περὶ τὰ σχήματα τῶν ἀριθμῶν θεωρίας (1) τὸ μέν τι καθ' αὑτὸ, τὸ δὲ πρὸς ἄλλο εἶναι εἴπῃ τις ἄν. Ἐπίπεδος μὲν γὰρ ἢ στερεὸς καθ' αὑτὸν λέγεται ἀριθμός· ὅμοιοι δὲ ἐπίπεδοι καὶ ὅμοιοι στερεοὶ κατὰ τὴν πρὸς ἀλλήλους λέγονται κρίσιν.

Τίνα μὲν οὖν ἐστὶ τὰ τῶν ἀριθμῶν εἴδη ἔν τε τῇ (2) καθ' αὑτοὺς καὶ τῇ πρὸς ἀλλήλους θεωρίᾳ, κἂν τῇ καθ' αὑτούς τε ἅμα καὶ πρὸς ἀλλήλους, καὶ δὴ καὶ ἐν τῇ πρὸς τὰ μέγιστα σχήματα αὐτῶν ἀπεικασίᾳ, εἴρηται ἀρκούντως ἡμῖν. Τὰς δὲ γενέσεις τῶν καθ' ἕκαστον εἶδος ἀριθμῶν καὶ τὰ τούτων ἴδια, καὶ δὴ καὶ ὅτι καθ' ἕκαστον εἶδος ἄπειροί τε τὸ πλῆθος εἰσὶν ἀριθμοὶ, ταῦτα δὴ πάντα ἐν τῇ ἀριθμητικῇ παραδώσομεν (3) στοιχειώσει· καὶ ὅτι μόνα τὰ νῦν εἰρημένα τῶν ἀριθμῶν τίθεσθαι σχήματα κατὰ πολλοὺς ἐπιδείξομεν τρόπους, καὶ πότερον τῇ ἀριθμητικῇ ἢ τῇ ἁρμονικῇ προσήκει ἡ ἐν ἴσοις ἀναλογία, ἢ τῇ

(1) A, θεωρίαν.

(2) B, τήν. Sic sæpe ex iota adscripto male fit ny, ut hic ex τῆι codicis cujusdam descriptor fecit τήν. Potest esse in talibus etiam fortuitus calami lapsus. Symeon Sethi Ichnel. p. 70: εἰ μὴ πρὸς τὴν ἀνδρείαν ὁ ταῦρος καὶ ἀγχίνους ἦν. Puto, quod de melioris ætatis auctore affirmarem, scripsisse Symeonem πρὸς τῇ ἀνδρείᾳ. Isaacius Porphyrog. De præterm. p. 297: ὁ Πάρις Ἀλέξανδρος πρὸς τὴν ἁρπαγὴν τῆς Ἑλένης τὸν Ἀχιλλέως ἐπίκλοπον θάνατον τοξείᾳ καὶ δόλῳ μηχανησάμενος. Et hic reponi velim πρὸς τῇ ἁρπαγῇ. Idem p. 274: πύλην οἷάπερ τῆς εἰσόδου τῷ κητώῳ χρησάμενος σόματι. Lego πύλῃ. Choricius in Procop. § 28: τὰς εἰκόνας ὁρῶντες ἐκείνου δακρύετε, καὶ, τὴν τῶν χρωμάτων μορφὴν πρὸς τὴν ἔμψυχον ἀναγόμενοι, μείζονι πλήττεσθε πόθῳ· bene codd. regii, τῇ τ. χρ. μορφῇ.

(3) A B, παραδώσωμεν.

γεωμετρικῇ μᾶλλον ἐστὶν οἰκειοτέρα (1). Καὶ ἕτερα πολλά τε καὶ ἀναγκαῖα, καὶ δὴ καὶ τὰ πλεῖστα τῶν ἀριθμητικῶς παρὰ Πλάτωνι ζητουμένων (2), ἐκεῖ διαρθρώσομεν.

(1) De pleonasmo adverbii μᾶλλον monui non semel: vide ad Aristoph. t. IV, p. 258, ubi μᾶλλον ὀλβιώτερος: coll. Heraldo ad Arnob. p. 113; Bachmanno ad Lycophr. t. I, p. 152. Libanius t. IV, p. 32: τὰ γὰρ ἀδίκως κτηθέντα βέλτιον ἀποθέσθαι μᾶλλον, ἢ διὰ πλέους κατέχειν· cod. 3017, ἢ κατασχεῖν διὰ πλεῦς. Poterit κατασχεῖν præferri ob simile tempus ἀποθέσθαι. Adde Nicephorum supra t. II, p. 45, 12.

(2) Simile argumentum tractavit Theo Smyrnæus libro superstite.

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ

ΚΑΤΑ ΜΑΚΡΟΓΕΝΕΙΟΥ ΓΕΡΟΝΤΟΣ,

ΔΟΚΟΥΝΤΟΣ ΕΙΝΑΙ ΔΙΑ ΤΟΥΤΟ ΣΟΦΟΥ.*

Ἰατταταιὰξ τῆς ἀδρᾶς γενειάδος!
Ὅση καθεῖται μέχρι τοῦ περικολπίου
Τῷ πεμπέλῳ γέροντι σαπρῷ Θουκρίτῳ (1)!
Ἰατταταιὰξ τῆς κινάβρας τοῦ γέρου!
Φεῦ τοῦ τοσούτου τῆς ὑπήνης φορτίου!
Ὅση μὲν εἰς ἔκτασιν! εἰς εὖρος δ' ὅση!
Ἁπλῶς δὲ πάσας τὰς διαστάσεις ὅση!
Ἐντεῦθεν, οἶμαι, κατακομπάζεις, γέρον.
Φέρεις δὲ καὶ κύρτωμα, καὶ σφαιρεῖς ῥάχιν (2).
Ἡ γὰρ γενειὰς τὸν τράχηλόν σου κλίνει
Πολλή τις οὖσα καὶ βάρους οὐ (3) μετρίου.

* E codice 2831, p. 159. Hoc carmen alii præmissum est simili in anum libidinosam, quod Thorlacius edidit inter Prolusiones t. III, pag. 65, sub Philæ nomine. Utrumque diserte Theodoro Prodromo in codice regio tribuitur, ut et in Vaticano, de quo Dutheilius videatur Notit. Mss. t. VIII, II, p. 181.

(1) Theodorus Prodromus in anum libidinosam v. 2: Ὦ μιαρὰ γραῦς θεῖου κρίνου παλαιτέρα. Lege Θουκρίτου e codice. Respicitur idem ille senex.

(2) Forsan σφαιροῖς. Cod. ῥάχην, permutatis η et ι. Aristippus in Epist. Socrat. 29, p. 34: εἰ δέ μου διαλυθέντος ὑπὸ τῆς φύσεως σῆσαι ἐμὸν βούλημα ζητεῖς. Legam, pro absurdo σῆσαι, ἦσαι. Scymnus, v. 52: Πεῖραν ἐπεθύμησ' αὐτὸς.... ὁ βασιλεὺς ἐς' ἰδεῖν, Ἣν αὐτὸς ἑτέροις χάριν ἀπαγγέλλειν ἔχω. Recipienda forsan varietas ἵν' αὐτός. Maximus Tyr. Diss. XXIV, 4, pag. 460: πηδᾷν μὲν αὐτῷ τὴν καρδίαν ἐπὶ Χαρμίδῃ, καὶ οἰδεῖν τὸ σῶμα, ἐπτοῆσθαι δὲ καὶ ἐνθουσιᾷν. Codex 1962, Davisio Regius, ἠδεῖν. Est οἰδεῖν graphicum nimis, et Maximo indignum, scriptore modestissimo. Propono ἰδίειν. Timæus Lexico: ἰδίειν, ἱδροῦν.

(3) Scripsi οὐ pro τοῦ.

Δειλαῖε, κεῖρε τὴν ὑπηνῆτιν τρίχα·
Ἄθλιε, δρωπάκιζε (1) τὰ πρόσωπά σου.
Χρῆσαι ξυροῖς, ψαλίσι, γυμναῖς ἀξίναις,
Σπάθαις, μαχαίραις· συμπαρέστω καὶ πρίων.
Ἐλευθέρωσον τὴν γένυν τοῦ φορτίου,
Ἐλευθέρωσον τοῦ βάρους τὸν αὐχένα.
Ὁρᾷς ὅπως κέκυφεν ἄθλιος κάτω,
Καὶ σχηματισμὸν ἱκέτου (2) δείκνυσί σοι,
Οἶμαι, λιπαρῶν ἀνεθῆναι τοῦ βάρους.
Ἔκκοπτε οὖν, μάταιε, τὴν τόσην τρίχα.
Εἰ δ' οὐχὶ ταύτην σὺ ξυρῆναι (3) προφθάσεις,
Μένιππος ἐγγὺς, καὶ (γινώσκω τὸν κύνα)
Ναυπηγικὴν ἄθηκτον (4) ἀξίνην φέρει.
Χρήσει μὲν καὶ γὰρ τοῦτον ὁ γλυκὺς Σύρος (5),
Ἐκ τῶν ἑαυτοῦ δελτίων ἀποσπάσας.
Καὶ, τοῦ κυνὸς φθάσαντος, οὐαί σοι, τάλας!
Οὐ γὰρ μόνην σου τὴν ὑπήνην ἐκτάμῃ,

(1) Vide t. I, p. 238, n. 1.

(2) Cod. οἰκέτου. Quæ permutatio jam exstitit t. II, p. 284. Vide Jacobs. Anal. t. XIII, p. 631.

(3) Cod. εἰδ' ἀχὶ τ. σὺ ξηρῆναι. Ex simili sono vocalium η et υ toties permutata sunt pronomina ἡμεῖς et ὑμεῖς, ἡμέτερος et ὑμέτερος : vide Rulez. Observat. in Themist. p. 52. Choricius in Summum § 9 : τοὺς μὲν οὖν πρὸ τῆς ἡμετέρας ἀρχῆς τῶν αὐτῶν ἡγησαμένους πραγμάτων οὐδὲν θαυμαστὸν κατόπιν σε γενέσθαι τῶν ἀρετῶν. Leg. ὑμετέρας, pro σῆς, e codice 2967. Bene latinus interpres : « qui ante te iisdem præfuerunt. » Choricius in Procop. § 29 : μέτην ὑμῶν ὁ Θεοδώρου φησί· μήτ' εὐτυχῶν ἔσο περιχαρὴς, μηδὲ, πράττων ἑτέρως, περίλυπος. Codex ἡμῶν, non vulgatæ præferendum. Obiter castigetur annotator, qui ad verba ὁ Θεοδώρου adscripsit « Xenophon. » Isocrates enim respicitur, qui filius fuit Theodori, cujusque est laudata Choricio sententia : Georgidem vide supra t. I, p. 62, 5.

(4) Forsan εὔθηκτον.

(5) Lucianus scilicet. — Displicet junctura μὲν καὶ γάρ. Spondæum hac sede diligenter vitavit versificator. Forsan χρήσαι. Optativo sic abutuntur isti scriptores.

Ἀλλὰ ξὺν αὐτῇ καὶ μέρος τῶν ὀφρύων.
Πλανᾷς σεαυτὸν, καὶ ματαιάζεις, γέρον,
Τὴν ἁδρότητα τῆς μακρᾶς γενειάδος
Εἶναι νομίζων δεῖγμα φιλοσοφίας.
Ἡ γὰρ τὸν Ἀθήνηθεν ἄνδρα τὸν μέγαν,
Τὸ τῶν λόγων αὔχημα, τὸν θεολόγον (1),
Τὸν ἄντικρυς νοῦν, τὴν ὑπὲρ φύσιν φύσιν,
Τὸν υἱὸν Ἀρίστωνος, οὗ κλῆσις Πλάτων,
Καὶ τὸν φυσικώτατον Ἀριστοτέλην,
Τὴν τῶν Σταγείρων ἄκραν εὐετηρίαν,
Καὶ τὸν πυρὸς πάρεργον Ἐμπεδοκλέα,
Καὶ τὸν Σάμιον τῷ γένει Πυθαγόραν,
Καὶ τὸν σπαρέντα Σωφρονίσκῳ Σωκράτην,
Εἰ μὴ μακρὰς καθεῖντο καὶ γενειάδας (2)

(1) Basilius Schol. ad Gregor. Naz. Orat. XXVI, p. 458, in cod. 573, p. 149, 1: οὗτος ὁ Πλάτων πρῶτος, μετὰ τῆς ἡδίστης φράσεως καὶ ἀπαγγελίας, καὶ δογμάτων ἥψατο θεολογίας ὑψηλῶν τινῶν καὶ τῆς ἡμετέρας οὐ πολὺ πόῤῥω βαινόντων αὐλῆς· πλὴν ἀνοίκειος ἡ τῶν τοιούτων ἀδολεσχία καὶ σοφιστικὴ φλυαρία τῇ τῶν ἡμετέρων δογμάτων θεολογίᾳ τε καὶ φιλοσοφίᾳ. Theodorus Prodrom. in Notit. Mss. t. VIII, II, p. 195: Ἔῤῥετ' Ἀριστοτέλους πολυμήχανα δήνεα τέχνης, Θευλογίη τε Πλάτωνος, ἅπασά τε φιλοσοφίη. Cod. 2831, πολυμήχανα μήχεα: quod prætulerim ob quæsitum alliterationis lumen. Obiter ibidem, pro Καὶ τάχα δυσβόρους κόσμου περιφύγης μελεδῶνας; scribe Καὶ τάχα γυιοβόρους... Codex 2831 habet γυοβόρυς.

(2) Codex, καθῆντο καὶ γενειάδος. Iotacismus in causa fuit librario, cur καθῆντο scriberet. Arethas in Anth. Palat. XV, 33: Πάντων γὰρ αὐτῆς οὐδαμῶς λάθοι στόμα Καλὸν φερούσης νουθέτημα τῷ βίῳ. Εἰ δ' οὖν λαλήσει καὶ γραφὴ πάντων πλέον Αὕτη παρ' αὐτὸν τὸν τάφον τεθειμένη. Pro εἰ δ' οὖν, quo sententia impeditur, legerim ἡ δ' οὖν... Αὐτὴ, scilicet γραφή· « hæc» ce tamen tabula ipsa disertius » omnibus loquetur. » Lucianus Asin. 12: νῦν ὁ καιρὸς, ὦ Παλαίστρα, τῆς εἰς ἐμὲ χάριτος, ἣ νῦν ἔχεις τὸν σαυτῆς ἱκέτην ἀναπαῦσαι πολυχρονίου ἐπιθυμίας. Dativus ᾗ prave habet. Codex 1310, εἰ. Poterit legi, εἰ νῦν ἔχεις. Sed malim cum interrogatione, ἦ νῦν ἔχεις.... ἐπιθυμίας; Ac quum sint libri in quibus, pro ᾗ vel εἰ, ex-

Καὶ μέχρις αὐτῶν ἀστραγάλων (1) ἱγμένας,
Καὶ τῆς κινάβρας ἔπνεον καὶ τοῦ γράσου,
Ἄστροις δ' ἀπεικάζοντο τοῖς πωγωνείοις,
Ὅσον τὸ τοῦ πώγωνος, οὐ τὸ τοῦ φάους,
Οὐκ ἂν σοφοὺς ἔφαμεν, οὐ φιλοσόφους,
Οὐκ ἂν δικαίους καὶ καλοὺς καὶ κοσμίους;
Τί δ'; ἄν τις ἀνὴρ, συκοφαντίας γέμων,
Ἰδεῖν μὲν αἰσχρὸς, αἰσχίων δὲ τὸν βίον,
Ἄφρων, ἀμαθὴς, ἄλλος Ἀρχιβιάδης (2)
Ὁποῖον ὁ Πλούταρχος ἱστόρηκέ που,
Πώγωνος ἐπλούτησεν ἄπειρον τρίχα,
Ἤδη σοφὸς καλοῖτο καὶ σοφὸς μέγας;
Καὶ μὴν ἕτοιμος Φωκίων ὁ γεννάδας
Ἀμφοῖν λαβέσθαι τὴν πολυτριχωτάτην.
Εἴην στρατηγὸς Φωκίων ἐγὼ νέος,
Σοὶ τῷ καθ' ἡμᾶς ἐχθρὸς Ἀρχιβιάδῃ.
Εἰ γὰρ λαβοίμην τῆς παλαμναίας, γέρον,

stat ἆ, forsan, junctis syllabis, scribendum εἶα, sic : εἶα! νῦν ἔχεις. . . ; Philodemus in Anal. t. XIII, p. 693 : εἰ δ' ἀπολείψῃς Οὔθατα καὶ βρομίου χογνῆ προπόσιν, Ἀλλ' ἑτάρους ὄψει παναληθέας, ἀλλ' ἐπακούσῃ Φαιήκων γαίης πουλὺ μελιχρότερα. Legam omnino ἀπολείψεις, et ob syntaxin pravam, in Philodemo etiam praviorem, et præsertim ob pessimam formam ἀπολείψω, quum indicativus ἀπέλειψα apud bonos scriptores non sit in usu. Sequentia ὄψει et ἐπακούσῃ nullo modo sunt tentanda; nam ὄψει, non ὄψῃ, scripserunt omnes, non attici soli : vide Koen. ad Gregorium Corinthium Dial. A. § 55.

(1) Cod. ἀστραγγάλων. « Usque » ad talos. » Memini ἀστραγάλων apud Theocritum, x, 36, qui tali esse nequeunt : Βομβύκα χαρίεσσ', οἱ μὲν πόδες ἀστράγαλοι τεῦς, Ἁ φωνὰ δὲ τρύχνα. Qui possunt pedes comparari talis ? Ineptit quidem Battus Theocriteus, sed non tam egregie. Amicæ vocem solano qui comparat, et astragalis pedes comparare potest, non talis quidem, sed plantæ leguminosæ cuidam, quam et hodiedum botanici viri vocant astragalum.

(2) De Archibiade Plutarch. Phoc. § 10.

Τάχα ψυχὴν δείξαιμι τὴν ὅλην γένυν·
Ἀλλ' εἰπέ μοι, Θούκριτε, πεντάκις γέρον,
Ἰαπετὲ, κρόνιε τὴν ἡλικίαν·
Ὁ δοῦλος ἔλθῃ δραπέτης, μαστιγίας,
Καὶ τὴν γρὺ φωνὴν ἀγνοῶν, λόγους λέγει (1)·
Φωνεῖ δὲ (2), καὶ, πώγωνος ἀπείρου βάρους,
Τίνα κρινεῖς ἐκεῖνον; ἔμπειρον λόγου;
Τῆς ὕβρεως φεῦ τῶν σοφῶν μαθημάτων!
Ἀλλ', οἷος ἐστὶ, μνᾶς τυχὸν πεπραμένον (3);
Τῆς ὕβρεως φεῦ τῆς ἀδρᾶς γενειάδος!
Δοκεῖ δέ μοι· σὺ τὴν φιλόσοφον χάριν
Τοῖς ἀγελάρχοις προσνέμοις πλέον τράγοις,
Εἰ τῷ γενείῳ τὸν λόγον περιγράφοις·
Καὶ γὰρ γενειάσκουσιν εἰς βάθος τράγοι (4).
Ἀλλ' οὔτε τῷ πώγωνι δοῖμεν τὸν λόγον,
Οὔτε τράγους τάξαιμεν ἐν φιλοσόφοις.
Τοῖς γὰρ φρονοῦσιν οὐ σοφὸς λέγοιτό τις
Ποδήρες ἱμάτιον ἐνδεδυμένος,
Ἢ γοῦν ἐπ' αὐτῆς ἰγνύος ἐζωσμένος·
Οἷος Πλάτων ἄζωστος ἐν τῷ χθὲς χρόνῳ
Μέσον ἐπ' αὐτὴν ἦλθεν Ἀκαδημίαν
Καὶ τοῖς μαθηταῖς τούσδε τοὺς λόγους λέγει·
Οὐ τοῦ χθὲς ἦν Πλάτωνος ἔσται βελτίων (5).
Οὐ γὰρ στολαὶ κρίνουσι τοὺς ἐν τοῖς λόγοις,
Οὐδ' ἐξαμοιβὴ ζώσματος καὶ βλαυτίου·

(1) Schol. ad Plut. 17 : ὅταν δὲ θέλωμεν ἐκφαυλίσαι τινὰ, φάμεν οὐδὲ τὸ γρὺ φθέγγεσθαι, ἀντὶ τοῦ οὐδὲ τὸ τυχόν.

(2) Videtur excidisse versiculus de prolixa servi barba.

(3) Codex, ut videtur, πεπραμένος.

(4) Julian. Misop. pag. 339 : ὥσπερ οἱ τράγοι τὸ γένειον ἔχων.

(5) Codicis exhibui scripturam.

Φύσις δὲ λογικὴ καὶ μάθησις βιβλίων,
Ἀπόκρισις καὶ πεῦσις ἀκριβεστάτη (1).
Οὕτω βαθεῖς (2) πώγωνες οὐδὲν εἰς κρίσιν
Λόγου μαθητῶν καὶ διδασκάλου λόγων.
Ἄνθρωπε, κἂν σύμπασα φιλοσοφία
Τῆς σῆς ἀπηώρητο λοιπὸν γενειάδος,
Ἔδει σε ταύτην ἐκτεμεῖσθαι καὶ πάλιν,
Ὡς τὴν ἀπ' αὐτῆς ἐκφύγῃς ἀκοσμίαν.
Ὡς γὰρ μελῶν ὁ κόσμος ἐκ συμμετρίας
Χειρῶν, ποδῶν, ἅπαντος ἁπλῶς σαρκίου,
Αἱ συστολαὶ δὲ καὶ παρεκτάσεις ὅλως
Ἀκοσμίαν (3) φέρουσιν ὡς καὶ κακίαν·
Οὕτως γενείου σεμνότης συμμετρία.
Πάντων ἄριστον μέτρον, ἀρχαῖος λόγος (4).
Ἀλλ', ὦ φίλον γένειον, ἄκμαζε πλέον,
Πρόκοπτε πάντη, μηκύνου, διευρύνου,
Καὶ συγκατάσπα τὴν ῥάχιν τοῦ πεμπέλου,
Ἕως παραθραύσειας (5) αὐτὸν εἰς τέλος.

(1) An scripserit auctor ἀκριβεστάτη dubitari potest. Priorem vocis partem vermis abrosit.

(2) Codex, βαιεῖς.

(3) Codex, εὐκοσμίαν.

(4) De Cleobuli sententia, πᾶν μέτρον ἄριστον, « optima res modus est », jam egi t. I, p. 144. Nicephorus Greg. IX, 2, p. 244: ἐς τοῦτο γὰρ τείνει καὶ τὰ σοφὰ τῶν παλαιῶν γνωματεύματα, μηδὲν ἄγαν λεγόντων καὶ πᾶν μέτρον ἄριστον. Joannes Mauropus procemii ipso initio: Πάλαι διδαχθεὶς ὡς ἄριστον πᾶν μέτρον, Τά τ' ἄλλα πάντα μετριάζω, καὶ λόγους. Palladas Epigr. 124: ἀλλά τις εἴην Μήτ' ἄγαν εὐδαίμων, μήτ' ἐλεεινὸς ἐγώ· Ἡ μεσότης γὰρ ἄριστον. Adde Man. Palæol. Præc. c. 24.

(5) Est παραρθρώσειας in Vaticano, teste Dutheilio.

ΙΑΜΒΟΙ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ

ΙΓΝΑΤΙΟΥ.*

Ἄνω πτέρωσον πρὸς θεόν σου τὰς φρένας.
Βίον πόθησον ἔνθεον ἡγνισμένον.
Γαῖαν βάδιζε· μὴ τὰ τῆς γαίας φρόνει.
Δίδου πένητι χεῖρα κειμένῳ κάτω.
Ἔργων φερίστων ἠγλαϊσμένων πόθει.
Ζήτει τὰ τερπνὰ τῶν ἐκεῖθεν ἐλπίδων.
Ἡ γλῶττα ἀεὶ ἀγαθὰ προσφθεγγέτω.
Θήρα βλέποιο, μὴ γένῃ, τῶν δαιμόνων.
Ἴχνη βεβήλων μηδαμῶς ὁδοιπόρει.
Κλαῦσόν τε καὶ στέναξον, πλύνον σοὺς ῥύπους.
Λόγους σοφῶν μίμησον (1), καὶ σοφὸς ἔσῃ.
Μὴ τοὺς ἐπαίνους, ἀλλὰ τοὺς ψόγους, φεῦγε.
Ναὸν σεαυτὸν (2) ποίει ἠγλαϊσμένον.
Ξένους ξένιζε, καὶ Χριστός σε ξενίσει (3).
Ὅρκους βδελύσσου ψυχικοὺς ὀδωδότας.
Πλοῦτον ἄχρηστον νέμων (4) εὐχρήστῳ τρόπῳ.

* E codice 3058, p. 32, 1. Aliud Ignatii poema alphabeticum indicavi t. 1, p. 161, ubi de illis *alphabetis* poeticis monui, et tria edidi. Simile poema exstat in codice Bodleianæ: vide Gaisfordii Clarkianorum manuscriptorum Catalogum pag. 22, XXXVIII.

(1) Sic barbare. Lambecius alicubi scripsit μιμοῦντες. Vide notata ad Planud. Met. p. 37, 311. Sed in Juliano talia non sunt ferenda. Scripserat imperator elegantissimus Epist. 40, εἰ δὲ.... αἰτῇ: nunc calami lapsu recentis αἰτῇς irrepsit. Ita peccant homines et docti et diligentes. Quæ quum cerno, mihi quantum timeo, nec valde docto ac cujus diligentiam variæ sæpius ac multiplices impediunt occupationes!

(2) Conf. pp. 161, 22; 171, 16; 174, n. 3.

(3) Codex, ξενίση.

(4) Scripsisse puto Ignatium νέμε vel νεῖμον.

Ῥευστὸν τὸν κόσμον ὡς ἀραχνώδη νόει (1).
Σαρκός τε τὸ φρόνημα τῆξον εὐθέως.
Τὰ δ' ὅπλα φωτὸς ἀντὶ πορφύρας φόρει.
Ὑψῶν σεαυτὸν μὴ ἐν μεγάλοις βλέπε.
Φόβῳ Θεοῦ σύγκαμψον (2) τὸν σὸν αὐχένα.
Χαίρων βάδιζε τὸν ἐπίμοχθον βίον.
Ψέγου παρ' ἄλλου μᾶλλον ἢ θέλεις (3) ψέγειν.
Ὦ 'τᾶν, φύλαξον ταῦτα (4), καὶ μέγας ἔσῃ.

(1) Conf. supra, p. 338, 23.

(2) Codex, σύγκαψον.

(3) Codex, ἢ μᾶλλον. Malim θέλε vel θέλοις.

(4) Codex, ταῦτα φύλαξον. Etsi non curent isti poetastri pedum ordinem, puto restituendam quantitatem, quæ a librario potius quam ab auctore pessumdata videri queat. Transpositione prodero Scymno sic edito v. 125: Καλλίαν δὲ Σικελὸν τὸν ἐκ Ταυρομενίου. Ut sit metrum, rescribam : Σ. δὲ Καλλ. . . . . Dicæarchus 58 : Ἐν ᾗ πόλις ὑπόκειται Πλευρὼν καὶ ἱερόν. Transpono, Πλευρὼν ἐν ᾗ πόλ. ὑπόκ. . . . . Conf. v. 74.

ΝΕΙΛΟΥ.*

Ἄγει τὸ θεῖον τοὺς πονηροὺς εἰς δίκην.
Βέβαιος ἔσῃ, Θεὸν ἀεὶ σχῶν φίλον.
Γενοῦ ποθεινὸς τῶν Θεοῦ θεσπισμάτων.
Δίκαιον φιλῶν, μοίρας δικαίων τύχῃς.
Ἔπαινον φίλει, μὴ ψόγῳ περιπέσῃς.
Ζήσεις βίον ἄριστον, εἰ ῥᾷστα δράττεις.
Ἡδὺ σιωπᾷν ἢ λαλεῖν ἃ μὴ πρέπει (1).
Θεοπερβλήτως (2) γ' ἐκ Θεοῦ δέχεσθαι χρή.
Ἴχνευε πάντων τῶν σοφῶν τὰ δράματα (3).
Καλὸν τὸ μὴ ζῆν ἐστιν ἢ ζῆν ἀτίμως.
Λύπη τοῖς ἀνθρώποις δὲ θάνατον φέρει.
Μιμοῦ τὰ σεμνά· μὴ μιμοῦ κακὸν τρόπον.
Νόμιζε σαυτῷ τοὺς γονεῖς θεοὺς εἶναι.
Ξένοις ἐπαρκῶν, τοῖς ἴσοις λάβῃς (4) τότε.
Ὅρκον ἔκφευγε, κἂν δικαίως ὀμνύῃς (5).

* Ex codice 3058, p. 32, 2. Cui e plurimis Nilis tribuendi sint hi versus non queo discernere. Dum melius quid docear, Nilo eparcho, ceteris nobiliori, tribuam, qui nonnunquam ligata usus est oratione.

(1) Sententia monost.: Κρεῖττον σιωπᾷν ἢ λαλεῖν ἃ μὴ πρέπει.

(2) Fors. θεοπρόβληθ' ὡς.... Sed et versus in clausula laborat. Similis fere sententia Gregorii Naz. in simili *alphabeto* t. II, p. 186: Πάντ' (male Billyus πάντα) εὐχαρίστως δεῖ δέχεσθαι τὰ Θεοῦ. Cod. 3058, p. 31, 1: Πάντ' εὐχαρίστως τὰ Θεοῦ πᾶς δεχέσθω· male. Non enim tam politica fuit et rustica Gregorii Naz. musa.

(3) Gregorius Naz. ibidem: Γίνωσκε πάντα τῶν καλῶν τὰ δράματα. — Et hic clausula laborat.

(4) Codex, λάβοις. Sententia monosticha: Ξένοις ἐπαρκῶν, τῶν ἴσων τεύξῃ ποτέ. Dativus τοῖς ἴσοις est vitiosus. Forsan, τῆς ἴσης λάβῃ, scilicet μοίρας, ἐπαρκήσεως.

(5) Sententia monost., quam integram melius sumpsisset poetaster: Ὅρκον δὲ φεῦγε, κἂν δι-

Πανήγυριν νόμιζε τόνδε τὸν βίον.
Ῥᾷστα βίωσον· κλῆρον τὸν ἄνω λάβῃς.
Σοφοῦ παρ' ἀνδρὸς δεῖ σοφόν τι μανθάνειν (1).
Τέχνην ἐκπληροῖς, εἰ τὸν Θεὸν προβλέπεις.
Ὕψου τὰς χεῖρας πρὸς Θεὸν ἀεννάως.
Φιλεῖν σπούδαζε τὴν πονημάτων δόξαν.
Χῶρον τὸν ἄνω σπεῦδε λαβεῖν, εἰ θέμις.
Ψέλλιζε (2) σοφῶς ἢ σοφίζειν ἀλόγως.
Ὡς γὰρ καλῶν πρόξενα ταῦτα πρακτέον.

καίως ὀμνύῃς. Istud δὲ in integro poemate faciebat nexum. Ibidem: Ξένοισι πιστοῖς πιστὸς ὢν γίγνου φίλος. Veriorem fere putaverim scripturam codicis 1168: Ξένοις δὲ πις......

(1) Exstat sine varietate inter Sententias monostichas. In capite Εἰς παιδείαν illarum sententiarum video bonum versiculum bonamque sententiam: Καλὸν δὲ καὶ γέροντι μανθάνειν σοφά. Pro σοφὰ est σφόδρα in codice 396. Scriptura est recentioris hominis qui rhythmum politicum restituere volebat, offensus accentu ultimo vocabuli σοφά.

(2) Forsan ψελλίζειν.

ΕΤΕΡΟΙ

ΤΟΥ ΠΤΩΧΟΠΡΟΔΡΟΜΟΥ.*

Ἄναρχος ἀρχὴ, παντὸς αἰτία, Θεὸς,
Βασιλικὸν, βέβαιον, ἐν ταυτῇ (1) μένον,
Γλυκασμὸς ἔμφρων, αὐτέρως, αὐταγάπη,
Δωρητικὸν, πλούσιον, εὐθὲς, εὐθύτης,
Ἓν, ταυτὸν, ἴσον, ἄρτιον πάντων πέρας,
Ζωὴ καλὸν φῶς (2), αὐταγαθὸς οὐσία,
Ἡδὺ, προμηθὲς, ὀντότης, ἀπειρότης,
Θεουργὸν, ἁπλοῦν, ἀρετὴ σύμπαν ὅλον,
Ἱκανότης, δίκαιον, αὐτοσοφία,
Κοσμουργὸν, ἀθάνατον, ἀειζωΐα,
Λυτρωτικὸν, πάνταρχον, αὐθαγιότης,
Μονοκρατὲς, κύριον, ἁπάντων ὅρος,
Νοῦς καὶ Λόγος καὶ Πνεῦμα· ταῦτα γὰρ Θεὸς
Ξύμφυλα πάντη καὶ ξυνουσιωμένα.
Ὁ μὲν Λόγος Νοῦ γέννα τοῦ παναιτίου,
Πανάγιος παῖς Πατρὸς ἐκ παναγίου,
Ῥίζης ἀνάρχου καρπὸς ἄναρχος μόνος,
Σφραγὶς καθαρὰ μηδαμῆ κινουμένη.
Τὸ Πνεῦμα δ᾽ ἐκπόρευμα καὶ πρόβλημα Νοῦ (3),
Ὕψιστον, ἰσότιμον Πατρὶ καὶ Λόγῳ,

* Ex codice 3058, p. 31, 2. Ptochodromus idem est ac Theodorus Prodromus.

(1) Forsan ἐν ταυτῷ.

(2) Respicit, puto, alta Joannis verba: ἐν αὐτῷ ζωὴ ἦν καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων.

(3) Habemus quem Roma schismaticum esse declarabit. Profitetur græculus poetaster S. S. processionem esse Νοῦ, id est Patris, nec addit καὶ Υἱοῦ. Equidem illum condemno et anathema esse jubeo, quod malus sit poeta et plerumque ineptior; mihi sat bonus est theologus.

Φύσει τε ταυτὸν καὶ δυνάμει καὶ κράτει.
Χωριστὸν οὐδὲν τῶν τριῶν, ἓν τὰ τρία,
Ψαυστὸν λογισμοῖς, ἀλλ' ἀμυδρῶς, καὶ μόνον.
Ὢ τίς σεβασθῇ ταῦτα, καὶ σωθήσεται;

Εἰ ταῦτα (1) πιστὰ, πῶς με πιστῶν ἐξάγεις;
Εἰ δ' οὐχὶ πιστὰ, προστίθει τὰς αἰτίας.

(1) Hunc epilogum extra alphabetum addidit professioni fidei. Ἐξάγεις referendum ad latinum adversarium quemdam.

ΣΤΙΧΟΙ ΚΑΤΑ ΑΛΦΑΒΗΤΟΝ

ΠΟΛΙΤΙΚΟΙ ΚΑΤΑΝΥΚΤΙΚΟΙ

ΑΠΟ ΕΜΠΑΘΟΥΣ ΨΥΧΗΣ

ΕΙΣ ΤΟΝ ΣΩΤΗΡΑ.*

Ἀπὸ καρδίας στεναγμοὺς, ἀπὸ χειλέων λόγους,
Ἐκ τῶν ὀμμάτων δάκρυα προσφέρω σοι, Χριστέ μου.
Βέλεσι τέτρωμαι παθῶν, βέλεσι ψυχοφθόροις·
Ὡς ἰατρὸς θεράπευσον· δὸς, ὡς οἰκτίρμων, χεῖρα.
Γῆν ἔσχηκα προμήτορα, γῆ με καλύψει πάλιν·
Τίς τῶν προσκαίρων ὄνησις; τίς ἡδονὴ τοῦ βίου;
Δεῦτέ μοι συνθρηνήσατε, δεῦτε συγκλαύσατέ μοι,
Τὸ συμπαθὲς οἷς πρόσεστιν, οἷς φιλάνθρωπος γνώμη.
Ἐμάκρυνά μου τὴν ψυχὴν ἀπὸ τῶν σωζομένων,
Προσήγγισα τοῖς βλάπτουσιν· ὢ πλάνης ἀπανθρώπου!
Ζῶ βίον, ἀλλ' οὐκ ἄτρομον· αἱ πονηραί μου πράξεις
Καὶ πρὸ τοῦ τέλους πείθουσιν ἐν τρόμῳ ζῆν καὶ πόνῳ.
Ἡμάρτηκά σοι τῷ κριτῇ ὑπὲρ ἀνθρώπου φύσιν·
Τίς γένωμαι; ποῦ φεύξομαι; καὶ ποῦ κρυβήσομαί σοι;
Θρηνῶ καὶ κόπτομαι δεινῶς θανάτου ταῖς ἐννοίαις,
Οὐ δεδοικὼς τὴν τελευτὴν, ἀλλὰ τὰ μετὰ τέλος.

*** Ex codice 3058, p. 34, 2. Alphabetici sunt versus, per disticha compositi. Velim magnopere cognoscere poetæ nomen; nam politicos nunquam legi (et heu! multos legi) tam bonos, tam elegantes, tam facili vena profluentes, nisi forsan quos parili distichorum artificio composuit Symeon Metaphrastes, ediditque Allatius Diatr. de Symeon. p. 132. Metaphrastæ disticha legere erit operæ pretium, ac cum hisce conferre.**

Ἴλεως ἔπιδε, σωτὴρ, ἐπὶ ψυχὴν ἀθλίαν
Τὴν ἁμαρτήσασαν πολλὰ, τὴν παροργίσασάν σε.
Κοσμὸς φωτὸς ἡτοίμασται τοῖς ὧδε κατορθοῦσι,
Σκότος τοῖς ὀλισθαίνουσι· φεῦγε, ψυχή μου, τοῦτο.
Λύσιν κακῶν μοι δώρησαι, λύσιν, Χριστὲ, πταισμάτων,
Χρηστότητος ὢν ἄβυσσος, πηγὴ φιλανθρωπίας.
Μετὰ τὸ τέλος ἄπρακτα πᾶς στεναγμὸς, πᾶς θρῆνος.
Νῦν ἐνεργεῖ ὁ στεναγμὸς, νῦν ἐνεργεῖ τὸ πένθος.
Νόμους Χριστοῦ παρέβλεψα, νόμον παθῶν ποθήσας·
Τίς οὐ θρηνήσει με λοιπόν; τίς ἐπ' ἐμὲ μὴ κλαύσει (1);
Ξένους οὐκ εἶδον συμπαθῶς, πένησιν οὐκ ἐκάμφθην,
Ἀστέγοις οἶκον ἔκλεισα· φεῦ γνώμης ἀπανθρώπου!
Ὅλος εἶ, σῶτερ, γλυκασμὸς, ἡδύτης ὑπὲρ κόρην.
Μετάβαλλε πρὸς γλυκασμὸν ψυχῆς μου τὴν πικρίαν.
Πελάγει κλυδωνίζομαι, Χριστὲ, τῆς ἁμαρτίας.
Δὸς, ὡς τῷ Πέτρῳ (2), χεῖρά μοι· σῶσον, ὡς κυβερνήτης.
Ῥαθύμως κατηνάλωσα τὸν ἅπαντά μου βίον.
Οἴμοι! καὶ πῶς ἐκφεύξομαι κολάσεις ἀνυποίστους;
Σπλάγχνα τὰ σὰ παρώργισα, σπλάγχνα τὰ πατρικά σου·
Πλὴν φιλανθρώπως παίδευσον· μή με θυμῷ κολάσῃς.
Τίς ἡ χρηστότης σου, Χριστὲ, τίς ἀνοχῆς ὁ πλοῦτος,
Ὅτι μιανέντα τοῖς ῥευστοῖς οὐ φλέγεις, ἀλλὰ στέγεις;

(1) Codex, κλαύσῃ. (2) Alludit ad Matth. XIV, 31.

Ὕλην παθῶν ἐσώρευσα, τροφὴν πυρὸς ἀσβέστου·
Ἀλλ' ὄμβρισον (1) ἐλέους μοι σταγόνα πρὸ τοῦ τέλους.
Φύλαξ ὁ παραμένων μοι, Ἄγγελος ἀσωμάτων (2),
Παθῶν ἐμῶν τὸν βόρβορον οὐ φέρων, ἐμακρύνθη.
Χάρων ψυχῇ (3) τὸ δρέπανον τοῦ τέλους ἑτοιμάζει·
Τί δ' ἀμελεῖς καὶ οὐ πενθεῖς; φεῦ σοι τῆς ῥαθυμίας (4)!
Ψυχὴ, τῶν θείων φρόντισον· ἔχου τῶν ὑπὲρ λόγον·
Τὸ ἐμπαθὲς γὰρ τῶν φθαρτῶν εἰς κόλασιν ἀπάγει.
Ὦ! πῶς σοι παραστήσομαι; πῶς τῶν πρακτέων (5) λόγον
Παράσχω σοι τῷ πλάστῃ μου; Σῶσον, ὡς οἶδας σῶσον.

Μή με παρίδῃς (6), σῆς μητρὸς λιταῖς τῆς παναχράντου.
Σὺ μόνος ἀναμάρτητος, σὺ μόνος ἐλεήμων·

(1) Codex, ὄμβρυσον.

(2) De adjectivo ἀσώματος vide supra p. 189, n. 6.

(3) Codex, ψυχή. Doleo ingenii sanissimi hominem tam importuno loco portitoris illius Charontis meminisse.

(4) Est in textu ἀμελείας, in margine ῥαθυμίας a prima manu: hocque prætuli, propter præcedens ἀμελεῖς. Nec nego tamen habere illum lusum, ἀμελεῖς ἀμελείας, quo placere possit.

(5) Πρακτέα recentioribus sæpe pro πράξεσι usurpari ostendi t. I, p. 442. Joannes Diaconus, Laudat. Joannis Palæologi initio, etsi cuncta, inquit, quæ sunt in rerum natura, unum os fiant, imperatorisque laudibus totum impleant late longeque terrarum orbem, Οὐδ' οὕτω πέρας ἔμελλον θεῖναί σου τοῖς ἐπαίνοις, Οὐ κορωνίδα τουτωνὶ τοῖς κατὰ σὲ πρακτέοις. Esse videtur vitium in τουτωνί: forsan οὑτωσί. Idem v. 188: Ἔβλεψαι Ἰσρογείτονες τὰ κατὰ σὲ πρακτέα. Rursus v. 383: Ὅλος τῶν σῶν ἐξήρτηται καὶ λόγων καὶ πρακτέων. — Conf. p. 447, n. 3.

(6) Precatio addita extra alphabeti seriem.

Δέξαι με ὡς τὸν ἄσωτον (1), τὴν πόρνην (2), τὸν τελώνην (3),
Ὡς τὸν λῃστήν (4)· καὶ σῶσον με, χάριν τοῦ σοῦ ἐλέους.

(1) « Ut filium prodigum. » Vide Luc. XV.

(2) « Ut mulierem quæ erat » in civitate peccatrix. » Vide Luc. VII, 37.

(3) « Ut Matthæum, sedentem » in telonio. » Vide ipsum Matthæum IX, 9.

(4) « Ut bonum latronem. » Vide Luc. XXIII.

ΣΤΙΧΟΙ

ΤΟΥ ΕΠΙ ΤΩΝ ΔΕΗΣΕΩΝ

ΕΙΣ ΤΟΝ ΚΡΑΤΑΙΟΝ ΚΑΙ ΑΓΙΟΝ ΗΜΩΝ ΑΥΘΕΝΤΗΝ ΚΑΙ ΒΑΣΙΛΕΑ.*

α΄.

Ποίαν φωνήν σοι, βασιλεῦ, ἁρμόζουσαν ἐροῦμεν
Εἰς ἔπαινον ἀνάλογον τῶν σῶν προτερημάτων;
Ἢ ποῖον ᾆσμα μέλψομεν εἰς ἡδονὴν μετρίαν,
Ὡς ἂν σοὶ καὶ διάχυσιν δῶμεν ἐκ τῶν φροντίδων;
Πᾶσα προσήκει σοι φωνὴ σημαντικὴ χαρίτων
Καὶ πᾶσαν τὴν ἐκ φύσεως ὑπεροχὴν δηλοῦσα.
Τὸ κάλλος ἐπιπρέπει σοι τοῦ κατ' ἀνθρώπους κρεῖττον,
Καὶ φυσική τις κέκραται τῷ κάλλει φοβερότης.
Τὸ πρᾶον ἔσχες ἔμφυτον ἐν τῇ ψυχῇ σου κόσμον,
Καὶ προσέστιν ἐμβρίθεια τὸ πρᾶον καθιστῶσα.
Μεγάλα τὰ τῆς φύσεως πλεονεκτήματά σοι.
Καὶ ποῦ λοιπὸν ἁρμόδιος προσλαλιὰ φανεῖται;
Μέλος δ' ὁποῖον πλέξομεν; Ἔδει τὸ τῶν Σειρήνων·
Ἔδει τὸ τῆς Θαμύριδος Ὀρφέως τε κιθάρας (1),

* E codice regio 39, fol. 2. Nomen aulici hominis ac libellorum supplicum magistri non additum fuit, nec ego divinavi. Imperatorem ipsum esse Andronicum conjicio.

(1) Jungere amant veteres, quos hic homo sequitur, nomina Thamyridis et Orphei, præcipuorum artis musicæ magistrorum. Vide Platon. Ione pag. 36 Mull.; Rep. x, 15. Dion Chrys. Orat. LXX, p. 373: ἐπίσταται φάσκειν τι τοῦ Ὀρφέως ἄμεινον καὶ τοῦ Θαμύριδος. Lucian. De domo 18: οὐχ οὕτω Δημοδόκος (cod. 3010 scriptura vulgatiore Δημόδοκος), ἢ Φήμιος, ἢ Θάμυρις, ἢ Ἀμφίων, ἢ Ὀρφεύς τις λέγων ἐστὶν, ὥστε ἀποσπάσαι τὴν διάνοιαν αὐτῶν ἀπὸ τῆς θέας· in quo loco debile quantum est participium λέγων. Æneas

Ἢ Τιμοθέου σὺν αὐτοῖς εὐπλόκου μελουργίας,
Ὡς ἄν τι λέγειν δόξωμεν βασιλικῶν χαρίτων
Ἐπάξιον προσλάλημα, γλυκαῖνον τὰς αἰσθήσεις.
Ἐπεὶ δ' εἰς τοῦτο τὴν ἰσχὺν ἔχομεν ἀμβλυτέραν,
Ἐκ τῶν ἐνόντων (1) μέλπομεν τοὺς χαμαιζήλους
κρότους,
Καί σε μεθέλκειν σπεύδομεν τοῦ τῶν φροντίδων ὄχλου,
Ὡς ἂν εὐεργετώμεθα καὶ τοῦτο πρὸς τοῖς ἄλλοις,
Χαρμόσυνόν σοι τὴν ζωὴν Θεοῦ παρασχομένου
Μεθ' ἧς σε νῦν συνέζευσεν ἀξίας βασιλίδος,
Καὶ τοῦ συμβασιλεύοντος ὡραιοτάτου γόνου (2).

β'.

ΕΙΣ ΤΟΝ ΒΑΣΙΛΕΑ ΚΑΙ ΤΗΝ ΒΑΣΙΛΙΣΣΑΝ.*

Σοὶ, βασιλεῦ, τὰ μέγιστα τῶν ὀνομάτων πρέπει,
Τὸ μέγας, τὸ θαυμάσιος, τὸ φοβερὸς ἐν πᾶσιν,
Εὔβουλος καὶ καλλίνικος, ὀξὺς ἐν τοῖς πρακτέοις (3).
Σοὶ, βασιλὶς, τὰ κάλλιστα τῶν λέξεων προσήκει·
Ὡραία, καλλιπρόσωπος, ἦθος μετεωροτάτη,
Καὶ τούτων πλέον εὐτυχὴς τοιούτῳ συζυγεῖσα.
Οὐκ ἀποδέεις οὐδ' αὐτὸς, αὐτάναξ, τῶν καλλίστων,

Epist. 7 : ὑπὲρ τὸν Ὀρφέα καὶ Θάμυριν ἐκεῖνον ἡ τοῦ ἀνδρὸς μουσική.

(1) « Pro facultatibus, pro viribus, ut potero. » De qua loquutione vide Schæf. ad schol. Apoll. Rh. p. 65 ; Ast. ad Phædr. p. 212 ; Bos. Exerc. p. 42 ; Prio. ad Lucam xi, 41 ; Heyn. ad Virg. Ecl. vii, 35. Synesius De regno p. 21 : ἐκ τῶν ἐνόντων συμπαλαμήσομαι. Leo Diacon. vii, 3 : ἐκ τῶν ἐνόντων, ὅπως παρείκοι, ἀντικαθίστασθαι κραταιῶς. Max. Planudes p. 4, c. 16, versionis Rhetor. ad Herenn. : περὶ αὐτῆς ἐκ τῶν ἐνόντων λέξομεν.

(2) Andronicus Senior socium imperii habuit Andronicum Juniorem filii filium.

* Ex eodem codice ibidem. Lemma addidi.

(3) Conf. p. 444, n. 5.

Ἀλλ' ἔχεις πάντα συλλαβὼν μέτρα περιουσίας.
Ἐγύρωσάν σοι χάριτες τὴν θέσιν τοῦ προσώπου
Καὶ σῶμα πᾶν ἐκάλλυναν ἄχρις ὁλομελείας.
Ἀλλ' οὐδὲ σύ τι, βασιλὶς, ἀπέχεις τῶν μεγίστων·
Δίδωσι γὰρ ἡ τῶν ἠθῶν σημαίνεσθαι σεμνότης,
Ὡς πάντα πρὸς ἐμφέρειαν τοῦ βασιλέως ῥέπεις·
Καὶ τὴν ἐκ φύσεως ῥοπὴν ὁ χρόνος ἐμφανίσει.
Ἡμῖν δ' ἐκεῖνο μέγιστον καθέστηκε σημεῖον,
Κἀκεῖνο προδιέγνωμεν ἐξ ἐμφανῶν συμβόλων.
Ὁ νῦν ἀνακηρύττομεν εὐφωνοτάτῃ γλώσσῃ·
Ὡς τῷ καλλίστῳ τῶν ἀνδρῶν, ὧν ἔδειξεν ὁ χρόνος,
Οὐκ ἦν μὴ συναρμόσασθαι τὴν γυναικῶν καλλίστην
Τὸν τὰ καλὰ συνάπτοντα κἂν τόπῳ διϊστῶντα (1).
Ὅθεν εἰς ἔργον βλέποντες ἐκβὰν ἐκ τῶν πραγμάτων
Χαίρειν ὑμῖν προλέγομεν πολλῇ τῇ πεποιθήσει·
Ὁ γὰρ συνάψας κάλλιστα καλῶς καὶ συμφυλάξοι,
Καὶ τέρψιν χορηγήσειεν ὑμῖν καλλιτεκνίας.

γ'.

ΤΟΥ ΛΟΓΟΘΕΤΟΥ.*

Θεοῦ σε χάρις, βασιλεῦ, ἄνωθεν καταστέφει·
Καί σου λοιπὸν τῶν ἀρετῶν ὁ κύκλος τῶν ἀνθέων
Κόσμος καὶ κάλλος γίνεται τῆς αὐτοκρατορίας.
Μύρον ὀσμῆς ἀκένωτον τῆς ἀσματικωτάτης (2)

(1) Quod quadrat in uxorem Andronici Senioris, quæ fuit Longobarda (vid. t. 1, p. 271, n. 4); vel in Andronici Junioris, quem potius respici puto, uxores, quarum prior fuit natione Germana, posterior Sabauda.

* Codex idem ibidem. Non affirmaverim me lemma bene legisse.—Codice rursus inspecto, puto in mea lectione adquiescendum.

(2) Respectu ad Cant. cant. 1, 3: ὀσμὴ μύρων σου ὑπὲρ πάντα

Ἀρωματίζεις ἐκ ψυχῆς τῆς βασιλικωτάτης,
Καὶ φέρεις ἄνω πρὸς Θεὸν αἰνέσεως θυσίαν (1),
Καὶ μεταφέρεις πρὸς τὴν σὴν κάτω κληρονομίαν
Παραίνεσιν ἀδίδακτον καὶ μένουσαν εἰκόνα·
Ὡς ἂν ὁρῶντες ἐπὶ σὲ καὶ πρὸς τὴν σὴν εἰκόνα
Θεῷ τῷ σε δοξάσαντι καὶ τὴν κληρονομίαν
Ἀπὸ ψυχῆς τὴν αἴνεσιν, τὴν λογικὴν θυσίαν,
Ἀπὸ ψυχῆς εἰσφέρωμεν καρπὸν εὐγνωμοσύνης (2).

τὰ ἀρώματα.......ὀπίσω σου εἰς ὀσμὴν μύρων σου δραμοῦμεν. Quo et respexisse videtur Joannes Monachus Vita Barlaami supra p. 311, 10.

(1) Biblica est loquutio *αἰνέσεως θυσία.*

(2) Hic versus, quem non puto fuisse carminis ultimum, folii versi ultimus est. Quod sequitur folium tertium rectum alia est manu scriptum atque diversa omnino exhibet, scilicet Gregorii Nazianzeni carmina.

ΛΙΒΑΝΙΟΥ ΔΙΗΓΗΜΑ

ΠΕΡΙ ΤΟΥ ΡΟΔΟΥ.*

Ἡνίκα κριτὴν ἐκάθισε ταῖς θεαῖς τὸν βουκόλον ὁ μῦθος, ἐλύπει μὲν Ἥραν, ἐλύπει δὲ Ἀθηνᾶν ὁ τῆς Ἀφροδίτης κεστὸς, ᾧ ἔνι (1) μὲν φιλότης, ἔνι δὲ ἵμερος, ὥστε οὐδὲ ἀγωνίζεσθαι ὅλως ἐβούλοντο, εἰ μὴ τὸ φάρμακον ἡ θεὸς ἀποθείη πρότερον· οὕτω γὰρ ἐκεῖναι τὸν κεστὸν ἐπωνόμαζον (2). « Ἀλλὰ καὶ ὑμεῖς » ἡ Ἀφροδίτη φησὶν (3), « οὐδὲν ἧττον ἐμοῦ καλλωπιζόμεναι ἥκετε (4), » ἡ μὲν διάδημα τῇ κόμῃ χρυσοῦν, ἡ δὲ κράνος καὶ » αὐτὸ (5) χρυσοῦν τῇ κεφαλῇ περιθεῖσα. Ἀλλ' ἐμοί » γε » ἔφη, « τῶν ἡμετέρων φαρμάκων οὐ πολὺς » λόγος, εἴ τινα καὶ ἐμοὶ ἕτερον ἀντὶ τοῦ κεστοῦ » κόσμον ἐξείη κοσμεῖσθαι. » Καὶ ἅμα ταῦτα εἰποῦσα κατένευσεν ἅμα ταῖς θεαῖς παρὰ τὸν Σκάμανδρον. Ἄνθη δρεψομένη ἐφοίτα· καὶ γάρ τις αὐτόθι λειμὼν παρὰ τὰς ὄχθας ἐπεφύκει τοῦ ποταμοῦ. Χαρίεντα δ' ἅμα καὶ διαφανῆ τὰ ὕδατα καὶ ἐπιτήδεια λουτρὸν εἶναι. Λελουμένη οὖν τρέπεται πρὸς ὅπερ ἀφίκετο· καί πω ὀσμή τις αὐτῇ παρέβαλε μάλα ἡδεῖα. Κρίνα τε

* Hæc Libanii Narratio reperta fuit a comite Leopardo inter schedas quasdam recentissimas Bibliothecæ Barberinæ. Cujus viri doctissimi apographum quum mihi humanissime obtulisset Sinnerus, quo, ut luberet, uterer, visum est ut Anecdotis meis accederet, ornamentum non mediocre. Lemma Leopardus addidit græcum, latinam annotationem sequutus ejus qui schedas Barberinas scripsit, hominis docti et anonymi.

(1) Hom. Il. Ξ, v. 216.

(2) Φαρμακίς ἐστι, de Venere ait Minerva Luciani D. D. xx, 10.

(3) Apogr. φή. Forsan ἔφη.

(4) Apogr. ἥκειτε.

(5) Apogr. αὐτή.

οὖν καὶ ἴα καὶ ἄλλ' ἄττα (1) συλλέξασα, ἐπειδὴ ἑτέρου μᾶλλον αὐτὴν ὀσμή τις ἐψυχαγώγει, περιῄει τῆς εὐωδίας τὸ αἴτιον ἀνιχνεύουσα. Ὁρᾷ δὲ τὸ ῥόδον (2), καὶ παρὰ τὴν ῥῖνα προσάγει (3)· καὶ τοῦτ' ἐκεῖνο εἶναι μαθοῦσα, τὰ μὲν ἄλλα παρ' οὐδὲν ἔθετο καὶ ἀπέῤῥιψε, ῥόδοις τε πρὸς τὸ ὄρος τὴν Ἴδην ἐπανῆκεν ἐστεφανωμένη. Ἐκοσμεῖτο δὲ ἅμα, ὡς ἔοικεν, ἡ θεός τε τῷ ῥόδῳ, καὶ τῇ Ἀφροδίτῃ τὸ ἄνθος, ὥστε τὰς ἀμφὶ τὴν Ἥραν καὶ Ἀθηνᾶν εἷλε τοσοῦτον, ὅσον οὐδ' ἀναμεῖναι τοῦ βουκόλου τὴν ψῆφον· ἀλλὰ προσδραμόντα (4) φιλῆσαι τὸ ἄνθος, ἀφελόμενον τὸν στέφανον, καὶ αὖθις αὐτὸν τῇ θεῷ περιθεῖναι.

(1) Apogr. ἄττα.

(2) Jungit et illos flores Liban. t. IV, p. 1053 : ἀγροὶ δὲ ἥδιστοι,.. τοῖς ἄνθεσι, τῷ ῥόδῳ, τῷ ἴῳ, τοῖς κρίνοις, τοῖς ἄλλοις ἃ.... Cf. Eumath. Hysm. p. 6.

(3) Anacr. de rosa : Γλυκὺ δ' αὖ λαβόντι θάλπειν Μαλακαῖσι χερσὶ κούφαις Προσάγοντ' ἔρωτος ἄνθος. Aristænetus I, Epist. 3 : ἐκδρεψάμενος φῦλλον, ὑπεμάλαττον τοῖς δακτύλοις, εἶτα τῇ ῥινὶ προσάγων....

(4) Hiat narratio. Librarius nonnulla omisit.

Τῼ ΑΓΙΩΤΑΤῼ ΣΟΦΩΤΑΤῼ ΘΕΟΕΙΚΕΛῼ

ΠΟΙΜΕΝΙ ΠΟΙΜΕΝΩΝ

Τῼ ΤΥΡΟΥ

ΜΙΧΑΗΛ ΑΜΑΡΤΩΛΟΣ

ΙΕΡΟΜΟΝΑΧΟΣ

ΧΑΙΡΕΙΝ.*

Καρδία μὲν καὶ ἧπαρ ἅπασιν ἀναγκαῖα τοῖς ζώοις· ἡ μὲν, διὰ τὴν τῆς θερμότητος ἀρχήν (δεῖ γὰρ εἶναί τινα οἷον ἑστίαν, ἐν ᾗ κείσεται τῆς φύσεως τὸ ζωπυροῦν, καὶ τοῦτο εὐφύλακτον, ὥσπερ ἀκρόπολις οὖσα τοῦ σώματος)· τὸ δ' ἧπαρ, τῆς πέψεως χάριν. Πάντα δὲ δεῖται τὰ ἔναιμα δυοῖν τούτοιν, καθὼς ὁ Ἀριστοτέλης (1) φησίν· ἡμῖν δὲ, τοῖς εἰκόνι τιμηθεῖσι Θεοῦ, ἀναγκαῖα πίστις ἀβέβηλος καὶ συνείδησις ἀκηλίδωτος· ἡ μὲν, ὡς ἀκρόπολις ἀνανταγώνιστος, τὰς νοητὰς ἀκωκὰς τοῦ κατὰ ψυχῆς (2) συνισταμένου «τανηλεγέος (3) θανάτοιο», τῆς ἀπιστίας φημὶ, νηπίων λογιζομένη τοξεύματα, πυρὶ θείας ἀγάπης φρουρουμένη καὶ φαίνουσα, καὶ τὴν ταύτης ἑστίαν καὶ κλεινὸν ἐνδιαίτημα, τὸν ὀφθαλμὸν τῆς ψυχῆς, τηλαυγέσι μαρμαρυγαῖς καταλάμπουσα· ἡ δὲ συνείδησις, κατ-

* E codice 39, p. 165. Qua vixerit ætate Michael ille Hamartolus ignoro. Homo certe fuit literarum peritus, et qui probe vetere lingua atque eleganter sciret uti.

(1) Aristotel. De part. animal. III, c. 7. Idem H. Anim. 11, 15: καρδίαν ἅπαντ' ἔχει ὅσα αἷμα ἔχει .... καὶ ἧπαρ ἅπαντ' ἔχει ὅσαπερ αἷμα. Conf. Anonymi Introd. Anatom. c. 14, p. 22.

(2) Codex, κατὰ ψυχήν.

(3) Homericum hemistichium.

ὀχῆς χάριν καὶ πέψεως καὶ διαμονῆς ἐμφανοῦς, ἀποσκυβαλίζουσα μὲν τὰ περιττὰ τοῦ κόσμου τερπνὰ, καὶ τὴν αἱμύλα κωτίλλουσαν ἡδονὴν οἱονεί πως ἐκκρίνουσα, τὴν δὲ τῶν ἀρετῶν πιμελὴν πρὸς αὔξην πνευματικὴν κατέχουσα τῆς ψυχῆς, συντήρησίν τε καὶ διαμονήν.

Ταύτην τὴν κεχρυσωμένην τὰς πτέρυγας νοητῶς, σεπτὴν δυάδα τὴν τῆς ὑλικῆς δυάδος (1) ἀντίθετον, ὦ θεσπέσιε δέσποτα (2), ἔχεις ἐντὸς τῆς καρδίας σου, πρὸς ὕψος οὐράνιον ἀναβιβάζουσάν σου τὸν νοῦν (3), καὶ βολῶν (4) δυσειδῶν ἀμέτοχον συντηροῦσάν σε. Διὸ δὴ, τῇ ὑψοποιῷ ταπεινώσει σου συγκαταβὰς, τοὺς σμικροὺς ἡμᾶς διὰ γραφῆς προσηγόρευσας καὶ λόγων ἠξίωσας σῶν. Ἐγὼ δὲ κοιμίσας τὴν λύπην μου (5)

(1) Cordis scilicet et jecinoris.

(2) Est δέσποτα titulus episcoporum honorificus. Hodie qui compellant episcopum, δέσποτη μου, salutationis causa, dicere me docet amicus Græcus; qui vero presbyterum, δέσποτά μου.

(3) Ut fuit ille monachus poetarum studiosus, forsan meminerat loci Euripidei (Fragm. inc. 154): Χρύσεαι δή μοι πτέρυγες περὶ νώτῳ... Βάσομαί τ' ἐς αἰθέρα πολὺν ἀερθεὶς, Ζηνὶ προσμίξων.

(4) Ita codex. An βουλῶν?

(5) Κοιμίζειν λύπην dixerunt Xenophon, Philostratus, alii: vide notam ad hujus Her. pag. 597. Themistius Stobæi tit. 1, 87, oportere ait λύπην καὶ ἡδονὴν κοιμίζειν τε ἐφ' ὅσον δυνατὸν καὶ νουθετεῖν. Eadem metaphora εὕδειν κακὸν dicitur: vide Camperum ad v. 41 Euripideæ Electræ, quam nuper magna cum industria recensuit, insigne eruditionis dramaticæ monumentum: Εὕδοντ' ἂν ἐξήγειρε τὸν Ἀγαμέμνονος φόνον. — Liceat, facta editionis illius mentione, virum doctiss. ejusque lectores de errore monere, eoque non levidensi (etenim, si foret tenuis, silerem), quem circa Euripidis codices regios erravit. Editioni instituendæ quæ habuerit subsidia recensens, « codices » ait, « duo mss. in Bibliotheca » Franco-Gallorum regia, num. » 2887 et 2714, ... solos hodie de tribus Musgravio quondam excussis superstites, ... » lustrare et retractare.... mihi » permisit Gailius. » Quibus in verbis duplex est viri d. lapsus: prior quidem, quod 2887 ipsi

τῇ τῆς σῆς σοφίας γραφῇ ὡς ἐπῳδῇ τινι θειοτέρᾳ, χθή, ὥσπερ λίθον Ταντάλειον (1) τὸ ἄχθος τῆς συμ-

dictus sit codex, qui re vera 2888 dicendus fuit; nam in 2887 Electra non comparet: alter, quod unum de tribus codicibus a Musgravio usurpatis jam in Bibliotheca regia non superesse tam fidenter affirmaverit. Equidem tres illos codices, quos oculis vidi manibusque tractavi, adhuc superesse affirmo. Primus Musgravii codex, ab ipso litera α significatus, est, ipso teste, num. 2888; secundus, quem litera β signavit, est num. 2714. De tertio autem, quem notavit litera γ, sic loquutus est, idque non satis diligenter: « alium porro Electræ man. contuli, sed » mendosissimum et quem ab » homine ἀναλφαβήτῳ fere con- » scriptum diceres. » Codex ille γ idem est liber ac secundus, scilicet num. 2714. Nam in illo libro tres sunt volumen in unum compacti tomi: primus Herculem furentem, Electram (Musgravio β), et Orestem, continet; secundus, docta et eleganti Nicolai Βαρέλη manu conscriptus, Gregorii Naz. Christum patientem; tertius, Electram rursus, estque Musgravianus γ. Priorem hujus voluminis Electram non reperisse videtur C., et altera tantum est usus. Quam quum oculis plerumque properantibus, nec, ut videtur, scripturarum id genus satis adhuc peritis, legerit, sæpe evenit, ut librarii manum non assequeretur, et Musgravianas lectiones desideraret, quæ ipsi sub obtutu aderant, mendosissimumque codicem faceret etiam mendosiorem. Quod ob id animadvertere visum est, ut noverint viri critici tres superesse Musgravii libros, et superesse quoque variantium et mendorum messem in quæ suam exerceant diligentiam. Exempla subjiciam duo ex plurimis. Sic est editus v. 30: Παίδων δ' ἔδιοι μὴ φθονηθεὶη φόνῳ. Ibi editor adposuit e libro 2714 φθονηθφθφι. Tam informe monstrum non peperit calamus librarii, qui, pessime quidem, sed saltem ἑλληνικοφανῶς, scripsit φθονμεφθείη, confusis, ni fallor, φθονηθείη et μεμφθείη: nam est μεμφθείη scholium in margine prioris Electræ, quæ latuit virum d., adscriptum, quod et aliunde alii exhibuerunt. Rursus v. 120 hæc est editionis novæ nota: « liber uterque Parisinus τῶν » σχετλίων: at codex ms., Musgra- » vio γ, qui hodie a Bibliotheca » regia Franco-Gallorum exulat, τῆς σχετλίων. » Ipse ille codex Musgravii, scilicet altera Electra codicis 2714, neutiquam exulans, exhibet τῆς σχ., idque tam nitide, ut mirer virum d. non vidisse. Prior autem Electra codicis 2714, quam C. ignoravit, caret articulo, et est τῶν in codice 2888.

(1) De lapide Tantali monui ad Pind. Ol. 1, 92.

φορᾶς ἀποθέμενος, ὁ δυσαπόσπαστον εἶχον τοῦ οἰκουμενικοῦ κλύδωνος ἕνεκα καὶ τῆς ὁλοκλήρου πηρώσεως τοῦ χειστωνύμου λαοῦ, μετεσκευάσθην πρὸς τὸ φαιδρότερον, ἐνεθουσίων τῷ λογισμῷ, χαρᾶς ἐπληρούμην πολλῆς, πτέρυγας ἐζήτουν περιστερᾶς (1), ἤ τινος ἄλλου τῶν ταχυτάτων πτηνῶν, πετασθῆναι καὶ καταπαῦσαι πρὸς σὲ τὸν γλυκὺν ἄνθρωπον τοῦ Θεοῦ, ἵν' ἐκ τῆς σῆς ὁμιλίας τὸ οἰδαῖνον οἶδμα καταπαύσω τῶν συμφορῶν.

Ἀλλ' (ὢ τῆς συμφορᾶς! δικαίως εἴρηκεν ὁ εἰπὼν Ὅμηρος·

Πολλὰ (2) μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου)

διωγμὸς αὐτόθι βαρὺς εἰσκεκώμακε, κἀμὲ τῆς προθέσεως ἀνεχαίτισεν. Ὡς δ' ἀκριβέστερον ἐπυθόμην ἐκ τοῦ θεοφιλεστάτου δούλου Θεοῦ κυρίου Ἰωάννου, τοῦ τῆς Λαπίθου Γραμματικοῦ (3), καὶ αὐτὸς, ὦ δέσποτα, εἰ καὶ μὴ τοῦ πυρὸς, ἀλλ' οὖν γε τοῦ καπνοῦ μετέσχες τῶν συμφορῶν, γυμνὸς ἐκ τῶν διωκόντων φυγών. Καὶ ἐνεθυμήθην τοῦ φάσκοντος (4)·

Πᾶσίν τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδε
Ποῖ σχήσειν μέλλει, πρήγματος ἀρχομένου·
Ἀλλ' ὁ μὲν εὐδοκιμεῖν πειρώμενος, οὐ προνοήσας,

(1) Psalm. LIV, 6: καὶ εἶπα· τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς; καὶ πετασθήσομαι καὶ καταπαύσω.

(2) Non Homerus, sed poeta incertus, hujus fuit auctor versiculi, qui in proverbium abiit. Vide t. II, p. 450, n. 1.

(3) Joannes ille fuit notarius ecclesiæ vici vel urbis Lapithi. Fuit in Cypro fluvius Lapithus, e cujus regione inde sumsisse nomen oppidulum quoddam videtur. Adde Notit. Mss. t. XII, part. II, p. 6.

(4) Theognidis, scilicet, quem vide v. 585.

Εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσε,
Τῷ δὲ καλὸν ποιοῦντι θεὸς καλὰ πάντα τίθησι,
Συντυχίην ἀγαθῶν, ἔκδυσιν ἀφροσύνης.

Σὺ δ' ὑψίνους (1) ὢν, τοῦ Θεοῦ παραστάτα,
Ὅταν ἀτυχεῖν σοι συμπέσῃ τι, δέσποτα,
Εὐριπίδου μνήσθητι, καὶ ῥᾴων ἔσῃ·
« Οὐκ (2) ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ·
« Νόμιζε δ' εἶναι καὶ σὲ τῶν πολλῶν ἕνα. »

Σοφὸς γὰρ ὢν ἐπὶ σμικροῖσιν οὐ λυπηθήσῃ· τὸν γὰρ θησαυρὸν σοῦ τὸν ἀναφαίρετον οὐδεὶς ἰσχύσει συλῆσαί ποτε· οὗ μετάδος, κράτιστε, καὶ ἡμῖν διὰ τῆς σοφῆς παραιφάσεως γράμμασι καὶ αὖθις ἡμῖν συντυχών. Ποθοῦμεν γὰρ ἀκραιφνῶς σὲ, τὸν θεοτίμητον ἄνθρωπον, τὸν τὴν ἀρχιερατικὴν διπλοΐδα κοσμοῦντα τοῖς κατορθώμασιν· ἔνθεν τοι καὶ τὰ σὰ κόσμια γράμ-

(1) Descriptis Theognideis versibus, ipse poetico spiritu afflatus tres versiculos effundit, eosque non politicos.

(2) Prior versus est ex Euripidis Sthenoboea fragm. I. In altero, cujus fontem non reperio, color est antiquus. Sententiam ipsam illustratam vide t. I, pp. 69, 153, 453, ubi hunc versum, qui et Euripideus est, adduxi: Οὐκ ἔστι βίον εὑρεῖν ἄλυπον οὐδενί. Quem respexit Manuel Palæol. Præc. 55: φιλοσοφίαν ἐπιδεικνύμενός τις τῶν ποιητῶν εἴρηκε τοιάνδε γνώμην· « Οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον ἐν οὐδενί. » Πάντες μὲν οὖν συμφθέγξονται, τῆς πείρας διδασκούσης τἀληθές. Deleas ἐν ante οὐδενὶ, si versum Euripidis dignum habere velis. Potuit tamen præpositionem scribere Manuel, quam et alii exhibuerunt, hoc usi versiculo: vide t. I, p. 453, et Euripidem Matthiæ Fragm. inc. 87. Quam eruditissimam fragmentorum Euripideorum collectionem quum nuper tandem mihi percurrere contigisset, reperi p. 412 versiculos quosdam a me olim male tornatos, nec sine ironia (et poterat ineptum lusum gravius censor redarguere) notatos, quod iambicum epitrito quarto, ἐνδείκνυσι, clausissem. Proponerem rescribi ἐνδεικνύει, ni totum id tentamen prorsus omittere satius multo foret.

ματα ὑπτίαις χερσὶ δέχεσθαι (1) θέλομεν. Ἀλλ' ὑγιαίνοι, ἀλλ' εὐθυμοίη εἰς χρόνους μακραίωνας ἡ μεγίστη ἁγιωσύνη σου.

(1) Theodorus Hyrtac., quem adduxi ad Eunap., ubi hanc loquutionem illustravi pp. 245, 579; Theodorus igitur epist. 50: γράμματα... ὑπτίαις, ὃ δὴ λέγεται, χερσὶν εἰληφώς. Anastasius Sin. Hom. pag. 30 Band.: ἅπερ (τὰ γράμματα) καὶ Ἀθανάσιος ὑπτίαις χερσὶν ἄσμενος ἐδέξατο. Joannes Diac. Laudatione Jo. Palæologi 203: Ὑπτίαις ὑπεδέξατο χερσί σε, τὸ τοῦ λόγου. Manasses Chron. p. 116: Ὑπτίαις ὑποδέχονται τὸν ἄνδρα ταῖς παλάμαις. Auctor Vitæ Euthymii § 124: καλῶς δὲ αὐτοὺς ὁ πατριάρχης καὶ, ὡς ἂν εἴποις, οὐ χερσὶ μόνον ὑπτίαις, ἀλλὰ καὶ καρδίας κόλποις δεξάμενος· quem vide et § 14. Joannes Clim. p. 312: ὑπτίαις χερσὶ ψυχῆς προσδεχομένης καὶ περιπλυσσομένης ταύτην (τὴν ἀτιμίαν). Adde Isidor. Pelus. III, 302: δέδεξο τοίνυν αὐτὸν ὑπτίαις χερσίν· ubi Rittersh.

ΠΕΡΙ ΛΥΡΙΚΩΝ.*

Λυρικοὶ δέ εἰσιν οὗτοι· Ἀλκμᾶν, Στησίχορος, Ἀλκαῖος, Ἴβυκος, Ἀνακρέων, Σιμωνίδης, Πίνδαρος, Βακχυλίδης. Οὕτω δὲ προσηγορεύθησαν διὰ τὸ πρὸς λύραν ᾄδεσθαι τὰ ποιήματα αὐτῶν. Διὸ δεῖ ταῦτα παρ' αὐτοῖς (1). Μέλη δὲ τὰ ἐν αὐτοῖς, ἤτοι διὰ τὸ ἀπὸ τελείων ἀφαιρεῖσθαι μέτρων (καὶ γὰρ ἡμεῖς τὰ ἀπὸ τελείων ἀφαιρούμενα μέτρων μέλη καλοῦμεν), ἢ ἀπὸ Μέλας τοῦ (2) Ὠκεανοῦ θυγατρὸς, καθὰ Λυσανίας (3) φησὶν, ἢ παρ' ὅσον μέλιτι παραπλησίαν ἔχει τὴν ἡδονήν (4). Δύναται δὲ καὶ διὰ τὸ χροῦμα ᾠδὴ καὶ μέλος ὁμωνύμως λέγεσθαι. Καὶ κῶλα δὲ ὁμοίως, ἐπειδὴ μὴ τέλειόν ἐστι μέτρον. Τῶν δὲ ᾠδῶν αἱ μὲν εἰσι μονόστροφοι, αἱ δὲ τριαδικαί· καὶ μονόστροφοι μὲν αἱ Σαπφοῖ καὶ Ἀλκαίῳ καὶ Ἀνακρέοντι, διὰ τριῶν ἢ τεσσάρων κώλων ὡρισμένην ἔχουσαι (5) τὴν κατάστασιν, καὶ ὑπὸ περιγραφῆς διειργόμεναι· τριαδικαὶ δὲ, αἱ συνεστῶσαι ἔκ τε στροφῆς καὶ ἀντιστρόφου καὶ ἐπῳδοῦ. Στροφὴ μὲν οὖν ἐστι κώλων ποσῶν εὔρυθμος σύνθεσις, ἑτεροίας στροφῆς ἀντιστρόφου, καὶ ἐπῳδοῦ.

* E codice 2551, p. 46. Lemma addidi. Forsan est fragmentum libri quem scripserat Didymus de lyricis poetis, ad partes bis in Etymologico M. vocati.

(1) Sic codex, loco corrupto.

(2) Cod. τῶν. Puto rescribendum Μελίας. Fuit Melia Oceani filia; ejus meminit Apollodorus Biblioth. II init.

(3) Lysaniæ grammatici testimonio usus est alicubi Etymologici M. auctor.

(4) Et potuit, quæ est inter nomina μέλος et μέλι, similitudo Pindarum ad audacem tropum ducere, quo carmen missurus utitur N. III, 134: ἐγὼ τόδε τοι πέμπω μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι.

(5) Cod. ἔχουσα. Ad rem cf. Hephæstio De poem. c. 8, 1.

Κέκληται δὲ ἡ μὲν στροφὴ, καθά φησι Πτολεμαῖος ἐν τῷ περὶ στατικῆς ποιήσεως, διὰ τοὺς ᾄδοντας κύκλῳ κινεῖσθαι περὶ τὸν βωμὸν, σημαίνοντας τὴν τοῦ ἡλίου (1) κίνησιν· ἀντίστροφος δὲ παρὰ τὸ ἀναστρέφοντας αὐτοὺς εὐρύθμως κινεῖσθαι, ἄχρις ἂν ἔλθωσιν ἐπ' ἐκεῖνον τὸν τόπον ἀφ' οὗ ἤρξαντο πρῶτον κινεῖσθαι· ἠνίσσοντο δὲ διὰ τούτου τὴν τοῦ ἡλίου κίνησιν, ἐπειδὴ τὴν ἐναντίαν οὗτος δοκεῖ τῷ κόσμῳ ποιεῖσθαι (2)· ἐπῳδὸς δὲ, ἐπειδὴ ἱστάμενοι ἐπῇδον, διὰ τοῦτο τὸ ἔμμονον καὶ στερεὸν τῆς γῆς παριστῶντες.

Λύρα τοίνυν προσηγορεύθη διὰ τὸ λύθρον (3) ὑπὸ Ἑρμοῦ δεδόσθαι τῆς κλοπῆς τῶν βοῶν τοῦ Ἀπόλλωνος, καθάπερ φησὶν Εὐριπίδης ἐν Ἀντιόπῃ· « λύρα » βοῶν ῥῦσα ἐξερρύσατο (4). »

(1) Codex, βίν.

(2) Deesse videtur ὁδὸν vel πορείαν. Potest et scribi, ἐπειδὴ ταύτην ἐναντίαν... Ad rem cf. schol. Pindari init.; Triclin. ad Soph. Aj. 183; schol. Hephæst. c. 12; Mar. Victorin. apud Gaisf. ad Hephæst. p. 362; Etymol. M. in Προσῴδιον.

(3) Etymologicum M. et scholiastes Nicandri Alex. 557 similem lyræ etymologiam tradunt, sed testimonio carent Euripideo.

(4) Amphionis potuerunt esse verba lyram defendentis contra Zethum, qui dicebat: Ῥίψον σὺ τὴν λύραν· κέχρησο τοῖς ὅπλοις· vide Antiopæ fragm. 26. Pro ῥῦσα videtur fuisse scriptum a poeta ῥύσια: forsan etiam λύρᾳ. A Matthiæ doctrina illustratio exspectanda.

ΟΝΟΜΑΤΑ ΤΟΥ ΧΡΙΣΤΟΥ.*

α′ (Ἑβραϊκὰ (1) δέκα). Ἀδωναΐ. β′. Ἰα (2). γ′. Τὸ τετράγραμμα τῶν ἀνεκφωνήτων ὄν· τοῦτο δέ φασιν ἐπὶ τῷ πετάλῳ τῷ χρυσῷ ἐπὶ τοῦ μετώπου τοῦ ἀρχιερέως γεγράφθαι (3). δ′. Ἠλ (4). ε′. Ἐλωείμ. ς′. Ἀδών (5). ζ′. Σαβαώθ (6). η′. Σαδδαΐ (7). θ′. Ἰαϊέ (8). ι′. Ἐσερέ (9). ια′. Ὁ ὤν (10). ιβ′. Ἥλιος δικαιοσύνης (11).

* E codice 39, p. 164, 2. Omnia quæ sequuntur nomina non mihi sumo illustranda: non ad id satis otii habeo. Quod subito memoriæ occurret, vel circumspicienti erit ad manum, promam; nil amplius.

(1) Nomina re vera non sunt decem; certe non sunt undecim, quæ invenit vel invenisse putavit Audran. Gramm. Hebr., si bene memini. Vide Gatak. Dissert. de N. I. stylo p. 199.

(2) Hebræis יה. Vide Albert. ad Glossar. pag. 33.

(3) De nomine illo sacrosanctissimo יהוה, vide Drus. Observ. I, 1; Fuller. Miscell. Append. p. 187; Gatak. Advers. non uno loco; Buleng. Eclog. ad Arnob. c. 3, p. 62, &c. &c. — Respicitur Exod. XXVIII, 32: καὶ ποιήσεις πέταλον χρυσοῦν καθαρὸν· καὶ ἐκτυπώσεις ἐν αὐτῷ ἐκτύπωμα σφραγῖδος, Ἁγίασμα Κυρίου.

(4) Conf. supra t. III, p. 453, not. 1.

(5) Qui posuerat supra Ἀδωναὶ, omittere debuit Ἀδών. Conf. Gatak. Dissert. de N. I. stylo pag. 19 D.

(6) Non esse Σαβαώθ proprie Dei nomen ostendunt Gatak. ibid.; Drus. Observ. VIII, 21, Quæst. II, 2.

(7) Hesychius: Σαδδαΐ, ἱκανοῦ· optime ad sensum. Vide Drus. Quæst. II, 1.

(8) Videtur esse hebraicum אהיה, quod per se pro Dei nomine habetur. Græcis ὁ ὤν: vide Heins. ad Hesychianum ὁ ὤν. Buxtorf. Lexic. p. 157.

(9) Esse videtur hebraicum אשר אהיה: velimque jungi Ἰαϊὲ ἐσερέ: אהיה אשר אהיה. Vide Exod. III, 14: ἐγώ εἰμι ὁ ὤν.

(10) Apocal. I, 4: εἰρήνη ἀπὸ ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος. Epist. ad Rom. IX, 5: Χριστὸς... ὁ ὢν ἐπὶ πάντων· vide Ernest. ad Hesych. p. 218. Gregorius Naz. Orat. XXXV, p. 573, multa Christi nomina recenset, inter quæ est ὁ ὤν.

(11) Conf. p. 131, n. 2. Raci-

ιγ'. Ζωή (1). ιδ'. Φῶς (2). ιε'. Νοῦς. ις'. Λόγος (3). ιζ'. Πνεῦμα (4). ιη'. Ἀκτίς (5). ιθ'. Φωσφόρος (6). κ'. Ἄνθρωπος (7). κα'. Λέων (8). κβ'. Πάρδαλις. κγ'. Ἄρκτος. κδ'. Πέτρα (9). κε'. Λίθος (10). κς'. Ὕδωρ (11). κζ'. Πηγή (12). κη'. Σοφία (13). κθ'. Μάχαιρα (14). λ'. Ξύλον. λα'. Ἄρτος (15). λβ'. Κεφαλή (16). λγ'. Βασι-

nius inde in re ludicra : « Ce soleil d'équité qui n'est jamais terni. » Loquutionis fontem ejus commentatores ignorasse puto.

(1) Joann. XIV, 6 : ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή.

(2) Joann. 1, 9 : ἦν τὸ φῶς τὸ ἀληθινόν. Et ipse Christus de se: φῶς εἰμι τοῦ κόσμου.

(3) Tertullianus De orat init.: « Dei spiritus et Dei sermo et Dei ratio, sermo rationis et ratio sermonis et spiritus, utrumque Jesus Christus dominus noster. »

(4) Vide not. præced.

(5) Gregor. Naz. Orat. XLV, p. 720 : ὁ Σωτὴρ ὁ ἡμέτερος καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ἡ διδυμος τοῦ Πατρὸς ἀκτίς.

(6) Respectu forsan ad II Petr. I, 19 : ἕως οὗ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν. Christus in Apoc. XXII, 16: ἐγώ εἰμι..... ὁ ἀστὴρ ὁ λαμπρὸς ὁ πρωϊνός.

(7) Respectu ad incarnationem ac reliquam œconomiam, et forsan ad Pilati dictum : ἰδὲ ὁ ἄνθρωπος. Est ἄνθρωπος inter varia Christi nomina, quæ recenset Gregorius Nazianz. Orat. I, p. 39; LIX, p. 733, 4; qui et illud interpretatur ibid. et Orat. XXXV, p. 591.

(8) Est apud Gregor. Nazianz. p. 733, 4. Apocal. V, 5 : ὁ λέων ὁ ἐκ τῆς φυλῆς Ἰούδα.

(9) Apud Gregor. Naz. pp. 39; 733, 3. Respectu scilicet ad I Epist. ad Cor. X, 4 : ἡ δὲ πέτρα ἦν ὁ Χριστός.

(10) Scilicet ἀκρογωνιαῖος. Cf. t. III, p. 96, n. 1. Vocavit et Petrus I Epist. II, 4, Christum, λίθον ζῶντα.

(11) Respicit, puto, verba Christi ad Samaritanam mulierem : cf. p. 315, n. 1.

(12) Apud Gregor. Nazianz. p. 733, 3.

(13) Apud Gregor. Naz. pp. 39, 573, 590. Paulus I Epist. ad Cor. I, 30 : ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις.

(14) Gregor. Naz. Orat. XXXI, p. 498 : μάχαιρα (ἀκούεις), ὅτι τέμνει τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος.

(15) Conf. t. III, p. 92, n. 2.

(16) I Epist. ad Cor. XI, 3 : παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός

λεύς (1). λδ'. Βασιλεία οὐρανῶν (2). λε'. Κόλπος Ἀβραάμ (3). λϛ'. Θησαυρός (4). λζ'. Ζύμη (5). λη'. Κόκκος σινάπεως (6). λθ'. Ἀετός (7). μ'. Δύναμις (8). μα'. Νόμος (9). μβ'. Ὁδός (10). μγ'. Θύρα (11). μδ'. Θεμέλιος (12). με'. Οἶκος. μϛ'. Μαργαρίτης (13). μζ'. Εἰρήνη (14). μη'. Ἀλήθεια (15). μθ'. Δικαιοσύνη (16). ν'. Ἁγιασμός (17). να'. Ἀπολύτρωσις (18). νβ'. Δοῦλος (19). νγ'. Ἱλαστήριον (20). νδ'. Ποιμήν (21). νε'. Ἀμνός (22).

ἐστ. Epist. ad Ephes. I, 22: αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα ἐν τῇ ἐκκλησίᾳ. Conf. Epist. ad Coloss. I, 18; Gregor. Naz. p. 39.

(1) Conf. Gregorius Nazianz. pp. 573, 592.

(2) Ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν, ait Præcursor.

(3) Gregorius Naz. Orat. X, pag. 170: ἐν κόλποις Ἀβραάμ, οἵτινες δὴ οὗτοί εἰσιν, ἀναπαύσαιο.

(4) Apud Gregorium Naz. p. 733, 2.

(5) Respectu ad parabolam de fermento apud Matth. XIII, 33; Luc. XIII, 21.

(6) Respectu ad parabolam de grano sinapis ap. Matth. XIII, 31; Marc. IV, 31; Luc. XIII, 19.

(7) Conf. Gregorius Nazianz. p. 733, 4.

(8) Conf. Id. pp. 39, 573.

(9) Epist. ad Rom. X, 4: τέλος γὰρ νόμου Χριστός. Cf. Gregor. Naz. p. 39.

(10) Conf. p. 461, n. 1; et Gregorius Nazianz. pp. 39, 573, 592, 733.

(11) Christus ap. Joann. X, 7: ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Cf. Gregor. pp. 39, 592.

(12) I Epist. ad Cor. III, 11: θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. Conf. Gregor. p. 39.

(13) Conf. t. III, p. 96, n. 2; Gregor. Naz. pp. 39, 733.

(14) Epist. ad Ephes. II, 14: αὐτὸς γὰρ (ὁ Χριστὸς) ἐστιν ἡ εἰρήνη ἡμῶν. Conf. Gregor. pp. 39, 592, 733.

(15) Conf. p. 461, n. 1.

(16) Conf. p. 461, n. 13.

(17) Conf. ibid.

(18) Conf. ibid.

(19) Conf. p. 66, n. 3; et Gregor. p. 39.

(20) Epist. ad Rom. III, 25: ὃν (Χριστὸν) προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ αἵματι.

(21) Christus ap. Joann. X, II: ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. Conf. Gregor. Naz. p. 39, 592.

(22) Præcursor, quum Jesum videret ad se accedentem, ἴδε, ait, ὁ ἀμνὸς τοῦ Θεοῦ. Conf. Greg. Naz. ibid.

νϛ'. Ἀρχιερεύς (1). νζ'. Θῦμα (2). νη'. Πρωτότοκος Πατρὶ τῆς κτίσεως (3). νθ'. Πρωτότοκος ἐκ νεκρῶν τῆς ἀναστάσεως (4). ξ'. Δάμαλις (5). ξα'. Κριός. ξβ'. Σκότος. ξγ'. Προφήτης (6). ξδ'. Ἱλασμός (7). ξε'. Εἰκὼν (8). ξϛ'. Νυμφίος (9). ξζ'. Παντοκράτωρ (10). ξη'. Ὕψιστος. ξθ'. Ἅγιος. ο'. Ἀπόστολος (11). οα'. Ἄγγελος. οβ'. Ἄναρχος. ογ'. Ἀόρατος. οδ'. Ἀκατάληπτος. οε'. Ἀναφής. οϛ'. Ἀσχημάτιστος. οζ'. Ἀπερίληπτος. οη'. Ἀπερινόητος. οθ'. Ἀνεξιχνίαστος. π'. Ἀνενδεής (12). πα'. Ἄτρεπτος. πβ'. Ἀνεκδιήγητος. πγ'. Ἀκάματος. πδ'. Ἀπρόσιτος. πε'. Ἀπερίγραπτος. πϛ'. Ἀέναος. πζ'. Ἀμετανάστευτος. πη'. Ἀναλλοίωτος. πθ'. Ἀμετάτρεπτος. ϙ'. Ἀτελεύτητος. ϙα'. Ἀνανταγώνιστος. ϙβ'. Βιβλίον (13).

(1) Epist. ad Hebr. III. 1 : κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν, Ἰησοῦν. Cf. Greg. Naz. ibid.

(2) Conf. Gregorius Nazianz. p. 39, 592.

(3) Epist. ad Coloss. I, 15.

(4) Epist. ad. Coloss. I, 18. Conf. Gregor. Naz. p. 39.

(5) Conf. Greg. Naz. pag. 733.

(6) Joann. VI, 14 : οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης.

(7) Joann. I Epist. II, 2 : αὐτὸς (ὁ Χρ.) ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν.

(8) Epist. ad Coloss. I, 15.

(9) Respectu ad parabolam de virginibus decem sponsum exspectantibus apud Matth. XXV.

(10) Cf. Gregor. Naz. p. 573.

(11) Conf. supra n. 1.

(12) Conf. p. 239, n. 4.

(13) Respectu, puto, ad librum illum Apocalypticum.

ΕΙΣ ΠΟΡΝΑΣ.*

Γυνὴ πόρνη, τὸ μανικὸν σχῆμα. Γυνὴ πόρνη, ἡ ἐμφύλιος μάχαιρα, τὸ ἀσιδήρωτον βέλος, ὁ τῶν νέων ἰξὸς, ἡ τῆς ἐπιθυμίας ἀκόνη, τῶν παθῶν ὁ ἐξυπνισμὸς, τὸ πανδοχεῖον τῆς ἁμαρτίας, ἡ καπηλεία τοῦ σώματος, ἡ ἀνωφελὴς ἐμπορεία.

Γυνὴ πόρνη, ἡ ἐπιζήμιος πραγματεία, ἡ καὶ τῷ πωλοῦντι καὶ τῷ ἀγοράζοντι θάνατον προξενοῦσα, τὸ τῆς νεότητος δίκτυον, ἡ ἀσκέπαστος παγίς· ὀφθαλμὸς γὰρ πόρνης παγὶς ἁμαρτωλῶν· ἡ τῆς ἀκολασίας συνθήκη, ἡ τῆς ἁμαρτίας προσθήκη, ἡ ἑαυτὴν πωλοῦσα καὶ τοὺς ἀγοράζοντας δουλαγωγοῦσα.

Γυνὴ πόρνη, ἡ πολυκέφαλος λέαινα, ἡ δυσωδία τῆς πόλεως, ὁ λοιμὸς ὁ κατὰ πάσης ἕρπων αἰσθήσεως, ἡ ἐγκάρδιος πληγὴ, ὁ ἔμψυχος ᾅδης, τὸ τῶν ὀφθαλμῶν ἄγκιστρον, ὁ περιφερόμενος θάνατος, ἡ ἀγοραστὴ ζημία, ἡ ἐπιθυμητὴ ἀπώλεια, ἡ τοῦ θανάτου ὀσμή.

Γυνὴ πόρνη, ἡ πολύσηπτος γάγγραινα, ἡ ἐρημία τοῦ γένους, ὁ λοιμὸς τῶν οἰκητόρων, ἡ τυραννὶς τῶν ἀγάμων, ἡ ἀνατροπὴ τῆς σεμνότητος, ἡ τῶν ἀνδρογύνων μάχη, ἡ κακοδάπανος τράπεζα, ἡ τῶν βαλαντίων κένωσις, ἡ τῶν χρημάτων ἐκροὴ, ἡ τῶν κτημάτων ἀπώλεια, ἡ τῶν νέων κληρονόμων ληνὸς, ἣν οἱ ληνοβατοῦντες καὶ πατοῦντες τὴν ἑαυτῶν αἰσχύνην ὠρχήσαντο.

* E codice 39, p. 148. Lemma addidi. Similes monachi nescio cujus de muliere hyperbolas protuli ad Planudis Metam. p. 314. Potest conferri Nilus De octo vitiis c. 2, περὶ πορνείας.

Γυνὴ πόρνη ἐν τῇ πόλει, ἡ κάμινος τῶν ὀρέξεων, ὁ λέβης τῶν αἱμάτων, τὸ φίλτρον τῶν σωμάτων τῶν πονηρῶν· ἡ σαγήνη ἡ ὀλέθριος, τὸ ἀναιδὲς θηρίον, ἡ ἀκράτητος ὀργὴ, ἡ ἀχαλίνωτος μανία ὁ ἀντίκοτος (1) θάνατος, ὁ σκελισμὸς τῆς σωφροσύνης, φυτὸν πικρίας, ἄκαρπος κῆπος, ἀτιμίας βόθρος, βορβόρου καὶ (2) ῥυπαρίας οἰκητήριον, λιμὴν ἅλμης, ἀναιδὴς τάρταρος, ὄμβρος ἀκρασίας, σκότους ὁδηγὸς, ἐπιθυμητὸς θάνατος, φιλαμαρτήμων οἶκος, κιβωτὸς ἀνομίας, ἀσελγείας χορηγὸς, καθημερινὴ ἀπώλεια, γλυκὺς

(1) Forsan ἀλλόκοτος, vel ἀντίδοτος. Erit ἀντίδοτος θάνατος « mors » acceptis ab amatore muneribus » vicissim data ac repensa. » Alter monachus p. 315: ἀντίδοτος θανασίμη, « potio letifera ». Sed quid circa emendandum ignorabilem monachum satago, quum magnus Sophocles, quem modo de manibus deposui, operis exspectantibus aliquid scriptiunculæ suppeditaturus, aurem vellat et admoneat ut sui potius curam habeam. Est enim locus valde vexatus in Antigona, quem mihi intelligere et emendare posse videor. In pulcra illa scena prima, quam nobilis orditur versus, Ὦ κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα (quem miror a nullo fuisse interpretum, quos noverim, cum Æschyleo collatum, Sophoclei fonte, Eum. 99: Σὺ δ' αὐτάδελφον αἷμα καὶ κοινοῦ πατρός); in ea scena igitur Ἐτεοκλέα μὲν, de Creonte ait Antigona v. 23, ὡς λέγουσι, σὺν δίκῃ Χρησθεὶς δικαίᾳ καὶ νόμῳ, κατὰ χθονὸς Ἔκρυψε, τοῖς ἔνερθεν ἔντιμον νεκροῖς. Jam Hermannus, interpretatione usus Tricliniana, ostendit non χρησθεὶς esse medio sensu capiendum pro χρησάμενος, sed pro passivo, præclareque addidit non esse ab χράω cum Triclinio derivandum, sed ab χρήζω, scripsitque χρησθείς. Attamen adhuc superest quod displiceat in epitheto, σὺν δίκῃ δικαίᾳ. Codex 2886 lectionem exhibet, in qua nihil jam offendet, χρησθεὶς δίκαια. Interpungendum: Ἐτεοκλέα μὲν, ὡς λέγουσι, σὺν δίκῃ, Χρησθεὶς δίκαια, καὶ νόμῳ κατὰ χθονὸς Ἔκρυψε· « Eteoclem » quidem, ut aiunt, Creon, ab » ipso justam postulatus postulationem, jure ac lege sub terra » condidit. »

(2) Inserui καί. Sed puto nominativum deesse, cum βορβόρου jungendum; forsan βορβόρου λάκκος: quo me ducit alter misogynus, cui dicta est mulier βορβορώδης λάκκος.

ὄλεθρος, μάστιξ ἀνεξάλειπτος, πλησμονὴ μανίας, ἀῤῥωστία διηνεκὴς, ἀλόγιστος πραγματεία, ζιζανίων σπόρος, γήϊνον ναυάγιον, πηγὴ ἀπωλείας, φρέαρ ἀφροσύνης, θανατηφόρος συντυχία, μανίας ἀπόλαυσις, καρδίας λόγχη, ἰοβόλον ξίφος, ἁγνείας ἐμποδισμὸς, κρίσις ἔμπυρος, κτῆμα ἀσεβείας, ὁδὸς ᾅδου (1), μάγγανον γυμνότητος (2).

(1) Conf. Proverb. VII, 27.

(2) Potest conferri Secundus Pythag. p. 636, cujus de muliere sententias apponam ex recensione ampliore codicis 2991 A: Τί γυνή; Ἀνδρὸς παραμυθία, συνεγειρομένη μέριμνα, συμπεπλεγμένη ἀσέλγεια, ἱματισμένη ἔχιδνα, αὐθαίρετος μάχη, καθημερινὴ λέσχη, οἴκου ζάλη, ἀμεριμνίας ἐμπόδιον, ἐπιβουλευόμενον πρᾶγμα, οἰκίας εἶδος (forsan ὄνειδος), εὐτυχίας ἐμπόδιον, ἀνδρὸς ἀκαρποῦς ναυάγιον (forsan ἀκρατοῦς ν.: Latina Secundi p. 340: « viri incontinentis naufragium »), μοιχῶν κατασκευὴ, βίου ἅλωσις, ζωὴ πονηρὰ, συνδιαιτωμένη λέαινα, συγκαθημένη Σκύλλα, ζῶον πονηρὸν, ἀγαπητὸν μίσημα, συμφορὰ αἱρετὴ, ἀναγκαῖον κακόν.

ΑΝΤΩΝΙΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ

ΕΠΙΣΤΟΛΗ.*

ΑΝΤΩΝΙΝΟΣ ΑΥΤΟΚΡΑΤΩΡ ΣΕΒΑΣΤΟΣ

ΕΥΞΙΑΝΩ͂ ΠΟΜΠΛΙΟΝΙ ΧΑΙΡΕΙΝ.

Ἐγὼ εἰς πεῖραν τῆς σῆς ἀγχινοίας ἔργοις αὐτοῖς καταστὰς, καὶ μάλιστα οἷς ἐναγχος προστάξει τοῦ ἡμετέρου κράτους διέπραξας (1) κατὰ τὴν Σμύρναν, ἐπικουφίσας Σμυρναίοις τὴν ἐκ τοῦ κλόνου τῆς γῆς ἐπιγενομένην αὐτοῖς συμφορὰν, ἥσθην τε (2), ὥσπερ εἰκὸς, καί σε τῆς τῶν πραγμάτων ἐπιμελείας ἐπήνεσα. Ἔμαθον (3) γὰρ ἅπαντα μετὰ ἀκριβείας ὡσπερανεὶ

* E cod. 2720, p. 225, 2. De hac M. Antonini Epistola vide Bibl. Gr. t. v, p. 507; unde didici extare et in Vita S. Abercii. Et revera eam reperi in Abercii Vita codicis Coisliniani 145, p. 194, 2. « Fictam probabiliter » spuriamque » esse Fabricius ait, et ipse cum Fabricio facio. — Coisl. Εὐξεινιανῷ ποπλίω. Fabricius e Surio, puto: « ad Euxi- » nianum Pomplionem. »

(1) Coisl. διαπράξω. Reg. διέπραξα.

(2) Id verbum vitiatum fuit a librariis apud Joseph. De Maccab. 8, p. 507: οὓς ἰδὼν ὁ τύραννος καθάπερ ἐν χορῷ μέσην τὴν μητέρα περιέχοντας, ἥσθετο ἐπ' αὐτοῖς· scrib. ἥσθη τε ἐπ' α., ut est in cod. 3010. Contraria ratione tractandus videtur Ephippus Athenæi XIII, 29, de meretrice amatorem ad se ingredientem, si forte subtristior sit, molliter et amice suaviterque excipiente: ᾖσε, παρεμυθήσατο, Ἐποίησε δ' ἱλαρόν. Malim vetus ᾖσε, « cantat ». Fit sola spiritus mutatio. Sic in Antigona v. 56, quum suspectum αὐτοκτινοῦντε in αὐτοκτονοῦντε feliciter mutasset vir egregius, ejus vestigiis Hermannus insistens, tenuata tantum spiritus asperitate, tragici manum nobis restituit. De quo ne quis dubitet, monebo esse αὐτοκτονοῦντε nitidissime scriptum in codice 2886.

(3) In Coisl., inter ἐπ. et ἔμ., est lacuna versuum quatuor et amplius.

παρών. Ἥ τε γὰρ παρὰ σοῦ πεμφθεῖσα ἀναφορὰ, ὅ τε ἀποδιδοὺς ταύτην Καικίλιος ὁ ἐπίτροπος ἡμῶν (1), ἅπαντά μοι σαφῶς διηγήσατο. Ἐπὶ δὲ τοῦ παρόντος γνωσθὲν τῷ ἡμετέρῳ κράτει Ἀβέρκιόν τινα τῆς Ἱεραπολιτῶν ἐπίσκοπον παρὰ σοὶ (2) διατρίβειν, ἄνδρα εὐσεβῆ οὕτω τὰ τῶν χριστιανῶν, ὡς δαιμονῶντάς τε ἰᾶσθαι καὶ νόσους ἄλλας εὐκολώτατα (3) θεραπεύειν, τοῦτον, κατὰ τὸ ἀναγκαῖον ἡμεῖς χρήζοντες (4), Οὐαλέριον καὶ Βασιανὸν, Μαγιστριανοὺς τῶν θείων ἡμῶν ὀφφικίων, ἐπέμψαμεν τὸν ἄνδρα μετ' αἰδοῦς (5) καὶ τιμῆς ἁπάσης ὡς ἡμᾶς ἀγαγεῖν. Κελεύομεν οὖν τῇ σῇ στεῤῥότητι πεῖσαι τὸν ἄνδρα σὺν προθυμίᾳ πάσῃ πρὸς ἡμᾶς ἀφικέσθαι, εὖ εἰδότι ὡς οὐ μέτριός σοι (6) κείσεται παρ' ἡμῖν καὶ ὑπὲρ τούτου ὁ ἔπαινος. Ἔῤῥωσο.

(1) Reg. ὑμῶν. Mox Coislin. sine μοι.

(2) Coisl. παρὰ σοῦ.

(3) Reg. εὐκολότατα. Menda, quæ circa illas desinentias sæpius fiunt, sæpius attigi, et rursus attingam. Lucianus D. D. v, 3: οὐκέτι μέμψῃ μοι προτιμότερον τοῦ νέκταρος οἰομένῳ φίλημα εἶναι. Wyttenbach., Epist. crit. p. 55, προτιμότερον proposuit, quem lapsum calami vel typorum errorem Schæferus in editione Epistolæ a se curata remanere non est passus. Quod quidem, etsi factum recte ac diligenter, non memoratu dignum habuissem, ni inde monendi oriretur occasio esse προτιμώτερον scriptum in cod. 1310.

(4) « Filiæ suæ Lucillæ a cacodæmone liberandæ causa. » FABRICIUS.

(5) Reg. μετὰ αἰδοῦς.

(6) Reg. μετρίοις σοι.

ΑΜΙΝΙΑΝΟΥ

ΤΙΝΟΣ ΕΝΕΚΕΝ ΟΙ ΘΕΟΙ ΤΗΝ ΣΤΥΓΑ ΟΜΝΥΟΥΣΙΝ.*

Τὴν στύγα ὀμνύουσιν οἱ θεοὶ δι' αἰτίαν τοιαύτην· ὅτι ἡ θυγάτηρ αὐτῆς, ἣ καλεῖται Νίκη (1), βεβοήθηκε πάλαι τοῖς θεοῖς, ὅταν οἱ Γίγαντες αὐτοὺς διαῤῥαῖσαι ἐβούλοντο, καὶ ἀντ' εὐεργεσίας ὁ Ζεὺς τὴν αὐτῆς μητέρα ἐκέλευσεν ὀμνύειν (2)· ἢ ὅτι τὰ πάντα ἐξ ὑδάτων ἐγένετο καὶ τὸ ὕδωρ μήτηρ πάντων, οἱ ποιηταὶ δὲ τὴν Στύγα μητέρα τῶν θεῶν (3) καλοῦσιν, ὡς καὶ ὁ Ἀριστοτέλης (4). Ἢ ὅτι τοὺς ὑπερερεισμένους (5) θεοὺς ἐκεῖ ἔπεμπον· διὸ καὶ πάντες τρέμουσιν αὐτὴν ὀμνύμενοι· ὅτι καὶ τὰ φοβερὰ καὶ στυγερὰ διὰ βεβαίωσιν τοῦ ὅρκου οἱ ἄνθρωποι ὀμνύειν εἰώθασιν. Ἢ ὅτι κατὰ ἐτυμολογίαν, στυγῶ γὰρ τὸ μισῶ δηλοῖ, καὶ τὸ μισητὸν ὤμνυον (6) ὡς ἐναντίον τῆς θεότη-

* E codice 2929, p. 108.

(1) Stygis et Oceani filia Νίκη memoratur ab Hesiodo Theogon. 384.

(2) Vide narrationem Hesiodi Th. 397-400; coll. Apollodoro Bibl. I, 2, 5; Servio ad Æn. VI, 324.

(3) Codex, θεῶ. Libanius t. IV, p. 409: ἄνθρωπος δὲ τὴν χεῖρα οὐ καθαρὸς ἱερῶν εἴργεται νόμων. Proposuit Reiskius νόμῳ, quod reperi in cod. 3017. Isaacius Porphyr. De præterm. p. 280: Ἑλένην ἀπανθρώπως καθήρπασε καὶ εἰς Τροίαν πλόων μετήγαγε. Codex 817, πλόω: forsan lege πλόῳ, vel πλῷ, vel πλοίῳ.

(4) Aristotelici loci, qui huc faciat, non memini. Quærent alii, si libuerit. Mihi subrepit nescio quid tædii.

(5) Codex, ὑπερερημένους.

(6) Codex, ὄμνυον. Julianus Misop. p. 341: καὶ ταῦτα ἔχων... Sed agitur de δωματίῳ: ergo ἔχον scribendum; ut pag. 340, παρέχων, pro παρέχον, scilicet πο-

τος (1), ὡς ἂν τις εἴποι, « γενοίμην στυγερὸς, εἰ μὴ » ποιήσω »· τούτου χάριν καὶ οἱ ποιηταὶ ὅρκον τῶν θεῶν τὴν στύγα λέγουσιν.

ταμιός. Id possim codice firmare, sed non est tanti.

(1) Servius in Æn. VI, 134: « ratio autem hæc est: styx mœ- » rorem significat; unde ἀπὸ τοῦ » στυγεροῦ, id est a tristitia, Styx » dicta est. Dii autem læti sunt » semper, unde etiam immorta- » les... Hi ergo, quia mœrorem » non sentiunt, jurant per rem » suæ naturæ contrariam, id est, » tristitiam, quæ est æternitati » contraria. Ideo jusjurandum » per exsecrationem habent. » Quem vide et ad ejusdem libri vers. 324.

ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΑΓΙΩΝ ΕΙΚΟΝΩΝ

ΠΡΟΣΚΥΝΗΣΕΩΣ.*

Οὐδὲν ἀναπόδεικτον ἢ ἔκφυλον ἔχει ὁ χριστιανισμός. Καὶ αὐτὴ γὰρ ἡ τῶν ἁγίων εἰκόνων χρῆσις ἐκ παραδόσεώς ἐστι παλαιᾶς, καὶ ἔχομεν ὑποδείγματα πιστὰ συνηγοροῦντα τῇ τῶν εἰκόνων ἀποδείξει· πρῶτον μὲν τὴν Αὐγάρῳ τῷ τοπάρχῳ πεμφθεῖσαν (1) ἐν ῥάκει σεβασμίαν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐκμαγεῖον οὖσαν τοῦ σωματικοῦ αὐτοῦ χαρακτῆρος, καὶ μηδὲν ἀποδέουσαν τῆς ἐκ τῶν χρωμάτων γραφῆς· δεύτερον δὲ, τὴν τῆς ἀσπόρως τεκούσης τοῦτον Μαρίας, ἐν Λύδδῃ (2), τῇ καλουμένῃ Διοσπόλει, ἀχειρόγραφον εἰκόνα, ἐν πλαξὶ πάνυ καθαραῖς τὸ σκῆνος τῆς Θεοτόκου τρίπηχυ παραδηλοῦσαν, ἀπὸ τῶν χρόνων τῶν Ἀποστόλων καὶ μέχρι τοῦ νῦν προσκυνουμένην ἐν τῷ παρ᾽ αὐτῶν κτισθέντι εἰλητῷ (3) ναῷ πρὸς δυσμὰς, οὕτω κυρίως ἐγγεγραμμένην ὡς ἀπὸ χειρὸς ζωγράφου, τήν τε πορφύραν φημὶ καὶ τὸν

* E codice 1630, p. 124, 1.

(1) Petatur plenior de Abgaro et ad eum missa Christi imagine narratio ex Eusebio H. E. 1, 13; Evagrio IV, 27; Constantini Porphyrog. libro peculiari de imagine Edessena; Joannis Damasc., quæ fertur, Epistola ad Theophanem, &c.

(2) Cod. λύδη et sic infra. — De imagine Mariæ Lyddensi conf. narrationem Joannis Damasceni Epistola modo laudata pag. 115.

(3) Codex sic, quod non prorsus intelligo. Joannes Damasc. ibid.: Πέτρος καὶ Ἰωάννης, ἐν Λύδδῃ τῇ καλουμένῃ Διοσπόλει, περὶ μιλίων δεκαοκτὼ τῆς Ἱερουσαλὴμ, τὰς διατριβὰς ποιούμενοι, εὐκτήριον οἶκον ἐπ᾽ ὀνόματι τῆς μητρὸς τοῦ Κυρίου καὶ θεομήτορος οἰκοδομήσαντες...

στολισμὸν, τὰς χεῖρας καὶ τὸ πρόσωπον καὶ πᾶσαν τὴν γραφὴν τῆς ὄψεως· ὡς μέχρι καὶ νῦν ὁρᾶσθαι ταῦτα σωζόμενα. Λέγουσι γὰρ Ἰουλιανὸν, τὸν παραβάτην ἐκεῖνον καὶ μισόχριστον, μαθόντα τὰ περὶ τῆς εἰκόνος ταύτης, δοκιμάσαι τὰ κατ᾽ αὐτὴν, ζωγράφους Ἑβραίους ἐκπέμψαντα, καὶ, πιστωθέντα τὸ ἀληθὲς, θαυμάσαι μὲν ἐπὶ τούτῳ, μηδὲν δὲ ἄλως τι διαπράξασθαι (1).

Φασὶ τοίνυν τὸν ναὸν τοῦτον, ἐν σαρκὶ ἔτι περιούσης τῆς Θεοτόκου, κτισθῆναι· ἀνελθόντας δὲ τοὺς Ἀποστόλους ἐπὶ τὴν Σιὼν (ἐν ταύτῃ γὰρ ᾤκει), διαλεχθῆναι πρὸς αὐτήν· « Ποῦ ἦσθα, Κυρία; ἐδειμάμεθα » γάρ σοι (2) οἶκον ἐν Λύδδῃ »· τὴν δὲ ἀποκριθεῖσαν εἰπεῖν πρὸς αὐτούς »· Κἀγὼ ἐκεῖσε μεθ᾽ ὑμῶν ἤμην » καὶ νῦν εἰμί· » καὶ ἅμα τῷ λόγῳ καταβάντας αὐτοὺς εἰς Λύδδην περινοστῆσαι τὸν ναὸν, καὶ εὑρεῖν οὕτως, ὡς αὐτὴ κυρίως εἶπεν, ὅλην αὐτὴν ἐντετυπωμένην κατὰ τὴν αὐτῆς ἰδέαν, ὡς ἀρχαῖος ἄνωθεν καὶ ἄχρι τῆς δεῦρο παρὰ τοῖς ἐγχωρίοις κεκράτηκε λόγος.

Τρίτον ὑπόδειγμα. Λουκᾶν τὸν Ἀπόστολον καὶ εὐαγγελιστὴν ἅπαντες οἱ τότε εἰρήκασιν οἰκείαις ζωγραφῆσαι χερσὶν αὐτόν τε τὸν σαρκωθέντα Χριστὸν, καὶ τὴν αὐτοῦ ἄχραντον μητέρα, καὶ τούτων τὰς εἰκόνας ἔχειν τὴν Ῥώμην εἰς οἰκείαν εὔκλειαν (3). Καὶ ἐν

(1) Locus est ea de re in Joannis Damasc. Epist. p. 115, edit. Combefisianæ qua utor, non parum vitiatus, quem nunc non attingam.

(2) Codex, ἰδημάμεθα σ.

(3) Virginis a Luca imaginem fuisse penicillo depictam tradit Joannes Dam. ib. p. 114. Quam Mariæ matris una cum puero Jesu effigiem a Luca coloribus expressam Romæ exhiberi didici e Vavassoris libro de forma Christi p. 198; qui quidem de ea an genuina sit dubitare videtur, quod in illo, ut patre Je-

Ἱεροσολύμοις δὲ ἐπ' ἀκριβείας κεῖσθαι ταύτας φασίν. Ἀλλὰ καὶ ὁ Ἰουδαῖος Ἰώσηπος (1) τὸν αὐτὸν τρόπον ἱστορεῖ ὁραθῆναι τὸν Κύριον, σύνοφρυν, εὐόφθαλμον, μακροπρόσωπον, ἐπίκυφον, εὐήλικα, ὁποῖος δηλονότι συναναστρεφόμενος τοῖς ἀνθρώποις ἐφαίνετο, ὁμοίως καὶ τὸν τῆς Θεοτόκου σχηματισμὸν καθ' ὃν νῦν ὁρᾶται, ἣν καὶ Ῥωμαίαν ἀποκαλοῦσί τινες.

suita, admiror multum et laudo.

(1) Non Josephum laudat, sed τοὺς παλαιοὺς ἱστορικοὺς, Joannes Damasc. d. l., ubi plurima graphica epitheta cumulantur. Ceterum, si quis volet in hoc argumento plus nimio operæ ponere, sibi quærat Cypriani Programma, et Th. Lewisii anglice scriptum libellum, de quo vid. Biblioth. Britann. t. VII, p. 193; inprimis Joh. Reiskii Exercitationes, de quibus retulit Baylius in Novellis Reip. liter. a. 1685.

ADDENDA ET CORRIGENDA.

Pag. 1, 5. Formulam, καθὼς γέγραπται, qua aliquoties utitur auctor, debuit forsan Paulo, apud quem sæpicule legitur: conf. Epist. ad Rom. VIII, 36; IX, 33; I ad Cor. I, 31.

Pag. 3, n. 1. Vide Præloq. p. IX.

Pag. 4, n. 2. De οἰκονομίᾳ adde Baluz. ad Lupum p. 474; Zimmerm. Analect. p. 10, 14; &c.

Pag. 5, 11. Joannes Antioch. in Monum. Cotel. t. I, p. 164: ἐκ τῆς Αἰγύπτου μάλιστα τοῦ ἀγαθοῦ τούτου (monasteriorum institutionis) ἀπαρξαμένου καὶ πανταχοῦ τῆς οἰκουμένης διαδοθέντος, καθὼς φησιν ὁ μέγας Ἀθανάσιος.

Pag. 9, n. 1. Proverbium πάντα κινεῖν λίθον habet Julianus Epist. 52, ubi vid. Heyler. p. 409. Cui epistolæ obiter prodero. Exhibet editio p. 100: ἔδοξεν οὖν μοι πᾶσι τοῖς δήμοις προαγορεῦσαι διὰ τοῦδε διατάγματος. Codex 2964: δ. τοῦδε τοῦ διατ., melius. — 13. C, πεπαλαιπωρημένον τῇ σκληρᾷ. Prætuli merito πεπαριχευμένον, quanto vividius et magis graphicum. Nilus Epist. I, p. 3: τῷ γὰρ νοητῷ ἐλαίῳ τοῦ κρείττονος παιδευθῆναι ὁ ἀγωνιστὴς ἄνθρωπος, ὁ τὸ πρὶν καταπονηθεὶς καὶ πεπαριχευμένος τῇ ἐνοχλήσει τῆς πολυπαθείας. Ad quod Possinus offendens, autumat fuisse a Nilo scriptum πετρυχωμένος. Sed ipsum quæ præcedit ἐλαίου metaphora retinere poterat. Nilus Epist. 46: μετὰ τὸ ἄγαν ξηρανθῆναι τὸ σῶμα τῇ νηστείᾳ. Potuisset et hic Nilus scribere, πεπαριχεῦσθαι. — N. 2. Displicuit ἐκλεξάμενον ob pravum toni locum. Symeon Sethi Ichnel. p. 362: Νοῦς ἐν μερίμναις σῆς βιβρώσκων ὀστέα. Repono: σὴς βιβρώσκων ὀστέα.

Pag. 12, 19. Scrib. καθά που. C, καθάπερ. Sic p. 340, 23, pro καθά που καὶ περὶ, C, καθάπερ περί.

Pag. 16, n. 1. Theophilus Alex. Homilia « Cujus rei homo » similis », p. 14: ὅλως γὰρ ὁ κόσμος ἐν τῷ πονηρῷ κεῖται. Consentit in ὅλως codex 1013.

Pag. 18, 11. AC (nihil ex B enotavi), εὐμορφώτατος. Sic p. 273, 8, A C, εὐμορφωτάτη. Error olim idem in ea voce apud Achillem Tat. exstitit: vide Jacobs. p. 836.

Pag. 21, n. 2. De οὕτω συμβὰν adde not. ad Aristæn. p. 736.

Pag. 22, 10. Glossator in A adscripsit στίχος. Verba scilicet, ἄνθρ... ῥημάτων, versum efficiunt politicum dodecasyllabum. Vide p. 363, n. 3.

Pag. 24, 1. Conf. p. 187, n. 1.

Pag. 27, 7. Conf. p. 297, n. 4.

Pag. 31, n. 1. Symeon Sethi de Ichnel. p. 206: μιᾷ τῶν ἡμερῶν. Et sic pp. 316, 382. Inde velim, pro μιᾶς τῶν ἡμερῶν, quod legitur p. 104, reponere μιᾷ τ. ἡ. Nec aliter p. 278, μιᾷ δὲ τῶν

νυκτῶν. Andreopulus de Syntipa p. 75 : ἐν μιᾷ τῶν ἡμερῶν. et p. 74 : μιᾷ γοῦν τῶν ἡμερῶν. Quæ duo loca profero, non tam propter ipsa, quam monendi causa narrationem de columbis, cui insunt, esse conferendam cum simili Symeonis Sethi fabula ibid. p. 362.

Pag. 32, 16. Cf. p. 391, n. 1.

Pag. 33, 21. Ad verba τοῦτο φρόκειται est glossa in A : ἤτ' τὸ γινώσκειν. Est prima vox legenda ἤτοι. Notum adverbiis ἤγουν, ἤτοι, εἴπουν, uti grammaticos explicationis causa. Qui nuper allegavit alicubi Eustathii verba, τὰ λάφυρα εἴπουν σκῦλα, vir d. adscripsit : « corr. ἤγουν. » Nil corrigat. Frequentissimus est conjunctionis εἴπουν usus apud scholiastas. Vide Bast. in Epp. Pariss. p. 56.

Pag. 38, n. 1. De formula εἰρήνην δοῦναι adde Tollium Insign. itin. p. 169; Valcken. Schol. in N. T. t. II, p. 17.

Pag. 40, 2. Conf. p. 346, n. 3.

Pag. 46, 1. Recitatur hæc sententia, nec sine varietate, a Michaele Glyca Epist. 2, p. 110 : ὁ Θεσπέσιος Βαρλαὰμ οὕτω πρὸς Ἰωάσαφ ἔλεγε· « τὸν [ἄνθρωπον] ἀπ' ἀρχῆς αὐτεξουσιότητι καὶ ἀθανασίᾳ » τιμήσας βασιλέα πάντων τῶν ἐπιγείων κατέστησεν. » Conf. ibid. p. 127. — 5. Cyrillus Catech. p. 6 : ἀγαθὸς κατασκευασθεὶς Διάβολος γέγονεν ἐξ οἰκείας προαιρέσεως, ἐκ τῆς πράξεως λαβὼν προσηγορίαν.... — N. 2. Est ἄρα τῆς et in cod. 400.

Pag. 47, 10. Pseudo-Abdias VII, 6 : « Angelus, qui ex se con» cepit invidiam, per potentiam angelicam serpentem ingressus. » —N. 1. Pro δ' ἀλλ' est Εὔαν in cod. 400; quod est facilius quidem, sed non melius.

Pag. 48, n. 2. Scrib. potius πῶς.

Pag. 53, n. 2. De junctis σημείοις καὶ τέρασι vide Albert. ad Glossar. pag. 115.

Pag. 56, col. 2. Est ἐνδιαιτᾶσθαι in Libanii codice 3017.

Pag. 63, n. 6. Conf. p. 229, n. 6.

Pag. 65, n. 5. Nilus Epist. 130 : ἀναγκαῖον εἰδέναι ὅτι μέλλεις βήματι παρίστασθαι φοβερῷ, ἔνθα οὐδεὶς διαφανεῖται ἐπικουρῶν σοι ἢ ἐξελέσθαι δυνάμενος τῆς χειρὸς τοῦ δικάζοντος· ἔνθα δεινότης καὶ εὐστροφία λόγων καὶ γλώσσης οὐδὲν παντελῶς ἰσχύσαι δυνήσεται.....

Pag. 76, n. 4. Est et apud Isai. x, 16, φλογὸς καιομένης.

Pag. 91, 11. Theophilus Alex. Homil. « Cujus rei homo si» milis », p. 3 : ἐάν τίς σε ἀγκαρεύσει μίλιον ἕν, ὕπαγε δύο. Cod. 1013, ἀγκαρεύσει. Reponam ἀγγαρεύῃ vel ἀγγαρεύσῃ. De scriptura γκ pro γγ, egi ad Planudis Metam.

Pag. 93, n. 1. De formula οἶδ' ὅτι monui et ad Soph. Antigonam v. 276. Quam fabulam quum prælegerem, ex simili parenthesi interpretabar salebrosum initium, Schæferum sequutus Melet. p. 92 : (Ἆρ' οἶσθ' ὅτι ;) Ζεὺς τῶν ἀπ' Οἰδίπου κακῶν...

Pag. 94, 9. Cf. p. 141, n. 1.

Pag. 98, n. 4. « Infra », scilicet p. 174, n. 2.

Pag. 101, 10. Epist. ad Rom. VIII, 17 : κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ.

Pag. 112, 22. Forsan ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς. P. 106, 17: C, ψαλμοῖς καὶ ὕμνοις ὁμοθυμαδὸν τῷ κυρίῳ ᾄδοντες.

Pag. 122, 10. Symeon Sethi Ichnel. p. 226 : ἐδιωκόμην μέχρι τοῦ νῦν παρὰ τῶν θηρευτῶν, τόπον ἐκ τόπου ἀμείβουσα.

Pag. 123, n. 6. Locus non integer est. Trapezuntiana versio nihil præsidii exhibet, ad codicem, ut videtur, instituta non bonum. Sed Billyus pleniorem habuit, sicque vertit : « . . . . les chaussant à la préparation de l'évangile de paix : et partant je me suis » estimé misérable à cause de mon erreur précédent et lourde dé- » ception, et me suis mis à prendre cette voye, laquelle à bon » droict j'ai preposée à toutes choses. . . . » Equidem codices 904, 905, 907, 908, 1126, 1132 inspexi, quum hic locus prælo submittendus fuit, animumque verborum incohærentium hiatus advertit, sed meis AC consentientes esse reperi; nisi quod in nonnullis pro πάντων esset πάντως. Bonum est πάντων : p. 153, 16, πάντων προκρίνων.

Pag. 125, n. 7. Est et κυναγία in cod. Sophocleo 2884.

Pag. 127, n. 4. Est σκιὰ θανάτου loquutio biblica, eaque frequens. Vide pp. 187, n. 2; 218, n. 2; t. II, p. 115, n. 2; Psalm. CVI, 10.

Pag. 131, 16. Monet opportune Jac. Billyus in Allatii ad Joannem Damasc. Prolegomenis § 44, totum hunc de libertate arbitrii locum esse ad verbum transcriptum ex Damasceni libris De orthodoxa fide. — 19. In loco obscuro exhibebo varietatem cod. C : καὶ αὖθις αὐτεξ· ἐστὶ γοῦν ἡ τῆς κίνησις ψυχῆς αὐτοκράτης. Mox omittit ἡ βούλευσις ὀρεκτικὴ τῶν ἐφ' ἡμῖν.

Pag. 132, 8. A, οὐδεὶς γὰρ προαιρ. — 9. C, sine γάρ.

Pag. 136, n. 1. Moneor a viro doctiss. Reiskianæ, qua usus sum, observationi de πνευματοσυμβόλῳ posse contradici.

Pag. 155, 17. De μυηθεὶς vide p. 266, n. 1. Cf. et p. 363, 14.

Pag. 156, 3. C, διακονίαν μου πεπλήρωκα : conf. pp. 330, 6; 355, 17. Dixit p. 177, 20, διακονίαν πέπληκα.

Pag. 157, n. 1. Adde Pantin. de σφραγῖδι, seu baptismo, ad Basil. Seleuc. p. 383.

Pag. 160, 12. Conf. p. 287, n. 3.

Pag. 186, n. 1. « Infra », scilicet p. 217, n. 1. Ignis inferni sine claritate πῦρ φωτὸς δίχα dictus est ab auctore versuum nonnullorum, quos, quum ineditos esse putem, describam e codice 1630, p. 137, 2. Πέπονθα δεινά, πλὴν δίκαια, Χριστέ μου· Πέπονθα

δεινά, πλὴν ἐμῶν ἥτ]ω κακῶν. Οὐκ ἔστι ποινὴ σφαλμάτων ἐμῶν ἴση. Δαίμων, νόσος, μάχαιρα, πῦρ, λύμη, σκότος, Μάστιγες, ὕβρεις, λιμὸς, ἐμπαιγμὸς, γέλως, Τὰ φρικτὰ πάντα τῆς ἐκεῖθεν ἡμέρας Αἰωνίως μένοντα, πῦρ φωτὸς δίχα, Σκότος φλογίζον, τάρταρος, σκώληξ, πόνοι, Ἅπαντα ταῦτα τῶν ἐμῶν ἥτ]ω κακῶν. Στήλη γεγράφθω ταῦτα μέχρι καὶ πέλυς. Βοῶσα (puto excidisse versum de tuba. Posset quidem βοῶσα de σ]ήλη intelligi ; sed sequens σαλπίσει durius cum σ]ήλη jungeretur) μακρὰ πᾶσι μέχρι περμάτων, Κἂν πᾶν παρέλθῃ τοῦτο (cod. παρέλθοι. Est πᾶν τοῦτο mundus hic universus), ταῦτα σαλπίσει, Καὶ τοῖς ἐκεῖθεν πᾶσιν, ὡς πᾶσιν μόνος Νικῶ κακοῖς ἅπαντα, πλὴν σοῦ, Χριστέ μου. Μόνον με νικᾷ σὸν πέλαγος θαυμάτων, Εὐσπλαγχνίας ἄβυσσος ἡ μετρουμένη, Οἴκτων ἀπείρους, δωρεῶν ἀπειρία.

Pag. 197, 10. Conf. p. 340, n. 2.

Pag. 204, 14. Acta S. Tarachi p. 290 : οὓς προσδέξασθε μετὰ φόβου καὶ πολλῆς αἰδοῦς, ὄντας ἐργάτας τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ.

Pag. 210, 16. Addidi articulum.

Pag. 211, 5. Isai. LVII, 15 : ἅγιος ἐν ἁγίοις ὄνομα αὐτῷ, ὕψιστος ἐν ἁγίοις ἀναπαυόμενος.

Pag 219, 8. Conf. p. 290, n. 7.

Pag. 223, n. 1. Puto πίστις non servandum.

Pag. 224, 16. Malim τὸ τῷ πατρὶ πείθεσθαι.

Pag. 226, n. 3. Scrib. κἂν ἄλλο τοῖον δήτοι.

Pag. 234, 7. A, τῶν κατὰ πόλιν οἰκούντων ἀρχόντων. Displicuit duplex participium, quum sit prius prorsus languidum et inutile. Libanius t. IV, p. 226 : κἂν ἑτέρους ἴδω μεθύοντας ἐκ πότου, διαῤῥήγνυμαι τῷ φθόνῳ. Cod. 3017, μεθύοντας ἀναλύοντας ἐκ π. : idque recte, puto.

Pag. 236, 8. C, καταδικάσω.

Pag. 250, 5. Ouzelius, hoc loco usus ad Minucium pp. 164, 174, notat vitulum esse de bove Api capiendum ; sed errare auctorem, qui porcum inter animalia ponit ab Ægyptiis culta, citatque commode Ælian. H. A. x, 16. Adde Herodot. II, 47, cum nota Larcheri.

Pag. 255, 8. Cf. p. 168, n. 1.

Pag. 256, 16. Eumath. Hysm. v, p. 161 : οὕτω τὴν καλὴν ἐξῆλθον Αὐλίκωμιν,... ὡς ὀλυμπιονίκης καὶ νικήσας τὸ πένταθλον. Scripsi sic τὸ π. pro edito τὸν πέντ., usus lectione quam e codd. protulit Bassus p. 282 versionis gallicæ.

Pag. 257, 17. Cf. p. 152, n. 4.

Pag. 269, 14. Philotheus Fabricii Bibl. Gr. t. XI, p. 516 : τυραννικόν τι καὶ βίαιον ἔρως.

Pag. 277, n. 1. Plato Epist. inter Socraticas 25 : ἐπεὶ δὲ καὶ ἀρχὴ τῆς γνώσεως ἀφ' ἡμῶν γέγονε, καλῶς ἔχειν οἶμαι καὶ νῦν ὥσπερ

ἑτέραν ἀρχὴν ποιούμενος, παρακαλέσαι πρὸς τὴν ἐπιμέλειαν αὐτοῦ. Bene codex 1760, παρακαλέσαι σε: qui et bene ἡ ante ἀρχὴ exhibet. Quod et ibi scriptum est, ποιούμενος συστάσεως, non displicet.

Pag. 278, 22. Præivit Gregorius Naz. Orat. XL, p. 643, 7: ἀλλὰ καὶ γραφῶν ἔμπειρος ὁ λῃστής. Sunt apud Athanasium Vita Anton. § 39 dæmones ψάλλοντες.

Pag. 279, 10. Athanasius, apud Gaulmin. ad Psell. p. 116: ὁ μὲν οὖν ἐχθρὸς (διάβολος) μετὰ τῶν ἑαυτοῦ κυνῶν τοσαύτας ἔχει τὰς πανουργίας.

Pag. 282, 7. Sic p. 324, 11: δάκρυα ποταμηδὸν τῶν ὀμμάτων καταδύσας. Conf. p. 344, 11.

Pag. 284, n. 2. Conf. pp. 296, n. 5; 342, 13.

Pag. 285, 14. Andreopulus de Synt. p. 4: παρεκάλει τὸ θεῖον τοῦ τῆς ἀπαιδίας λυθῆναι δεσμοῦ. Cf. Monum. Cotel. t. II, p. 202 A.

Pag. 288, n. 1. Nomini isti φάρυγγα quasi clavo appendam notulam qua Bachmanno gratificer. Quum nuper in ejus Lycophronem bona mea fortuna incidissem, volumenque evolverem, oculos advertit longissima, nec tamen longa nimis, nota p. 43, unde intellexi quam ægre Meletii inediti loco caruisset vir doctiss., quo φάρυγξ describitur fitque sui Lycophronis mentio. Meletii igitur verba ex meo apographo, quod mihi e codice 2227 confeci, huc apponam, in ejus usum: τοῦτο δὲ τὸ μέρος καὶ φάρυγξ καλεῖται, παρὰ τὸ φέρω, δι' ἧς φέρεται τὸ πνεῦμα, καί ἐστι παρώνυμον· Λυκόφρων φησὶν (Alex. 154)· « ἐτύμβευσεν φάρω »· ὁ δὲ Καλλίμαχος (Fragm. 183)· « ἄφαρον φαρόωσι », τὴν μηδὲν φέρουσαν φάρυγγα. Ex Etymologico M. profecit Meletius.

Pag. 289, 7. Pro εἰκότως, forsan εἰκός. C., μᾶλλον ἢ πινθ. — 22. C, δῆλα.

Pag. 296, n. 1. Conf. p. 316, 1.

Pag. 297, n. 3. De illo sensu nominis βίος, adde Heyler. ad Juliani Epist. 33. — N. 6. Est ἱστόρηται apud Psell. De Dæm. pp. 26, 34.

Pag. 300, 24. C, διὰ τοῦ. Videtur esse διά του in A. Pag. 301, 11, δι' ἑτέρου προφήτου: quod lectionem του firmare videtur.

Pag. 311, 10. Conf. p. 449, col. 1.

Pag. 313, 22. Disco ex Jac. Billyo, in Allatii ad Damasc. Prolegom. § 44, perspicue hausisse auctorem eam Joasaphi orationem ex Constit. Basilii c. 1.

Pag. 316, n. 2. Lycophron 1453: βάζω κενὸν ψάλλουσα μάσακος κρότον.

Pag. 336, 2. Maximus Tyr. Diss. XLI, p. 278: πῶς φυλαξώμεθα; πῶς λάθωμεν. Consentit quidem codex 1962; malim tamen φυλαξόμεθα, cui λάθωμεν apte conveniet. Sexcenties permutatæ sunt

ο et ω, verbi causa, in Equitibus, v. 218 : Τὰ δ' ἄλλα σοι πρόσεστι δημαγωγικὰ, Φωνὴ μιαρὰ, γέγονας κακὸς, ἀγοραῖος εἶ. Codex 2712, κακῶς, quod præstare videtur. Quæstioni, μῶν ἐκ καλῶν εἶ κἀγαθῶν; respondit Isiciarius v. 186 : εἰμ' ἐκ πονηρῶν γε. Fuit igitur is cui posset dici : γέγονας κακῶς. Loquutionem, εὖ, κακῶς γενέσθαι, illustravi ad Eunap.; adde Herald. ad Arnob. p. 110. Obiter alium Comici locum e Concionatricibus, quam modo legebam, tangam, cui ὦ restituere velim. Editus est ita v. 166 : Γυναῖκας αὖ, δύστηνε, τοὺς ἄνδρας λέγεις. Sed αὖ non bene habere videtur, quum semel tantum γυναῖκας vocaverit viros orator fœmina. In mea editione, si sic vocare tam tumultuariam operam possum, proposui, γυναῖκας, ὦ δύστηνε : quam scripturam mihi modo exhibuit codex 2712, p. 319.

Pag. 342, 8. Cum ὁμοιοῦσαι possunt conferri similes formæ πειρᾶσαι, καυχᾶσαι, apud Andreopulum de Synt. : vid. ibi not. p. 193. Ex Theophane λυτροῦσαι adtulit videndus Reiskius ad Const. Cerem. p. 87.

Pag. 359, 25. C, εὐχαῖς καὶ ἱκεσίαις : sed conf. p. 365, 17.

Pag. 363, n. 6. Ad μηθεὶς admove p. 393, vv. 521, 526.

Pag. 375, n. 3. Non putavi servandum δεσποῖαν, etsi potuerit pessimus ac balbutiens grammaticaster utramque syntaxin miscere. Sic Andreopulus De Synt. p. 156, negligentius scripsit : μετὰ τῶν ἐργαζομένων τὰ ἀσεβῆ ἔργα.........καὶ δυναστεύοντας τοὺς πτωχούς. Ibi pag. 210 nonnulla monui de recentiorum syntaxi μετά τι, qua Schedographus usus est vv. 451, 479, 528, 588, 743, 763, 801, 877.

Pag. 377, v. 201. Cod. ἰδῶς... ἰδύτης.

Pag. 392, v. 515. Cod. μείδω.

Pag. 393, v. 527. Vid. p. 404, n. 1.

Pag. 398, v. 650. Quum sit posterius hemistichium longius, facienda videtur in syllabis ζω ὑ synizesis; quod significavisse librarium puto, qui syllabæ υ spiritum non imposuit.

Pag. 402, n. 3. Psellus supra t. III, p. 216, v. 298 : Ἄγγουρος, τὸ μελίπηκτον· ἀλδαίνειν, μεμηνέναι· imo μεμηνέναι. Mendum est typorum. Obiter monere liceat ejusdem Pselliani operis versum 325, p. 218, exstare apud Cangium Gloss. in Ἐπαύκλια, cum mala lectione ἔλαον pro ἐλεόν; esse ibid., in Προύνικος, versum 427; afferri et versum 434 ab Keuchenio ad Ser. Samon. v. 185.

Pag. 406, n. 4. Herod. Epimer. p. 135 : τόμος, τὸ κοντάκιον. Pronuntiatio literarum ντ peperit scripturam κονδάκιον, ut p. 403, n. 3, σήμανδρον pro σημάντρον. Vide t. III, p. 152, n. 4.

Pag. 465, n. 1, 22. Est alius Æschyli versus ab Antigonæ interpretibus neglectus. Antigonæ verba, v. 108, φυγάδα πρόδρομον,

conferenda fuerant cum Æschyli Suppl. 354: ἴδε μέγαν ἱκέτην φυγάδα περίδρομον.

Pag. 469, n. 6. Permutatio vocalium ω et ο mihi fere videtur prodesse posse loco Antigonæ difficili v. 262: Εἷς γάρ τις ἦν ἕκαστος οὐξειργασμένος, Κοὐδεὶς ἐναργὴς, ἀλλ' ἔφευγε τὸ μὴ εἰδέναι. De non servando ἔφευγε consentiunt omnes. Ἔφυγε lectio est ut vicinissima, ita maxime probabilis. Quod si simul τῷ rescribatur, sensus erit nitidus, ἔφυγε τῷ μὴ ἡμᾶς εἰδέναι. Sed vel cum τὸ puto sententiam esse non malam, « latuit, ita ut nos nesciremus, ita ut nemo » sciret. » Eadem syntaxis Agam. 13 : Ἐμοὶ φόβος γὰρ ἀνθ' ὕπνου παραστατεῖ, Τὸ μὴ βεβαίως βλέφαρα συμβαλεῖν ὕπνῳ.

ΠΙΝΑΞ

ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

Ἱστορία ψυχωφελὴς....ἐν ᾗ ὁ βίος Βαρλαὰμ καὶ Ἰωάσαφ.........................σελ. 1.

Λεξικὸν σχεδογραφικόν..................... 366.

Δομνίνου ἐγχειρίδιον ἀριθμητικῆς εἰσαγωγῆς.. 413.

Θεοδώρου τοῦ Προδρόμου κατὰ μακρογενείου γέροντος......................... 430.

Ἴαμβοι κατὰ στοιχεῖον Ἰγνατίου.......... 436.

Ἕτεροι Νείλου......................... 438.

Ἕτεροι τοῦ Πτωχοπροδρόμου............ 440.

Στίχοι κατὰ ἀλφάβητον κατανυκτικοὶ ἀπὸ ἐμπαθοῦς ψυχῆς..................... 442.

Στίχοι τοῦ ἐπὶ τῶν δεήσεων............. 446.

Λιβανίου διήγημα...................... 450.

Μιχαὴλ Ἁμαρτωλοῦ ἐπιστολή............ 452.

Περὶ Λυρικῶν........................... 458.

Ὀνόματα τοῦ Χριστοῦ................... 460.

Εἰς πόρνας............................ 464.

Ἀντωνίνου αὐτοκράτορος ἐπιστολή......... 467.

Ἀμινιανοῦ περὶ τῆς Στυγὸς.............. 469.

Ἀνδρέου Κρήτης περὶ τῆς τῶν ἁγίων εἰκόνων προσκυνήσεως......................... 471.

Addenda et corrigenda................ 474.

INDEX ANNOTATIONIS.

Abercii Vita, 467.
Abgarus, 471.
Accentus versus politici, 36, 474; qui ut servetur, ipse mutatur vocum accentus, 380.
Acta inedita S. Arethæ, 2, 385.
Adjectivum neutrum cum ellipsi, 59.
Adrianus rhetor, 344.
Ægyptii porcum non colebant, 477.
Ælianus, 402, 419.
Æneas Gazæus, 132, 208, 214.
Æschylus, 79, 410, 465, 480.
Æsculapius, 56, 246.
Æthiopes vel Indi, 3.
Agapetus, 331.
Agathias, 436.
Alphabetici versus, 436.
Amor ex misericordia, 274.
Anacreontis editio, 401.
Andreas Apostolus, 215.
Andreopulus de Syntipa, 387, 391, 412, 475, 479.
Andronicus Senior, Junior, 447, 448.
Anecdotorum editio, 2, 60, 371, 372, 409, 412, 479.
Angelis pares homines pii, 108.
Angelus Comnenus, 366.
Animæ mors est peccatum, 152.
Anna Comnena, 366, 367.
Anonymus orator Byzantinus, 335.
Anthologia Græca, 194, 356, 363, 400, 432, 433.
Antoninus, 467.
Apis bos, 477.
Appianus, 267.
Archibiades, 433.
Aristænetus, 451.
Aristophanes, 422, 479.
Aristoteles, 147, 452, 469.
Athanasius, 340.
Athenæus, 183, 225, 467.
Attractio casus, 352.
Augmentum plusquamperfecti, 337.
Aulæa in ecclesiis, 397.
Ἀβελτηρώτερος, 249.
Ἀβελτώτερος, 249.
Ἀβυσσοτόκος, 50.
Ἀγγαρεύω, 475.
Ἄγγουρος, 479.
Ἄγουρος, 396.
Ἀθέατον, 372.
Ἀδωναῒ, Ἀδὰν, 460.
Ἀείδαρος, 395.
Ἀθυμία κατέχει, 283.
Αι et ε, 11, 74.
Αἰθριοποιὸς, 362.
Αἰνέσεως θυσία, 449.
Αἰπεῖν, 180.
Ἀκοσμία et εὐκοσμία, 435.
Ἀκρίβεια, 408.
Ἀλδαίνειν, 479.
Ἄλληλοι et ἄλλοι, 197.
Ἄλογον, 382.
Ἅμα τοῦ, 183.
Ἀμπεχόμενος, 170.
Ἀνάλαβος, *scapulare*, 161.
Ἀναλλοίωτος καὶ ἄτρεπτος, 146, 211.
Ἀναγκαῖον, 245.
Ἀναδέρκομαι, 400.
Ἀναποδίζω, 97.
Ἀναπηρώτατος, 249.
Ἀναπλάω, 5.
Ἀνείκαστος, 286.
Ἀνημμένος et ἀνειμένος, 76.
Ἄνθρωπος θεοῦ, 10.
Ἀνόητος et ἀνόνητος, 115.
Ἀνέδοτος, 465.

Ἀπὸ et ὑπὸ, 14; et ἐπὶ, 147.
Ἀπογινώσκειν, 97.
Ἄποπτος πριωπὴ, 130.
Ἀρχαχνώδης κόσμος, 436.
Ἀριθμὸς, 413.
Ἄρμενον, 407.
Ἄρτυμα, 384.
Ἂς, conjunctio recentior, 387.
Ἀστράγαλος, 433.
Ἀσυγκρίτως πημώπερος, 185.
Ἀσώματοι, 444.
Ἀτίμητος, 346.
Ἀτραπὸς, 187.
Αὖ et ὦ, 479.
Ἄυλος, αὐλόπερος, 61.
Αὐτοκτονέω, 467.
Ἀφνεώπερος, 74.
Baptismus φώτισμα, 85, 301; σφραγὶς, 157, 476; abrenunciatio quæ fit in baptismo, 85; baptismi virtutes, 89.
Barbaræ flexiones verborum, 412, 479.
Basilius, 151, 166, 213, 216.
Basilius grammaticus, 379, 389, 407.
Basilius Macedo, 27, 197, 198, 202, 223, 228, 237, 298, 306, 311, 328, 333, 335, 336, 426.
Basilius, scholiis ineditis in Gregor. Naz., 432.
Beatitudines septem, 89.
Βαθὺν, τὸ, 384.
Βακτηρία βίᾳ, γήρως, 207.
Βασιλεία οὐρανῶν, 60, 462.
Βίος, 297, 478.
Βλαττίον, 397.
Βόμβον βομβεῖν, 208.
Βομβυλιὸς, 207.
Βορρᾶ, 369.
Βρύον, 409.
Βωβὸς, 370.
Βωμὸς καὶ ναὸς, 369.
Βῶξ, 369.
Callimachus, 478.
Cangius, 371, 380, 383, 385, 390, 395, 400, 405, 407, 409, 411, 479.
Canis ad vomitum rediens, 88.
Chariton, 59, 419.
Choricius, 5, 15, 30, 183, 196, 210, 249, 274, 328, 329, 346, 428, 431.
Christi nomina, 461; forma, 473.
Commodianus, 13.
Comparativi ac superlativi desinentiæ per ω vel ο, 60, 249, 392, 468.
Constantinus Porphyrogennetus, 61, 140.
Cyrene Cypri, 383.
Cyrillus, 88.
Γγ et γκ, 475.
Γὰρ, enclitica, 368.
Γαστὴρ καὶ τὰ ὑπὸ γαστέρα, 216.
Γενέσθαι εὖ, κακῶς, 479.
Γενόμενος et λεγόμενος, 195.
Γνωστὸν ἴστω, 25.
Γοῦνα, 272.
Γραφεὶς et τραφεὶς, 194.
Γρήγορος, γλήγορος, 368.
Γριφόπερος, 61.
Γρὺ, 434.
Damianus, 413.
Demetrius Phalereus, 234.
Democrates, 391.
Democritus, 366.
Demosthenes, 306.
Deus nullius rei eget, 239, 463; Dei in manu est sapere quem velit, 148; Dei nomina, 460; Deum imitatur homo beneficus, 333.
Dexippus, 140.

Diabolus cur sic dictus, 475; scripturæ sacræ peritus, 478; ejus canes, 478.
Dicæarchus, 437.
Didymus, 458.
Didymus Cæcus, 230.
Diogenis Epistolæ, 274.
Dion Cassius, 155.
Dion Chrysostomus, 56, 155, 341.
Domninus, 413.
Dualis numerus masculini generis, 141.
Δ et Θ, 270.
Δ' ἀλλὰ, 47.
Δαιτυμὼν, 374.
Δὲ et τε, 210; δὲ enclitica, 368, 389; δὲ et γὰρ, 411; et δὴ, 419.
Δέη, δῆ, 213.
Δειδία, 373.
Δεῖν pro δέον, 273.
Δεῖπνος, ὁ, τὸ, 371.
Δειροπέδη, 373.
Δελεάζειν, 291.
Δεσμοὶ ἀπαιδείας, 478, 14.
Δεσπότης, 453.
Δηλωθεὶς, δηλούμενος, 320.
Δημόδοκος, 446.
Δημοτελὴς ἑορτὴ, 262.
Δήνεον, 373.
Διὰ παντὸς, 356.
Διακονίαν πληροῦν, πλεῖν, 476.
Διάφαυμα, διαφαύω, 357.
Διηθῶ, 372.
Δοκῶ μοι, 99.
Δολερὸς et θολερὸς, 265.
Δριμέοις pro δριμέσι, 110.
Ephræmius, 36.
Evenus, 311.
Eumathius, 182, 212, 477.
Euripides, 27, 454, 456; ineditus, 459; ejus codices regii, 455.
Ἕδνα, 376.
Ἑδὸς, 376.
Ει et οι, 29, 404, 416, 418; et υ, 150.
Εἶδος, 377.
Εἰδὺς, 377.
Εἰρήνην διδόναι, 38, 475.
Εἶπον, 475.
Ἐκ et ἐπὶ, 62.
Ἐκδώσας, 220.
Ἐκζητεῖν Θεὸν, 16.
Ἔκπεμψις, processio, sensu theologico, 83.
Ἑκταῖος, 375.
Ἑλλὰς, 374.
Ἕλλοψ, 375.
Ἐλπίδες κεναὶ, 193.
Ἐλπίζω cum aoristo, 267.
Ἐν et ἐπὶ, 112.
Ἐνδεκαταῖος, 375.
Ἐνθρόνας, 381.
Ἐνθρονίζειν, 307.
Ἐντυχεῖν βίβλῳ, 110.
Ἐνήεια, 377.
Ἐνόντων, ἐκ τῶν, 447.
Ἕξη, ἓξ, 375.
Ἔπαλξις, 280.
Ἐπανθὶς, 247.
Ἐπεισφρέω, 165.
Ἐπὶ et ὑπὸ, 328.
Ἔπιπλον, 397.
Ἐπισταθμᾶσθαι, 149.
Ἑσπρὶς, 460.
Ἕτοιμος, ἐν ἑτοίμῳ, 26.
Εὖ οἶδα ὅτι, 193, 475.
Εὖ δεῖ κακὸν, 453.
Εὐδοκεῖν, 12.
Εὐλογία, 154.
Εὐμορφότατος, 474.
Εὑρίσκομαι, 179.
Ζῆθι εἰς τοὺς αἰῶνας, 24, 245.
Georgius Acropolita, 278.
Georgius Lapitha, 15, 174, 321.

Gregorius Cyprius, 316.
Gregorius Naz., 61, 97, 125, 186, 230, 371, 438, 449.
Gregorius Nyssenus, 85.
Hæresium origo, 48.
Harpocration, 207, 270.
Heliodorus, 266, 286.
Heliodorus Larissæus, 413.
Hermogenes, 392.
Hesiodus, 340.
Hierophilus, 379.
Himerius, 355.
Hircorum barba, 434.
Homerus, 450, 452, 455.
H et ει, 199, 202, 226, 228, 274, 306, 328, 336, 424, 432; ηι et ην, 428; ἡ et ἤ, 143; η et ι, 234, 430; et οι, 29, 62, 224, 226, 231; et υ, 431.
Ἤδη et εἴδη, 426.
Ἡδέοις pro ἡδέα, 110.
Ἦκον: τὸ εἴς τινα ἧκον, 28.
Ἤλεκτον, 378.
Ἡμέρα: ἐν μιᾷ, ἐν μιᾷ τῶν ἡμερῶν, 31, 474.
Ἧτα, ἡ, 377.
Ἦτοι, 475.
Θαιμάν, 378.
Θηλή, 380.
Θηλύμιτρις, 379.
Θριδακίνη, 379.
Θυμηδία, 380.
Θύρα metaphorice, 98, 174.
Icarus, 294.
Ignatius, 63, 436.
Inferni ignis, 186, 217, 476.
Infinitivus pro imperativo, 74.
Inscriptiones, 194, 375.
Isaacius Porphyrogennetus, 98, 110, 119, 224, 235, 266, 274, 403, 404, 428, 469.
Isaias, 76.
Isocrates, 431.
Jecur et cor, 452.
Joannes βροντῆς υἱός, theologus, 382.
Joannes Chrysost., 44, 286, 382.
Joannes Climacus, 230.
Joannes Damascenus, 472, 473.
Joannes Diaconus, 444.
Joannes Euchaitensis, 215.
Joannes Gabras, 249.
Joannes Lapithi notarius, 455.
Joannes Præcursor, 382.
Josephus, 337, 467, 473.
Julianus, 418, 436, 469, 472, 474.
Ἴα, 460.
Ἰαΐ, 460.
Ἰκέτης et οἰκέτης, 431.
Ἱμάτια in ellipsi, 42.
Ἱμῶ, 381.
Ἱπποκοριστής, 386.
Ἰσορεῖται et ἰσόρηται, 297, 478.
Ἰσχυρός, Ἰσχυρότερος, 61.
Κάγγελον, 384.
Καθὼς γέγραπται, 474.
Καινὸς et κενός, 284.
Κακηγκακῶς, 220.
Κακοὺς κακῶς ἀπολέσαι, 101, 225.
Καλεσμένος, 387.
Κάμηλος, 128.
Κάνθων, 395.
Καπίκομος, 119.
Καταράσιμος, 368.
Κατὰ ταυτά, 287.
Καταυτίκα, 320.
Καταχλίω, 406.
Κατ' εἰκόνα καὶ ὁμοίωσιν, 45.
Κεμάς, 385.
Κενὴν ψάλλειν, 316, 478.
Κέρας, 385.
Κηλόνειον, 388.
Κῆνας, 388.
Κίκυς, 393.

Κίος, 384.
Κισσᾷν, 384.
Κλητήριον, 387.
Κλοιὸς, 111.
Κλῶ, 387.
Κοαίστωρ, 384.
Κοιμίζειν λύπην, 453.
Κοινῶ, 384.
Κόλακας, 381.
Κόμης, 386.
Κομιδῆ, 385.
Κομίζειν pro ἄγειν, 19.
Κονδίκιον, 406, 479.
Κοντὰ, 369.
Κοντάκιον, 479.
Κοντάριον, κοντάριν, 370.
Κοντὸς, κονδὸς, 403.
Κόπις, 386.
Κόπος καὶ πόνος, 94.
Κόπτω, 387.
Κορὸν, 386.
Κορυβαντιῶ, 386.
Κοσμοκράτωρ, 218.
Κοῦσπος, 378.
Κραμβίον, 383.
Κρήγυον, 388.
Κρῖ, 387.
Κύβερνα, 383.
Κύβηλις, 383.
Κυλίνη, 383.
Κυλλήνη, 384.
Κύμινδις, 383.
Κυναγία, 126, 476.
Κύπος, 382.
Κωδίκελλος, 387.
Κώδων, 386.
Κωμοδρόμος, 369.
Κωφῷ ὁμιλεῖν, 316.
Lacunæ ex ὁμοιοτελεύτοις, 98, 212, 231, 237, 287.
Lapithus Cypri fluvius, 455.
Leo Diaconus, 155, 297, 423.
Leopardus, 297, 450.
Libanius, 29, 31, 56, 60, 147, 183, 184, 196, 206, 223, 226, 263, 291, 298, 308, 335, 342, 343, 344, 346, 349, 352, 396, 418, 420, 424, 429, 450, 451, 469, 475, 477.
Libethrii, gens ἄμουσος, 390.
Librarii solœcismos faciunt corrigendos, 140, 176; faciunt versus, 206; synonymam vocem pro legitima scribunt, 409.
Longus, 11.
Lucianus, 5, 14, 224, 272, 273, 337, 340, 349, 384, 418, 431, 432, 446, 468.
Lycophron, 478.
Lydda, 471.
Lydus, 195.
Lyra unde dicta, 459.
Lysanias, 458.
Lysias, 112, 392.
Λαιός, 389.
Λείπω: ἔλειψα, 433.
Λελωβημένος, 391.
Λιγυρὸν ὑπηχεῖν, 280.
Λίζιος, 390.
Λίθον πάντα κινεῖν, 232, 474.
Λογοπραγμονέω, 336.
Λόγος οὐδὲ καλεῖν, 3; λόγον βραχὺν ποιεῖσθαί τινος, 6; λόγον λέγειν ac similia, 207.
Λωβὸς, 391.
Λωτὸς, λωτὸν, 391.
Macarius, 149.
Manuel Palæologus, 456.
Maria Deipara ubi sepulta, 371; ejus imago in urbe Lydda, 471; ejus imago a Luca depicta, 472.
Maximus Tyr., 306, 417, 421, 430, 478.
Meletius ineditus, 478.

Melis, 458.
Menander historicus, 249.
Menander rhetor, 214.
Michael Apostolius, 402, 419.
Michael Hamartolus, 452.
Moschopulus, 60, 210, 370, 372, 373, 375, 377, 379, 380, 381, 384, 385, 386, 387, 390, 391, 394, 395, 396, 398, 399, 400, 401, 402, 403, 404, 405, 406, 409, 410.
Murænæ et serpentis coitus, 393.
Mysteria divina non scrutanda curiosius, 164.
Μαινὰς, 392.
Μᾶλλον in ellipsi, 199; μᾶλλον ὀλβιώτερος, 429.
Μανδύας, 161.
Μανδύλιον, 410.
Μείλιγμα, 393.
Μελανὸς, 383.
Μέλη, 458.
Μεληισμὸς, 391; et μελλησμὸς, 284.
Μελισμὸς, 391.
Μελίσσιον, 391.
Μὲν corruptum, 12.
Μεῤῥὰ, 391.
Μεσόρειον, 391.
Μετὰ cum accusativo, 479.
Μέτρον ἄριστον, 435.
Μέτρος ὁ, 374.
Μηλωπίειον, 263.
Μηνίω, 116.
Μικρὸν ὅσον ὅσον, 295.
Μιμεῖν, 436.
Μνᾶσθαι σίτου, τροφῆς, 325, 348.
Μνηθεὶς et μυηθεὶς, 266.
Μονὰς, 413.
Μοναχὸς et μονόμαχος, 353.
Μονώπατος, 84.
Μυηθεὶς, 363.
Μυρηρὸν, 390.
Μύρμηκας, 393.
Μυωπάζω, 139.
Nice filia Stygis, 469.
Nicephorus Basilacas, 14.
Nicephorus Chumnus ineditus, 28, 194.
Nicephorus Gregoras, 93, 294, 297.
Nicetas Choniata, 294.
Nicolaus Sophista, 14.
Nilus, 200, 296, 335, 352, 438, 474.
Νὰ, conjunctio recentior, 367.
Νέκυς, 393.
Νεκροπομπὸς, 374.
Νήριτος, 395.
Νιρεὺς, 394.
Ντ et νδ, 479.
Optativi forma peculiaris, 404.
Oratio opus Angelorum, 175.
Origenes, 192.
O et ω, 261, 469, 478.
Οἶδ' ὅτι, 193, 475.
Οἰκονομία, 4, 474.
Οἷς, 172.
Ὁμοίωσις Θεῷ, 46.
Ὄνος λύρας ἀκούων, 293.
Ὀστράκινον corpus, 13.
Ὀψέ ποτε, 95.
Ὄψει, 433.
Ὄψις: ἐν ὄψει, ὑπ' ὄψει, 319.
Ὅτι et ὅτι, 422.
Ὁ ὤν, 460.
Papias, 412.
Paradisi etymologia, 373.
Paulus, S., 2, 13.
Paupertas non est περιμάχητος, 154.
Persona tertia singularis aoristi passivi in ην, pro η, 371, 375.
Petrus ὁ κορυφαῖος, 277.

Philes, 275, 318, 374.
Philo, 60.
Philostratus, 85, 261, 276, 294, 334, 341.
Philothei Parerga, 35.
Photius, 56, 70, 147, 272, 424.
Pindarus, 458.
Plato, 272; theologus, 432.
Poetaster anonymus, ineditus, 476.
Præpositiones omissæ in compositis, 5, 14, 27, 31, 80, 85, 93, 110, 180, 194, 198, 208, 209, 214, 263, 276, 278, 286, 308, 323.
Processio S. Spiritus, 162, 163, 440.
Procopius, 335.
Psellus, 5, 12, 101, 194, 208, 213, 214, 218, 220, 226, 287, 343, 403, 421, 422, 479.
Ptochoprodromus, 440.
Παίονες, 397.
Παίπαλον, 397.
Πάλιν et πάλαι, 379.
Παλλίον, 185.
Πᾶν τοῦτο, 477.
Πάντα εἶναί τινι, 269.
Παράδεισος τῆς τρυφῆς, 47.
Παρασιωπᾷν, 324.
Πατζὸς, 403.
Πειθανάγκη, 418.
Πεποιθέναι ἐπί τινι, ἐπί τινα, 110.
Πὲρ, 136.
Περιαστράπτειν τινὰ, τινὶ, 56.
Περίγειος, 48.
Περικεῖσθαί τι, 43.
Περιλάμπειν, 201.
Πηγίδιον, 368.
Πῆθι, 399.
Πηκτὴ, 380.
Πίσα, 402.
Πακύλιον, 383.
Πολιορκίζω, 231.
Πολλὰ μεταξὺ κύλικος καὶ χείλεος, 455.
Πολυσχεδὴς, 48.
Πορεία πλευταία, 356.
Πορτάρης, 380.
Ποτνιᾶσθαι, 35, 400.
Πρακτέα, 444.
Πρηαθεὶς, 412.
Προαίρεσις, 132.
Πρόσλημμα, 164.
Πρότονα, 398.
Προχθές, 398.
Πρωτοσύμβουλος, 136, 476.
Πῦρ αἰθόμενον, 76.
Racinius, 460.
Regis ad exemplum componuntur subditi, 309.
Ῥήγινα, 400.
Ῥηγμὶν, 400.
Ῥηθεὶς, 320.
Ῥήτορος, 381.
Ῥήτρα, 401.
Ῥίμφα, 400.
Ῥινὶ προσάγειν, 451.
Ῥιπὴ, ῥοπὴ καιροῦ, 229.
Ῥοιὰ, 401.
Ῥύακας, 381.
Ῥυπόω; ἐῤῥύπωμαι, ῥερυπωμένος, 41.
Ῥὼξ, 401.
Ῥῶς, ῥωσία, 401.
Saracenica, 276.
Scholiastes Aristophanis, 62.
Scholiastes Lycophronis, 140.
Scholiastes Theocriti, 272.
Scymnus, 408, 430, 437.
Secundus, 466.
Sententiæ monostichæ, 5, 438, 439.
Seruch, 297.

Severus, 54.
Sextæ preces, 329.
Sextus, 216.
Sibylla, 416.
Signum crucis fugat Diabolum, 284, 296.
Silentia turbæ manu facere, 327.
Similis epitaphium, 151.
Socrates unum habuit pallium, 155.
Socraticæ Epistolæ, 430, 477.
Sophocles, 19, 74, 79, 102, 116, 125, 126, 133, 141, 149, 179, 193, 204, 465, 467, 475, 479, 480.
Sosibius, 376.
Stobæus, 146, 197, 366.
Strophe unde dicta, 459.
Styx, 469, 470.
Suidas, 80, 383.
Sus in volutabro luti, 172.
Symeon Metaphrastes, 442.
Symeon Sethi, 208, 209, 225, 245, 274, 428, 474.
Synesius, 180, 193, 235, 273, 283, 297, 307.
Σαβαὼθ, 460.
Σαδδαΐ, 460.
Σάλιον, 402.
Σάλτζα, 380.
Σεβέννινα, 154.
Σεναὰρ, 36.
Σήθω, 403.
Σημαία, 403.
Σήμανδρον, σήμαντρον, 403.
Σημεῖα καὶ τέρατα, 67, n. 3; 475.
Σίελος, 402.
Σίκυα, 402.
Σιμικίνθιον, 402.
Σῖμος, Σιμὸς, 403.
Σίντης, 402.
Σιρὸς, 402.
Σισύρα, 402.
Σιτάριον, 403.
Σιτώνης, 405.
Σκότος καὶ σκιὰ θανάτου, 127, 187; σκ. ψηλαφητὸν, 285.
Σόδομα, 401.
Σοφία et φιλοσοφία, 348.
Σπείρειν εἰς ὕδωρ, 183.
Σπηλὶς, 427.
Στοιχέω, 2.
Στόμα: εἶναι ἐν σΊόματι, 311.
Συμβὰν οὕτω, 21, 474.
Σύνδυο, 235.
Συνεργοῦντος θεοῦ, 5.
Συφεὸς, 410.
Σχέσις, 226.
Σώπιρα, 402.
Tantali lapis, 454.
Templum Dei mens pia, 174, 436.
Thamyris et Orpheus, 446.
Theano, 209, 210.
Theocritus, 104, 319, 320, 372, 375, 403, 433.
Theodorus Hyrtacenus, 17.
Theodorus Metochita, 99.
Theodorus Prodromus, 46, 47, 50, 262, 275, 284, 295, 318, 319, 323, 324, 328, 371, 374, 375, 379, 381, 406, 430, 432, 440.
Theognis, 455.
Theophilus Alexandr., 248, 475.
Thomas Apostolus, 3, 4.
Tyndareus, 246.
Tzetzes ineditus, 270.
Τάχος, τὸ τάχος, 204.
Τε et δὲ, 183.
Τελειοῦσθαι, 2.
Τέλος: οἱ ἐν τέλει, 307.
Τετράγγουρον, 402.
Τζημβάλωψ, 390.
Τζίμβλα, 390.
Τοξεύειν εἰς οὐρανὸν, 29.

Τραγῳδία, 411.
Τρανότερος, 60, 61.
Τριβαλλὸς, 406.
Τρίχα ἡ, 386.
Verbum cum nominativo neutro pluralis numeri, 283.
Versus in prosa fortuiti, 363, 474; inediti in tres sanctos Joannes, 382.
Vitæ beneficium patri filius non potest rependere, 321.
Vivere, quid sit proprie, 150.
Virtutes quatuor præcipuæ, 173.
Walzius, 214.
Ὑπανίσταθαι, 328.
Ὑπερβολὴν οὐδεμίαν λείπειν, 335.
Ὑπηνήτης, 406.
Φάβα, 375.
Φανότατος, φανώτατος, 230.
Φάρυγξ et φάραγξ, 288, 478.
Φέρειν pro ἄγειν, 19.
Φήη, 408.
Φηλήτης, 407.
Φησὶ, modo peculiari, 336.
Φιλαδελφεία, φιλαδελφία, 408.
Φιλάνθρωπος Christus, 382.
Φιμινάλιον, 407.
Φλάμουλον, 403.
Φόβος καὶ τρόμος, 67.
Φορβάδιον, 407.
Φύλακος, 381.
Φωγιαμὸς, 407.
Φῶς, Φὼς, 407.
Φωσάτον, 407.
Φώσσων, 407.
Χαιὸς, χαῖον, 410.
Χαίρειν ἐᾶν, 208.
Χαῖρις, 410.
Χαλανικὴ πυργοποιία, 285.
Χέρης, 410.
Χηβάδιον, 410.
Χήμη, 410.
Χοιρομάνδριον, 410.
Χρᾶσθαί τι, 343.
Χρίμπτω, 409.
Χριστὸς, 409.
Χῶραι καὶ πόλεις, 297.
Χρόνος, χρονὸς, 381.
Χώρα, 402.
Ὠδαὶ μονόστροφοι τριαδικαὶ, 458.

FINIS VOLUMINIS QUARTI.

13 39